Sum Mauritij Rhenouiensis

In hoc uolumine haec insunt.

Theodori Introductiuae grãmatices libri quatuor.
Eiusdem de Mensibus opusculum sanequã pulchrũ.
Apollonii grãmatici de constructione libri quatuor.
Herodianus de numeris.

## ALDVS MANVCIVS ROMANVS LECTORI. S. D.

NON Sum nescius studiose lector hanc Apollonii Theodoriq; grammaticen uisum iri tibi primo duriusculã atq; insuauem: deinde cũ eam accurate relegeris & facilẽ & iocũdam. Nã Theodorus (si dictionẽ attẽderis) uidebit̃ tibi dulcis: eloquens: & plane atticus: nihilq; praetermisisse quod sit necessarium uolenti graece discere. Si uero doctrinam atq; ordinem (Pace aliorum dixerim) solus docere bonas litteras: caeterorũq; grammaticorũ facile princeps. Quem si uel semel studiose perlegeris non poteris non nocturna uersare manu, uersare diurna. Incipiens nanq; ab elementis ad constructionẽ usq; & figuras aliquot elocutionẽq; progreditur. grammaticũq; cõcinna quadam breuitate inchoat: ac pene perficit. Diuiditur in libros quatuor. Primus litteras continet: omnesq; orationis partes praeter praepositionem: de qua in quarto cumulate tractatur. Declinat noĩa & uerba ingeniose quidẽ & utiliter. ubi operaepretiũ est uidere seorsũ quae μέσα appellatur ab actiuis passiuisq; inflecti. Item quae πάθη graeci: passiões nos dicimus & nominum & uerborum q̃ breuissime explicari. Secundus item repetit octo orationis partes: quasi loca quaedã praedictorũ denotans: & plura exponens. Praeterea quẽadmodũ fit a Porphyrio in quinq; uocibus quae nos uniuersalia dicimus: cõia: ac propria tam nominum q̃ uerborum & docte & copiose demonstrat. & quod est utilissimum; maximeq; necessarium futuro grammatico: formationes uerborum omniũm doctissime docet.

Qui uero est tertius tractat erudite de accentu & quantitate syllabae: atq; orthographia. ne (ut ipse dicit) barbarismus: quod est peccatum circa dictionem: eueniat. quotq; modis fiat: ostendit. Quartus autem de partium orationis constructione cõmemorat cũ figuris quibusdam: elegantiisq; dicendi. Apollonio uero: si eum tibi legendo feceris familiarem: magnopere delectaberis ac proficies. Est.n. doctus: elegans: uarius: & peracutus. hic est de quo sic in prooemio meminit Priscianus. Quid enim Herodiani artibus certius? Quid Apollonii scrupulosis quaestionibus enucleatius inueniri queat? Et in eodem. Quãuis ad Herodiani scriptorum pelagus: & ad eius patris Apollonii spaciosa uolumina: compendiosa existimãda sint scripta librorũ meorũ. cũ uero ẽẽ de quo Priscianus: potẽs ex eius uita colligere: quae impressa est in principio ipsius libri de cõstructione. in qua filii quoq; Herodiani fit mentio. Edidit uterq; de arte grammatica immensa uolumina: quae legisse uidetur Priscianus. Nos autẽ ut aliis plurimis in quauis scientia pretiosissimis libris uel hominum incuria: uel infoelicitate temporum: his quoq; caremus. uix extant Apollonii quatuor libri de constructione: qui quales sint studẽdo tu ipse cognosces. Illud non te fugiat: exemplaria habuisse me quãplurima: curasseq; ut quãemendatissime imprimerentur. neq; quicq̃ ausum aut addere aut diminuere. Sperabam enim cum caeteros Apollonii libros tum hos quoq; de constructiõe habiturum nos aliquando correctiores: & quotcunq; etiã scripsit Herodianus filius: si quo in carcere indigne & miserabiliter detẽti latẽt squallidi: fuliginosiq;: & corrosi blattis. Interim quos damus Apollonii: Theodoriq; libros tibi non mediocriter profuturos studiose legas.

Quod si primo duriusculi uidebuntur: memineris illius pertriti prouerbii. nihil esse uolenti arduũ: nihil difficile: anteq; uirtutem esse a iustissimo Deo sudorem positum & longum & arduum ad eam callem: ac primo asperum. Verum cum perueneris ad uirtutem: nihil tibi illa iocundius: nihil dulcius. Nihil est (mihi crede) tam difficile: quod saepe & accurate legẽdo nõ fiat facile. Stude igitur assidue ac libenter: & proficies quantũ uoles. quoniam si studiosus fueris: erit tibi multa rerũ cognitio. multa doctrina. Quod ẽ Isocratis.

Ἐὰν ᾖς φιλομαθής, ἔσῃ πολυμαθής.

VALE.

# ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ ΠΡΩΤΟΝ·

ΤΩΝ τεσσάρων καὶ εἴκοσι γραμμάτων, φωνήεντα μὲν ἑπτά· α · ε · η · ι · ο · ω · υ. Σύμφωνα δὲ τὰ λοιπά, ἑπτακαίδεκα. Τῶν δὲ φωνηέντων, μακρὰ μὲν · η · ω · βραχέα δὲ · ε · ο · δίχρονα δὲ · α · ι · υ · Ἐξ ὧν δίφθογγοι κυρίως μὲν · αι · αυ · ει · ευ · οι · ου · καταχρηστικῶς δὲ · ᾳ · ῃ · ῳ · ηυ. Τῶν δὲ συμφώνων, τὰ μὲν, ἡμίφωνα· οἷον · ζ · ξ · ψ · λ · μ · ν · ρ · σ · ὧν διπλᾶ μὲν · ζ · ξ · ψ · Ἀμετάβολα δὲ καὶ ὑγρὰ · λ · μ · ν · ρ · Τὰ δέ, ἄφωνα· οἷον · β · γ · δ · κ · π · τ · θ · φ · χ · ὧν ψιλὰ μὲν · κ · π · τ · δασέα δὲ · θ · φ · χ · μέσα δέ, β · γ · δ · Ἐκ δὲ τῶν εἰρημένων τῶνδε γραμμάτων, αἱ συλλαβαί· ὅθεν αἱ λέξεις, ἐξ ὧν ὁ λόγος. Τοῦ δὲ λόγου μέρη μὲν ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος·

## ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΩΝ.

Προσῳδίαι δὲ ὀξεῖα ´ βαρεῖα ` περισπωμένη ῀ δασεῖα ‛ ψιλὴ ᾿ ἀπόστροφος ᾽ ὑφὲν ‿ διαστολή ,

## Περὶ ἄρθρου.

Ἄρθρον δέ, τὸ μὲν προτακτικόν, οἷον ὁ· τὸ δὲ ὑποτακτικόν, οἷον ὅς. Τὸ μὲν ἀρσενικόν· οἷον ὁ· τὸ δὲ θηλυκόν, οἷον ἡ, τὸ δὲ οὐδέτερον, οἷον τό· ἔχει δὲ καὶ ἀριθμόν, καὶ πτῶσιν ἑπόμενα, ἀριθμὸν μὲν ἑνικόν, δυϊκόν· πληθυντικόν, πτῶσιν δέ, εὐθεῖαν, γενικήν, δοτικήν, αἰτιατικήν. Κλίσις δὲ τοῦ μὲν προτακτικοῦ τοιαύτη. Ἡ εὐθεῖα ὁ· ἡ γενικὴ τοῦ· ἡ δοτικὴ τῷ· ἡ αἰτιατικὴ τόν· ἡ εὐθεῖα, καὶ αἰτιατικὴ τώ· ἡ γενικὴ καὶ δοτικὴ τοῖν· ἡ εὐθεῖα οἱ· ἡ γενικὴ τῶν· ἡ δοτικὴ τοῖς· ἡ αἰτιατικὴ τούς· ἑνικὰ θηλυκά· ἡ εὐ-

α ιι

BIBLIOTHEK DER CANTONAL-LEHR-ANSTALTEN ZÜRICH

θεῖα ἡ· γενικὴ τῆς· ἡ δοτικὴ τῇ· ἡ αἰτιατικὴ τήν· δυ. ἡ εὐ-
θεῖα καὶ αἰτιατικὴ τά, ἡ γενικὴ καὶ δοτικὴ ταῖν· πλη. αἱ εὐ-
θεῖα αἱ· ἡ γενικὴ τῶν· ἡ δοτικὴ ταῖς· ἡ αἰτιατικὴ τάς· ἑν. Οὐ-
δέτερα· Ἡ εὐθεῖα τό· ἡ γενικὴ τοῦ· ἡ δοτικὴ τῷ· ἡ αἰτιατικὴ τό·
δυ. Ἡ εὐθεῖα καὶ αἰτιατικὴ τώ· ἡ γενικὴ καὶ δοτικὴ τοῖν·
πλη. Ἡ εὐθεῖα τά, ἡ γενικὴ τῶν· ἡ δοτικὴ τοῖς· ἡ αἰτιατικὴ
τά. Κλητικὴν δὲ οὐθέν, οὐδεμίαν ἔχει· τὸ γὰρ ὦ οὐκ ἄρθρον,
ἀλλ' ἐπίρρημα κλητικόν. Τοῦ δὲ ὑποτακτικοῦ κλίσις τοιαύτη·
Ἀρσενικά. ἑν. ὅς· οὗ· ᾧ· ὅν· δυ. ὥ· οἷν· πλη. οἵ· ὧν· οἷς· οὕς·
Θηλυκά· ἑν. ἥ· ἧς· ᾗ· ἥν· δυ. ἅ· αἷν· πλη. αἵ· ὧν·
αἷς· ἅς· ἑν. Οὐδέτερα· ὅ· οὗ· ᾧ· ὅ· δυ. ὥ· οἷν·
πλη. ἅ, ὧν, οἷς, ἅ.

## ΠΕΡῚ ὈΝΌΜΑΤΟΣ·

Ὄνομα δέ, τὸ μὲν κύριον· οἷον Σωκράτης· τὸ δέ, προσηγορικόν· οἷον ἄνθρωπος· τὸ δὲ ἐπίθετον, οἷον ἀγαθός· τὸ δὲ ἀναφορικόν, οἷον οἷος· τὸ δὲ ἐρωτηματικόν, οἷον ποῖος· τὸ δὲ ἀριθμητικὸν οἷον εἷς, δύο, τρεῖς. Παρεπόμενα δὲ ἔχει, γένος, εἶδος, σχῆμα, ἀριθμούς, πτῶσιν· πρόσωπον. Γένος μὲν ἀρσενικὸν οἷον λόγος, θηλυκόν, οἷον ἐπιστήμη· οὐδέτερον οἷον ἀγαθόν. Εἶδος δὲ πρωτότυπον, οἷον πᾶς· παράγωγον, οἷον θέων· σχῆμα δὲ ἁπλοῦν, οἷον ἵππος· σύνθετον οἷον Φίλιππος· Ἀριθμὸν δὲ ἑνικὸν οἷον θεός· δυ. οἷον θεώ· πλη. οἷον θεοί. Πτώσεις δὲ εὐθεῖαν, γενικήν, δοτικήν, αἰτιατικήν, καὶ κλητικήν. Πρόσωπα δέ, τρίτον, οἷον Σωκράτης· δεύτερον, οἷον Σώκρατες.

## ΠΕΡῚ ΚΛΊΣΕΩΣ·

Κλίνεται δέ, ἤτοι ἰσοσυλλάβως· αἰνείας αἰνείου· ἢ περιττοσυλλάβως· αἴας αἴαντος. Καὶ ἰσοσυλλάβως μὲν τετραχῶς, περιττοσυλλάβως δὲ μοναχῶς. διὸ καὶ κλίσεις τοῦ ὀνόματος ἡ μὲν πρώτη καλείσθω· ἡ δὲ δευτέρα· ἡ δὲ τρίτη· ἡ δὲ τετάρτη· ἡ δὲ πέμπτη, περιττοσύλλαβος. Πρώτη μὲν οὖν ἡ τῶν εἰς ας, ἢ εἰς ης, λυομένων ἀρσενικῶν· ὧν ἡ γενικὴ, εἰς ου, ἡ δοτικὴ εἰς α, ἢ εἰς η, ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει. Ἡ εὐθεῖα ὁ αἰνείας· ἡ γενικὴ τοῦ αἰνείου· ἡ δοτικὴ τῷ αἰνείᾳ· ἡ αἰ-

τιατικὴ τὸν αἰνείαν· ἡ κλητικὴ ὦ αἰνεία· καὶ ὦ αἰνείας· ἡ εὐθεῖα, καὶ αἰτιατικὴ τὼ αἰνεία· ἡ γενικὴ καὶ δοτικὴ τοῖν αἰνείαιν· ἡ κλητικὴ ὦ αἰνεία· ἡ εὐθεῖα οἱ αἰνεῖαι· ἡ γενικὴ τῶν αἰνειῶν· ἡ δοτικὴ ταῖς αἰνείαις· ἡ αἰτιατικὴ τὰς αἰνείας· ἡ κλητικὴ ὦ αἰνεῖαι·

Ὁ χρύσης· τοῦ χρύσου· τῷ χρύσῃ· τὸν χρύσην· ὦ χρύση καὶ ὦ χρύσης· τὼ χρύσα· τοῖν χρύσαιν· ὦ χρύσα· οἱ χρῦσαι· τῶν χρυσῶν· τοῖς χρύσαις τὰς χρύσας· ὦ χρῦσαι· Δευτέρα δὲ ἡ τῶν εἰς ᾱ ἢ εἰς η̄ ληγόντων θηλυκῶν· ὧν ἡ γενικὴ εἰς ᾱς ἢ εἰς η̄ς, ἡ δοτικὴ εἰς ᾱͅ ἢ εἰς ῃ̄· καὶ αἰτιατικὴ εἰς ν̄ · μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ἡ μαῖα, τῆς μαίας, τῇ μαίᾳ, τὴν μαῖαν, ὦ μαῖα· τὰ μαία, ταῖν μαίαιν, ὦ μαία· αἱ μαῖαι, τῶν μαιῶν, ταῖς μαίαις, τὰς μαίας, ὦ μαῖαι· Ἡ μοῦσα, τῆς μούσης, τῇ μούσῃ· τὴν μοῦσαν, ὦ μοῦσα· τὰ μούσα, ταῖν μούσαιν, ὦ μούσα· αἱ μοῦσαι, τῶν μουσῶν, ταῖς μούσαις, τὰς μούσας, ὦ μοῦσαι· Ἡ τιμή, τῆς τιμῆς, τῇ τιμῇ, τὴν τιμήν, ὦ τιμή· τὰ τιμά, ταῖν τιμαῖν, ὦ τιμά· αἱ τιμαί, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμάς, ὦ τιμαί· Ἰστέον ὅ,τι μόνα τὰ εἰς ᾱ καθαρόν, ἢ εἰς ρα, ἢ εἰς δα, ἢ εἰς θα, λήγοντα, τὸ ληκτικὸν αὐτὸ ᾱ φυλάσσοντα κλίνεται· μαῖα, μαίας· ἡμέρα ἡμέρας· λῆδα, λήδας· κιστῶθα· κιστῶθας·

Τρίτη δὲ ἡ τῶν εἰς ος ληγόντων ἀρσενικῶν τε καὶ θηλυκῶν· καὶ εἰς ον οὐδετέρων· πλὴν τῶν συγκριτικῶν· ὧν ἡ γενικὴ, εἰς ου· ἡ δοτικὴ εἰς ῳ· ἡ αἰτιατικὴ εἰς ν̄ · μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει·

Ὁ θεός· τοῦ θεοῦ, τῷ θεῷ, τὸν θεόν, ὦ θεός· καὶ ὦ θεέ· τὼ θεώ, τοῖν θεοῖν· ὦ θεώ· οἱ θεοί, τῶν θεῶν, τοῖς θεοῖς, τοὺς θεούς, ὦ θεοί·

Ἡ ὁδός, τῆς ὁδοῦ, τῇ ὁδῷ· τὴν ὁδόν, ὦ ὁδός· καὶ ὦ ὁδέ· τὰ ὁδώ· ταῖν ὁδοῖν· ὦ ὁδώ· αἱ ὁδοί· τῶν ὁδῶν· ταῖς ὁδοῖς· τὰς ὁδούς, ὦ ὁδοί·

Τὸ καλόν· τοῦ καλοῦ· τῷ καλῷ· τὸ καλόν· ὦ καλόν· τὼ καλώ τοῖν καλοῖν· ὦ καλώ· τὰ καλά· τῶν καλῶν· τοῖς καλοῖς· τὰ καλά· ὦ καλά·

Τετάρτη κλίσις ἡ τῶν εἰς ως ληγόντων, ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ εἰς, ων, οὐδετέρων, ὧν ἡ γενικὴ, εἰς ω, ἡ δοτικὴ εἰς ῳ, ἡ αἰτιατική· εἰς ν̄, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, λήγει. Ὁ μενέλεως· τοῦ

a iii

μενέλεω, τῷ μενέλεῳ, τὸν μενέλεων, ὦ μενέλεως. Τὼ μενέλεω, τοῖν μενέλεων, ὦ μενέλεω. Οἱ μενέλεῳ, τῶν μενέλεων, τοῖς μενέλεῳς, τοὺς μενέλεως, ὦ μενέλεῳ. Ἡ ἅλως, τῆς ἅλω, τῇ ἅλῳ, τὴν ἅλων, ὦ ἅλως. Τὰ ἅλω, ταῖν ἅλῳν, ὦ ἅλω. Αἱ ἅλῳ, τῶν ἅλων, ταῖς ἅλῳς, τὰς ἅλως, ὦ ἅλῳ. Τὸ ἀνώγεων, τοῦ ἀνώγεω, τῷ ἀνώγεῳ, τὸ ἀνώγεων, ὦ ἀνώγεων. Τὼ ἀνώγεω, τοῖν ἀνώγεῳν, ὦ ἀνώγεω. Τὰ ἀνώγεω, τῶν ἀνώγεων, τοῖς ἀνώγεῳς, τὰ ἀνώγεω, ὦ ἀνώγεω. Πέμπτη κλίσις ἡ τῶν ἀρσενικῶν τε καὶ θηλυκῶν καὶ οὐδετέρων, ὧν ἡ γενικὴ εἰς ος, ἡ δοτικὴ εἰς ι, ἡ αἰτιατικὴ εἰς α, πλὴν τῶν οὐδετέρων. Ὁ αἴας, τοῦ αἴαντος, τῷ αἴαντι, τὸν αἴαντα, ὦ αἴας καὶ ὦ αἶαν. Τὼ αἴαντε, τοῖν αἰάντοιν, ὦ αἴαντε. Οἱ αἴαντες, τῶν αἰάντων, τοῖς αἴασι, τοὺς αἴαντας, ὦ αἴαντες. Ἡ ξυγὼν, τῆς ξυγόνος, τῇ ξυγόνι, τὴν ξυγόνα, ὦ ξυγών. Τὰ ξυγόνε, ταῖν ξυγόνοιν, ὦ ξυγόνε. Αἱ ξυγόνες, τῶν ξυγόνων, ταῖς ξυγόσι, τὰς ξυγόνας, ὦ ξυγόνες. Τὸ βῆμα, τοῦ βήματος, τῷ βήματι, τὸ βῆμα, ὦ βῆμα. Τὼ βήματε, τοῖν βημάτοιν, ὦ βήματε. Τὰ βήματα, τῶν βημάτων, τοῖς βήμασι, τὰ βήματα, ὦ βήματα. Τῆς δὲ πέμπτης ταύτης κλίσεως, ὅσοις ἂν καὶ συναίρεσιν παρέχῃ, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον· διὸ καὶ τὰ μὲν πολυπαθῆ, τὰ δὲ ὀλιγοπαθῆ καλείσθω. Ἔστω δὲ καὶ τῶν μὲν πολυπαθῶν τὰ μὲν η. ε. ο. καταλήγοντα, οἷον τὰ τοιαῦτα· δημοσθένης, ἀληθής, τεῖχος. Τὰ δὲ ι, ὄφις, σίνηπι. Τὰ δὲ α, κρέας. Τῶν δὲ ὀλιγοπαθῶν τὰ μὲν ευ, βασιλεύς, τὰ δὲ ου, βοῦς, τὰ δὲ ω, λητώ, αἰδώς. Τὰ δὲ πρώτου υ, ἡδύς, ἄστυ, τὰ δὲ δευτέρου υ, βότρυς.

Γ Ὡς δὲ καὶ περὶ τούτων ἕκαστα μεταβαίνει θεωρείσθω ἐν τούτοις. λαβόντι πρότερον πάντων τῶν οὐδετέρων, καὶ παρὰ τῶν δυϊκῶν τὴν αὐτὴν εἶναι εὐθεῖαν καὶ αἰτιατικὴν, καὶ κλητικήν, καὶ πάντων τῶν πληθυντικῶν τὴν αὐτὴν εἶναι εὐθεῖαν καὶ κλητικήν. Πάθη τῶν η. ε. ο. εσ. ει. εα. ει. εοι. εω. τοῦ δημοσθένεος, τῷ δημοσθένεϊ, τὸν δημοσθένεα, τὼ δημοσθένεε, τοῖν δημοσθενέοιν. Οἱ δημοσθένεες, τῶν δημοσθενέων, τοὺς δημοσθένεας, τὰ τείχεα. Πάθη τῶν ι. ιι. ιε. ια. τῶν ὄφιοι, ὄφιες, τοὺς ὄφιας, τὰ σινήπια. Τούτων δὲ καὶ τὸ ο τῆς γενικῆς εἰς ω μεταβάλλεται καὶ τὸ ι εἰς ε, ὄφεος, ὄφεοιν, καὶ ὅλως παραλήγοντι.

εἰς ῑ μεταβάλλει· ὥστε καὶ πάλιν συναιρέσεις γίνεσθαι τοῖς τοῦ
η̄· ε̄· ο̄· ὁμοίας· ὄφεϊ· ὄφιες· ὄφιας· σύνηπται. Πάθη τοῦ ᾱ·
αος· αϊ· αι· αοιν· αα· αω. τοῦ κρέαος· τῷ κρέαϊ· τὼ κρέαε· τοῖν κρε
άοιν· τὰ κρέαα· τῶν κρεάων. Πάθη τοῦ εῦ· εϊ· εε· εα· ὡς βασιλέϊ·
οἱ βασιλέες· τοὺς βασιλέας. Τούτων δὲ τὸ ο̄ τῆς γενικῆς εἰς ω̄ μετα-
βάλλει ἀττικῶς βασιλέως· καὶ πάλιν τὸ ε̄ εἰς η̄ τρέπεται ἰδιαζόντως τῇ ποιή
σει ἰωνικῶς· βασιλῆος· βασιλῆϊ. Πάθη τοῦ ου· οε· οα· οἱ βόες· τοὺς βόας.
Πάθη τοῦ ω̄· οο· οϊ· οα· τῆς λητόος· τῇ λητόϊ· τὴν λητόα. Τούτων τὰ δυϊκὰ καὶ
τὰ πληθυντικὰ τῆς δευτέρας γίνεται κλίσεως· τὰ λητώ· τοῖν λητοῖν· αἱ λητοί, τῶν λητῶν.
Πάθη τοῦ προτέρου ῡ· εϊ· εε· εα· ὡς ἡδέϊ· οἱ ἡδέες· τοὺς ἡδέας. Πάθη τοῦ
δευτέρου ῡ· υε· υα· οἱ βότρυες· τοὺς βότρυας. Γίνεσθω δὲ καὶ τῇ ἑνι
κῇ αἰτιατικῇ τοῦ τε ου καὶ ἀμφοτέρων τῶν ῡ, ἀπὸ τῆς εὐθείας τροπῇ τοῦ σ̄ εἰς ν̄·
βοῦς, βοῦν· βότρυς, βότρυν· ἡδὺς ἡδύν· καὶ ἡ τοῦ ῑ· ὡσαύτως. πλὴν δηλονότι
τῶν ὀξυτόνων ὄφις ὄφιν. Ὀνοματικῶν μὲν δὴ κλινέσθω ὡς εἴρηται, πάντα
χοῦ γενικῶν δὲ ὡς ἀπὸ γένους εἰς γένος, μετασχηματισμοῦ· ὁ δίκαιος ἡ δι-
καία· τὸ δίκαιον· ὁ ἡδύς· ἡ ἡδεῖα· τὸ ἡδύ. τῶν δὲ ἀριθμητικῶν ὀνομάτων, τὰ
μὲν ἓν σημαίνοντα, ἑνικῶς ἀεὶ κλίνεται· τὰ δὲ δύο, δυϊκῶς· τὰ δὲ πλείω, πλη
θυντικῶς ὧδε. Εἷς ἑνὸς ἑνὶ ἕνα. Μία μιᾶς μιᾷ μίαν. ἓν ἑνὸς
ἑνὶ ἕν. Δύο δυοῖν. Τρεῖς τριῶν τρισὶ τρεῖς. Τρία τριῶν τρισὶ τρία. Τέσ
σαρες τεσσάρων· τέσσαρσι· τέσσαρας· Τέσσαρα· τεσσάρων· τέσσαρσι· τέσσαρα.
Ἀπὸ δὲ τῶν τεσσάρων μέχρι τῶν ἑκατὸν ἀριθμῶν οὐδεὶς κλίνεται.
Τὰ δὲ παρεπόμενα τῷ ὀνόματι παραγωγῶν τὸ μέν, πατρωνυμικόν· τὸ δέ,
συγκριτικόν· τὸ δὲ ὑπερθετικόν· τὸ δὲ ὑποκοριστικόν· τὸ δὲ κτητικόν, τὸ δέ, παρώνυμον, τὸ δέ, ῥηματικόν.
Ἔστι δὲ τὸ μὲν ἀρσενικὸν πα-
τρωνυμικόν, ἤτοι εἰς δης, οἷον πρίαμος πριαμίδης· ἥλιος ἡλιάδης· πέλοψ
πέλοπος· πελοπίδης· ἀτρεὺς ἀτρέως· ἀτρείδης· ἢ εἰς ων· ἀτρεὺς ἀτρέως
ἀτρείων. Τὸ δὲ θηλυκὸν ἤτοι εἰς ῑς· οἷον πριαμίδης· πριαμίς· ἢ εἰς ᾱς·
οἷον ἡλιάδης· ἡλιάς. Συγκριτικὸν δὲ τὸ μὲν εἰς τερος· οἷον πλούσιος
πλουσιώτερος· πλουσιωτέρα· πλουσιώτερον· τὸ δὲ εἰς ων· οἷον καλὸς καλ
λίων· κάλλιον. Ὑπερθετικὸν δέ, τὸ μὲν εἰς τατος· πλουσιώτατος· πλουσιω
τάτη· πλουσιώτατον· τὸ δὲ εἰς στος· οἷον κάλλιστος· καλλίστη· κάλλιστον.

Ὑποκοριστικὸν δέ, τὸ μὲν εἰς κος· οἷον ἀνθρωπίσκος· νεανίσκος. τὸ δὲ εἰς ιον· οἷον ἀνθρώπιον. τὸ δὲ εἰς αδιον οἷον κρεάδιον. τὸ δὲ εἰς υδριον οἷον λογύδριον. τὸ δὲ εἰς υλλιον οἷον μειρακύλλιον. τὸ δὲ εἰς αριον οἷον παιδάριον. τὸ δὲ εἰς αξ· οἷον λίθαξ. τὸ δὲ εἰς ις· ἐπὶ θηλυκοῦ οἷον νησίς. Κτητικὸν δὲ τὸ μὲν εἰς κος ἀττικός· δαρεικός· δαρεική· δαρεικόν. τὸ δὲ εἰς ειος οἷον αἰάντειος αἰαντεία· αἰάντειον. Παρώνυμον δὲ θέων ἀπὸ τοῦ θεός. Ῥηματικὸν δὲ φιλήμων ἀπὸ τοῦ πεφίλημαι.

## ΠΕΡΙ ῬΗΜΑΤΟΣ.

Ῥήματα δὲ τὸ μέν, ἐνεργητικὸν οἷον τύπτω. τὸ δὲ παθητικόν, οἷον τύπτομαι. τὸ δὲ μέσον εἴτ' οὖν κοινὸν οἷον βιάζομαι. τὸ δὲ οὐδέτερον οἷον ὑγιαίνω. τὸ δὲ αὐτοενεργητικὸν οἷον μάχομαι. τὸ δὲ αὐτοπαθητικόν, οἷον πάσχω. ἔτι, τὸ μὲν εἰς ω βαρύτονον, οἷον τέρπω. τὸ δὲ εἰς ω περισπώμενον ἐκ συναιρέσεως οἷον ποιῶ. τὸ δὲ εἰς μι οἷον τίθημι.

Παρεπόμενα δὲ ἔχει εἴδος· σχῆμα· ἀριθμόν· πρόσωπον· χρόνον· ἔγκλισιν. Εἴδη μὲν πρωτότυπον· οἷον ἄρδω· παραγωγὸν οἷον ἀρδεύω. Σχῆμα δὲ ἁπλοῦν· οἷον φρονῶ· σύνθετον οἷον καταφρονῶ. Ἀριθμὸν ἑνικὸν· οἷον λέγω· δυϊκὸν οἷον λέγετον· πληθυντικὸν οἷον λέγουσιν. Πρόσωπον δὲ πρῶτον· οἷον γράφω· δεύτερον οἷον γράφεις· τρίτον οἷον γράφει. Χρόνους δὲ εἴτουν πέντε· ἐνεστῶτα· παρατατικόν· μέλλοντα· ἀόριστον· παρακείμενον· ὑπερσυντέλικον. Ἔγκλισιν δὲ ὁριστικήν· προστακτικήν, εὐκτικήν· ὑποτακτικήν· ἀπαρέμφατον. Κλίσεις δὲ ῥημάτων εἴτουν συζυγίαι ἔστωσαν πέντε, τέσσαρες μὲν τῶν εἰς ω ληγόντων. μία δέ, τῶν εἰς μι.

## ΚΛΙΣΙΣ χρονική.

Πρώτη μὲν οὖν, ἡ τῶν διὰ τοῦ β ἢ π ἢ φ ἢ πτ· οἷον λείβω· τέρπω· γράφω· τύπτω· ὧν ὁ μὲν μέλλων διὰ τοῦ ψ· ὁ δὲ παρακείμενος διὰ τοῦ φ. Ὁ ἐνεστὼς τύπτω· ὁ παρατατικὸς ἔτυπτον· ὁ μέλλων τύψω· ὁ ἀόριστος ἔτυψα· ὁ παρακείμενος τέτυφα· ὁ ὑπερσυντέλικος ἐτετύφειν· ὁ ἀόριστος β· ἔτυπον· ὁ μέλλων β· τυπῶ. ΜΕΣΑ.

Ὁ ἐνεστὼς τύπτομαι· ὁ παρατατικὸς ἐτυπτόμην· ὁ μέλλων· τύψομαι· ὁ ἀόριστος α· ἐτυψάμην· ὁ παρακείμενος τέτυπα· ὁ ὑπερσυντέλικος, ἐτετύπειν· ὁ ἀόριστος β', ἐτυπόμην· ὁ μέλλων β' τυποῦμαι. παθητικά· ὁ ἐνεστὼς· τύπτομαι· ὁ παρατατικὸς ἐτυπτόμην· ὁ παρακείμενος τέτυμμαι· ὁ ὑπερσυντέλικος ἐτετύμμην· ὁ ἀόριστος α· ἐτύφθην· ὁ μέλλων α· τυφθήσομαι· ὁ β' ἀόριστος· ἐτύπην· ὁ β' μέλλων τυπήσομαι· ὁ μετ' ὀλίγον μέλλων τετύψομαι·

Δευτέρα ἡ τῶν διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ ἢ πτ ἢ σσ ἢ ττ ἢ ζ· οἷον λέγω
πλέκω ἔχω τίκτω ὀρύττω παίζω· ὧν ὁ μὲν μέλλων διὰ τοῦ ξ· ὁ δὲ
παρακείμενος, διὰ τοῦ χ. ΕΝΕΡΓΗΤΙΚΑ.
Ὁ ἐνεστὼς πλέκω· ὁ παρατατικὸς ἔπλεκον· ὁ μέλλων πλέξω· ὁ ἀόριστος ἔπλεξα· ὁ παρακείμενος
πέπλεχα· ὁ ὑπερσυντέλικος ἐπεπλέχειν· ὁ β' ἀόριστος ἔπλακον· ὁ β' μέλλων πλακῶ.
ΜΕΣΑ. Ὁ ἐνεστὼς, πλέκομαι· ὁ παρατατικὸς ἐπλεκόμην· ὁ μέλλων πλέξομαι· ὁ
ἀόριστος ἐπλεξάμην· ὁ παρακείμενος πέπλοκα· ὁ ὑπερσυντέλικος ἐπεπλόκειν· ὁ β' ἀόριστος ἐπλα
κόμην· ὁ β' μέλλων πλακοῦμαι. ΠΑΘΗΤΙΚΑ.
Ὁ ἐνεστὼς πλέκομαι· ὁ παρατατικὸς ἐπλεκόμην· ὁ παρακείμενος πέπλεγμαι· ὁ ὑπερσυντέλικος ἐ
πεπλέγμην· ὁ ἀόριστος ἐπλέχθην· ὁ μέλλων πλεχθήσομαι· ὁ β' ἀόριστος ἐπλάκην· ὁ β' μέλλων
Τρίτη ἡ τῶν διὰ τοῦ δ ἢ θ || πλακήσομαι· ὁ μετ' ὀλίγον μέλλων πεπλέξομαι.
ἢ τ ἢ ζ ἢ ττ ἢ ω καθαροῦ· οἷον ᾄδω πλήθω ἀνύτω φράζω πλάττω ἀ-
Ὁ ἐνεστὼς ἀκούω· ὁ παρατατικὸς ||κούω· ὧν ὁ μὲν μέλλων διὰ τοῦ σ· ὁ δὲ παρακείμενος διὰ τοῦ κ.
ἤκουον· ὁ μέλλων ἀκούσω· ὁ ἀόριστος ἤκουσα· ὁ ὑπερσυντέλικος ἠκούκειν· ὁ β' ἀόριστος ἤκοον· ὁ β' μέλλων ἀ
ΜΕΣΑ. Ὁ ἐνεστὼς ἀκούομαι· ὁ παρατατικὸς ἠκουόμην· ὁ μέλλων ἀκούσομαι· ὁ ||κοῶ.
ἀόριστος ἠκουσάμην· ὁ παρακείμενος ἤκουα· ὁ ὑπερσυντέλικος ἠκούειν· ὁ β' ἀόριστος ἠκοόμην· ὁ β' μέλλων ἀκοοῦμαι.
ΠΑΘΗΤΙΚΑ. Ὁ ἐνεστὼς ἀκούομαι· ὁ παρατατικὸς ἠκουόμην· ὁ παρακείμενος ἤκουσμαι·
ὁ ὑπερσυντέλικος ἠκούσμην· ὁ ἀόριστος ἠκούσθην· ὁ μέλλων ἀκουσθήσομαι· ὁ β' ἀόριστος ἠκόην· ὁ
Τετάρτη ἡ διὰ τῶν τεσ- ||β' μέλλων ἀκοήσομαι· ὁ μετ' ὀλίγον μέλλων ἠκούσομαι.
σάρων ἀμεταβόλων· λ μ ν ρ, οἷον ψάλλω· νέμω· κρίνω· σπείρω· ὧν
ὁ μὲν μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου περισπώμενος μετὰ συστολῆς τῆς
ΕΝΕΡγητικά. Ὁ ἐνεστὼς σπεί ||παραληγούσης· ὁ δὲ παρακείμενος διὰ τοῦ κ.
ρω· ὁ παρατατικὸς ἔσπειρον· ὁ μέλλων σπερῶ· ὁ ἀόριστος ἔσπειρα· ὁ παρακείμενος ἔσπαρκα· ὁ
ὑπερσυντέλικος ἐσπάρκειν· ὁ β' ἀόριστος ἔσπαρον· ὁ β' μέλλων σπαρῶ. ΜΕΣΑ.
Ὁ ἐνεστὼς σπείρομαι· ὁ παρατατικὸς ἐσπειρόμην· ὁ μέλλων σπεροῦμαι· ὁ ἀόριστος ἐσπειρά-
μην· ὁ παρακείμενος ἔσπορα· ὁ ὑπερσυντέλικος ἐσπόρειν· ὁ β' ἀόριστος ἐσπαρόμην· ὁ β' μέλλων
ΠΑΘΗΤΙΚΑ. Ὁ ἐνεστὼς σπείρομαι· ὁ παρατατικὸς ἐσπειρό ||σπαροῦμαι.
μην· ὁ παρακείμενος ἔσπαρμαι· ὁ ὑπερσυντέλικος ἐσπάρμην· ὁ ἀόριστος ἐσπάρθην· ὁ μέλλων
σπαρθήσομαι· ὁ β' ἀόριστος ἐσπάρην· ὁ β' μέλλων σπαρήσομαι· ὁ μετ' ὀλίγον μέλλων
Πέμπτη ἡ τῶν εἰς μι ληγόντων ἁπάντων· οἷον ἵστημι ||ἐσπάρσομαι.
τίθημι, δίδωμι, ζεύγνυμι· ὧν δὴ ἀπὸ τῶν εἰς ω καθαρὸν λεγόντων παρα-

γραμμάτων· τὸ μὲν ἀπὸ τῶν διὰ τοῦ α ῥημάτων γίνεται, οἷον ἱστάω ἵστημι· τὸ δὲ ἀπὸ τῶν διὰ τοῦ ε, οἷον τιθέω τίθημι· τὸ δὲ ἀπὸ τῶν διὰ τοῦ ο, ὡς τὸ διδόω δίδωμι· τὸ δὲ ἀπὸ τῶν διὰ τοῦ υ, ὡς ζωννύω ζώννυμι. καὶ ἐπὶ τοῦ παθητικοῦ καὶ μέσου καὶ δηλονότι καὶ πληθυντικοῦ, τῶν παρακειμένων ἕκαστον ἔχουσι τελλόμενον, εἰς τὸ τῆς ἀρχῆς παρακειμένου ὅθεν παράγεται· ἵστημι, ἵσταμαι· τίθημι, τίθεμαι, δίδωμι, δίδομαι· ζώννυμι, ζώννυμαι. καὶ ὅλως αἱ αὐξήσεις τῶν μέσων ἑκάστου ἀπὸ τοῦ τρίτου οἰκείου αὐτοῦ ἀρχικοῦ φωνήεντος, καὶ εἰς αὐτὸ συνίζανα λόγως· ἵστην ἱστὰς ἱστάντες ἱσταίην. μέλλων δὲ τοῦ ἴδιος, οὐδὲ εἷς, ὅτι μὴν παρ' ὅσιν. ὁ παρατατικὸς δὲ καὶ ἀόριστος β' εἰσὶ μετὰ τοῦ παρακειμένου ἐν τῷ ἐνεστῶτι φω-

ΕΝΕΡΓΗΤΙΚΑ. Ὁ ἐνεστὼς τίθημι. ὁ παρατατικὸς ἐτίθην. ὁ β' ἀόριστος ἔθην. ΜΕΣΑ. Ὁ ἐνεστὼς τίθεμαι. ὁ παρατατικὸς ἐτιθέμην. ὁ β' ἀόριστος ἐθέμην. ΠΑΘΗΤΙΚΑ. ὁ ἐνεστὼς τίθεμαι. ὁ παρατατικὸς ἐτιθέμην. ὁ παρακείμενος τέθειμαι. ὁ ὑπερσυντέλικος ἐτεθείμην. ὁ ἀόριστος ἐτέθην. ὁ μέλλων τεθήσομαι.

ΕΝΕΡ. Ὁ ἐνεστὼς ἵστημι. ὁ παρατατικὸς ἵστην. ὁ β' ἀόριστος ἔστην. ΜΕΣΑ. Ὁ ἐνεστὼς ἵσταμαι. ὁ παρατατικὸς ἱστάμην. ὁ β' ἀόριστος ἐστάμην. ΠΑΘΗΤΙΚΑ. Ὁ ἐνεστὼς ἵσταμαι. ὁ παρατατικὸς ἱστάμην. ὁ ὑπερσυντέλικος ἑστάμην. ὁ ἀόριστος ἐστάθην. ὁ μέλλων σταθήσομαι.

ΕΝΕΡ. Ὁ ἐνεστὼς δίδωμι. ὁ παρατατικὸς ἐδίδων. ὁ β' ἀόριστος ἔδων. ΜΕΣΑ. Ὁ ἐνεστὼς δίδομαι. ὁ παρατατικὸς ἐδιδόμην. ὁ β' ἀόριστος ἐδόμην. ΠΑΘΗΤΙΚΑ. Ὁ ἐνεστὼς δίδομαι. ὁ παρατατικὸς ἐδιδόμην. ὁ παρακείμενος δέδομαι. ὁ ὑπερσυντέλικος ἐδεδόμην. ὁ ἀόριστος ἐδόθην. ὁ μέλλων δοθήσομαι. ΕΝΕΡ. ὁ ἐνεστὼς ζώννυμι. ΜΕΣΑ καὶ παθητικά. Ὁ ἐνεστὼς ζώννυμαι. ὁ ὑπερσυντέλικος ἐζώσμην. ὁ παρατατικὸς ἐζωννύμην. Σύμφωνα τοῦ μέλλοντος ψ ξ σ. ἀμετάβολα. Ἰστέον ὅτι τὸ α ε ο ἀρκτικὰ ῥήματος ὄντα, εἴτε καθ' αὐτά, εἴτε σὺν δι-φθόγγῳ, χρονικῶς ἐφ' ἑκάστου τῶν παρῳχημένων αὔξεται ὧδε. α. αι. αυ. ε. ευ. ο. οι. Κλίσις μὲν δὴ χρονικὴ αὕτη ῥημάτων. Ἔστω δὲ καὶ διαθετικὴ κλίσις σχηματιζομένη διαθετικῶς ὧδε. τύπτω τύπτομαι. ἔτυπτον ἐτυπτόμην. τύψω τύψομαι. ἔτυψα ἐτυψάμην. καὶ τὰ ἄλλα ὁμοίως, ἀπ' ἄρχεσθαι δηλονότι τῆς ἐνεργητικῆς, ἀφ' ἑκάστων τῶν ὁμωνύμων πλὴν τοῦ ὑπερσυντελίκου, καὶ τοῦ ἀορίστου α καὶ τοῦ μέλλοντος τοῦ παθητικοῦ. ῥημάτων σύνολον. Ἔστω δὲ καὶ κλίσις ἐγκλιτικὴ καὶ ἑτέρα ῥηματικὴ προσαγορευέσθω. τις προσωπικὴ ὧδε. ΕΝΕΡΓΗτικὰ ἐνεστῶτος. Τὸ ὁριστικόν, τύπτω

τύπτεις τύπτει· τύπτετον τύπτετον· τύπτομεν τύπτετε τύπτουσιν. παρατατικός. ἔτυπτον ἔτυπτες ἔτυπτε· ἐτύπτετον ἐτυπτέτην· ἐτύπτομεν ἐτύπτετε ἔτυπτον. Τὸ προστακτικὸν τύπτε τυπτέτω· τύπτετον τυπτέτων· τύπτετε· τυπτέτωσαν.

Τὸ εὐκτικόν, τύπτοιμι τύπτοις τύπτοι· τύπτοιτον τυπτοίτην· τύπτοιμεν τύπτοιτε τύπτοιεν. Τὸ ὑποτακτικόν, ἐὰν τύπτω τύπτῃς τύπτῃ· τύπτητον τύπτητον· τύπτωμεν τύπτητε τύπτωσιν. Τὸ ἀπαρέμφατον, τύπτειν. μέλλων. Τὸ ὁριστικόν, τύψω τύψεις τύψει. τύψετον τύψετον· τύψομεν τύψετε τύψουσιν. Τὸ εὐκτικόν, τύψοιμι τύψοις τύψοι· τύψοιτον τυψοίτην· τύψοιμεν τύψοιτε τύψοιεν

Τὸ ἀπαρέμφατον, τύψειν. ἀόριστος α΄. Τὸ ὁριστικὸν ἔτυψα ἔτυψας ἔτυψε· ἐτύψατον ἐτυψάτην· ἐτύψαμεν ἐτύψατε ἔτυψαν. Τὸ προστακτικόν, τύψον τυψάτω· τύψατον τυψάτων· τύψατε τυψάτωσαν. Τὸ εὐκτικόν τύψαιμι τύψαις τύψαι· τύψαιτον τυψαίτην· τύψαιμεν τύψαιτε τύψαιεν. Τὸ ὑποτακτικόν, ἐὰν τύψω τύψῃς τύψῃ· τύψητον τύψητον, τύψωμεν. τύψητε τύψωσιν.

Τὸ ἀπαρέμφατον, τύψαι. παρακείμενος. Τὸ ὁριστικόν, τέτυφα τέτυφας τέτυφε· τετύφατον τετύφατον τετύφαμεν τετύφατε τετύφασιν. Τὸ προστακτικόν, τέτυφε τετυφέτω· τετύφετον τετυφέτων· τετύφετε τετυφέτωσαν. Τὸ εὐκτικόν, τετύφοιμι τετύφοις τετύφοι· τετύφοιτον τετυφοίτην· τετύφοιμεν τετύφοιτε τετύφοιεν. Τὸ ὑποτακτικόν, ἐὰν τετύφω τετύφῃς τετύφῃ· τετύφητον τετύφητον· τετύφωμεν τετύφητε τετύφωσιν. Τὸ ἀπαρέμφατον, τετυφέναι. ὑπερσυντέλικος. Τὸ ὁριστικὸν ἐτετύφειν ἐτετύφεις ἐτετύφει· ἐτετύφειτον ἐτετυφείτην· ἐτετύφειμεν· ἐτετύφειτε ἐτετύφεισαν. ἀόριστος β΄. Τὸ ὁριστικόν, ἔτυπον ἔτυπες ἔτυπε· ἐτύπετον ἐτυπέτην· ἐτύπομεν ἐτύπετε ἔτυπον. Τὸ προστακτικὸν τύπε τυπέτω, τύπετον τυπέτων· τύπετε τυπέτωσαν. Τὸ εὐκτικόν, τύποιμι τύποις τύποι· τύποιτον τυποίτην· τύποιμεν τύποιτε τύποιεν.

Τὸ ὑποτακτικόν, ἐὰν τύπω, τύπῃς, τύπῃ· τύπητον τύπητον· τύπωμεν τύπητε τύπωσιν. Τὸ ἀπαρέμφατον, τυπεῖν.

Μέλλων β΄. Τὸ ὁριστικόν, τυπῶ· τυπεῖς, τυπεῖ· τυπεῖτον τυπεῖτον
τυποῦμεν τυπεῖτε τυποῦσι. Τὸ εὐκτικόν, τυποῖμι, τυποῖς
τυποῖ· τυποῖτον τυποίτην· τυποῖμεν τυποῖτε τυποῖεν.
Τὸ ἀπαρέμφατον, τυπεῖν. ἘΝΕΣΤΩΣ, Μέσα.
Τὸ ὁριστικόν, τύπτομαι τύπτῃ τύπτεται· τυπτόμεθον τύπτεσθον
τύπτεσθον· τυπτόμεθα τύπτεσθε τύπτονται. Παρατατικός.
ἐτυπτόμην ἐτύπτου ἐτύπτετο· ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέ
σθην· ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο. Τὸ προστακτικόν,
τύπτου τυπτέσθω· τύπτεσθον τυπτέσθων· τύπτεσθε τυπτέσθω-
σαν. Τὸ εὐκτικόν, τυπτοίμην τύπτοιο τύπτοιτο· τυπτοί-
μεθον τύπτοισθον τυπτοίσθην· τυπτοίμεθα τύπτοισθε τύπτοιν
το. Τὸ ὑποτακτικόν, ἐὰν τύπτωμαι τύπτῃ τύπτηται· τυπτώ
μεθον τύπτησθον τύπτησθον· τυπτώμεθα τύπτησθε τύπτωνται.
Τὸ ἀπαρέμφατον, τύπτεσθαι. Μέλλων α΄. Τὸ ὁριστικόν· τύ-
ψομαι τύψῃ τύψεται· τυψόμεθον τύψεσθον τύψεσθον· τυ-
ψόμεθα τύψεσθε τύψονται. Τὸ εὐκτικόν, τυψοίμην τύψοιο
τύψοιτο· τυψοίμεθον τύψοισθον τυψοίσθην· τυψοίμεθα,
τύψοισθε τύψοιντο. Τὸ ἀπαρέμφατον τύψεσθαι.
Ἀόριστος α΄. Τὸ ὁριστικόν, ἐτυψάμην ἐτύψω· ἐτύψατο· ἐτυψάμε-
θον ἐτύψασθον ἐτυψάσθην· ἐτυψάμεθα ἐτύψασθε ἐτύψαντο.
Τὸ προστακτικόν, τύψαι τυψάσθω· τύψασθον τυψάσθων· τύψα
σθε τυψάσθωσαν. Τὸ εὐκτικόν, τυψαίμην τύψαιο τύψαιτο· τυ
ψαίμεθον τύψαισθον τυψαίσθην· τυψαίμεθα τύψαισθε τύψαιντο.
Τὸ ὑποτακτικόν, ἐὰν τύψωμαι τύψῃ τύψηται· τυψώμεθον τύψησθον τύ-
ψησθον· τυψώμεθα τύψησθε τύψωνται. Παρακείμενος. Τὸ ὁριστικόν, τέτυπα
τέτυπας τέτυπε· τετύπατον τετύπατον· τετύπαμεν τετύπατε
τετύπασι. Τὸ προστακτικόν· τέτυπε τετυπέτω· τετύπετον
τετυπέτων· τετύπετε τετυπέτωσαν. Τὸ εὐκτικόν· τετύποι
μι, τετύποις, τετύποι· τετύποιτον τετυποίτην· τετύποιμεν τετύποι
τε, τετύποιεν. Τὸ ὑποτακτικόν· ἐὰν τετύπω, τετύπῃς, τετύπῃ· τε
τύπητον τετύπητον τετύπωμεν τετύπητε τετύπωσι. Τὸ ἀπαρέμ

φατον, τετυπέναι. Ὑπερσυντέλικος. Τὸ ὁριστικόν, ἐτετύπειν ἐτετύπεις, ἐτετύπει. ἐτετύπειτον ἐτετυπείτην. ἐτετύπειμεν ἐτετύπειτε ἐτετύπεισαν. Ἀόριστος β΄. ἐτυπόμην ἐτύπου ἐτύπετο. ἐτυπόμεθον ἐτύπεσθον ἐτυπέσθην. ἐτυπόμεθα ἐτύπεσθε ἐτύποντο. Τὸ προστακτικόν, τυποῦ τυπέσθω. τύπεσθον τυπέσθων. τύπεσθε τυπέσθωσαν. Τὸ εὐκτικόν, τυποίμην τύποιο τύποιτο. τυποίμεθον τύποισθον τυποίσθην. τυποίμεθα τύποισθε τύποιντο. Τὸ ὑποτακτικόν, ἐὰν τύπωμαι τύπῃ τύπηται. ἐὰν τυπώμεθον τύπησθον τύπησθον. Ἐὰν τυπώμεθα τύπησθε τύπωνται. Τὸ ἀπαρέμφατον, τυπέσθαι. Μέλλων β΄. Τὸ ὁριστικόν. τυποῦμαι, τυπῇ, τυπεῖται. τυπούμεθον τυπεῖσθον τυπεῖσθον. τυπούμεθα τυπεῖσθε τυποῦνται. Τὸ εὐκτικόν, τυποίμην τυποῖο τυποῖτο. τυποίμεθον τυποῖσθον τυποίσθην. τυποίμεθα τυποῖσθε τυποῖντο. Τὸ ἀπαρέμφατον, τυπεῖσθαι:~

ΠΑΘΗΤΙΚΑ ἐνεστώς.

Τὸ ὁριστικὸν ἑνικά, τύπτομαι τύπτῃ τύπτεται. δυϊκά τυπτόμεθον τύπτεσθον τύπτεσθον. πληθυντικά τυπτόμεθα τύπτεσθε τύπτονται. Παρατατικός. ἐτυπτόμην ἐτύπτου ἐτύπτετο. ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην. ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο. Τὸ προστακτικόν, τύπτου τυπτέσθω. τύπτεσθον τυπτέσθων. τύπτεσθε τυπτέσθωσαν. Τὸ εὐκτικόν, τυπτοίμην τύπτοιο τύπτοιτο. τυπτοίμεθον τύπτοισθον τυπτοίσθην. τυπτοίμεθα τύπτοισθε τύπτοιντο. Τὸ ὑποτακτικὸν ἐὰν τύπτωμαι τύπτῃ τύπτηται. ἐὰν τυπτώμεθον τύπτησθον τύπτησθον. ἐὰν τυπτώμεθα τύπτησθε τύπτωνται. Τὸ ἀπαρέμφατον, τύπτεσθαι. Παρακείμενος. Τὸ ὁριστικόν, τέτυμμαι, τέτυψαι, τέτυπται. τετύμμεθον τέτυφθον τέτυφθον. τετύμμεθα τέτυφθε τετύφαται.

Ὑπερσυντέλικος. Τὸ ὁριστικόν, ἐτετύμμην ἐτέτυψο ἐτέτυπτο. ἐτετύμμεθον ἐτέτυφθον ἐτετύφθην. ἐτετύμμεθα ἐτέτυφθε ἐτετύφατο. Τὸ προστακτικόν, τέτυψο τετύφθω. τέτυφθον τετύφθων. τέτυφθε τετύφθωσαν. Τὸ ἀπαρέμφατον, τετύφθαι.

Ἀόρ. α'. Τὸ ὁριστικόν, ἑν. ἐτύφθην ἐτύφθης ἐτύφθη, δυ. ἐτύφθητον ἐτυφθήτην. πλη. ἐτύφθημεν ἐτύφθητε ἐτύφθησαν. Τὸ προστακτικὸν, ἑν. τύφθητι τυφθήτω. δυ. τύφθητον τυφθήτων. πλη. τύφθητε τυφθήτωσαν. Τὸ εὐκτικὸν. ἑν. τυφθείην τυφθείης τυφθείη. δυ. τυφθείητον τυφθειήτην. πλη. τυφθείημεν τυφθείητε τυφθείησαν καὶ τυφθεῖεν. Τὸ ὑποτακτικὸν. ἑνικά. ἐὰν τυφθῶ τυφθῇς τυφθῇ. δυ. ἐὰν τυφθῆτον τυφθῆτον. πλη. ἐὰν τυφθῶμεν τυφθῆτε τυφθῶσι. Τὸ ἀπαρέμφατον. τυφθῆναι. Μέλλ. α'. Τὸ ὁριστικόν, ἑν. τυφθήσομαι τυφθήσῃ τυφθήσεται. δυ. τυφθησόμεθον τυφθήσεσθον τυφθήσεσθον. πλη. τυφθησόμεθα τυφθήσεσθε τυφθήσονται. Τὸ εὐκτικὸν, ἑν. τυφθησοίμην τυφθήσοιο τυφθήσοιτο. δυ. τυφθησοίμεθον τυφθήσοισθον τυφθησοίσθην. πλη. τυφθησοίμεθα τυφθήσοισθε τυφθήσοιντο. Τὸ ἀπαρέμφατον, τυφθήσεσθαι.

Ἀόρ. β'. Τὸ ὁριστικόν. ἑν. ἐτύπην ἐτύπης ἐτύπη. δυ. ἐτύπητον ἐτυπήτην. πλη. ἐτύπημεν ἐτύπητε ἐτύπησαν. Τὸ προστακτικὸν. ἑν. τύπηθι τυπήτω. δυ. τύπητον τυπήτων. πλη. τύπητε τυπήτωσαν. Τὸ εὐκτικὸν. ἑνικά. τυπείην τυπείης τυπείη. δυ. τυπείητον τυπειήτην. πλη. τυπείημεν τυπείητε τυπείησαν καὶ τυπεῖεν. Τὸ ὑποτακτικὸν ἑνικ. ἐὰν τυπῶ τυπῇς τυπῇ. δυ. ἐὰν τυπῆτον τυπῆτον. πλη. ἐὰν τυπῶμεν τυπῆτε τυπῶσιν. Τὸ ἀπαρέμφατον τυπῆναι. Μέλλ. β. Τὸ ὁριστικόν. ἑνικά. τυπήσομαι. τυπήσῃ τυπήσεται. δυ. τυπησόμεθον τυπήσεσθον τυπήσεσθον. πλη. τυπησόμεθα τυπήσεσθε τυπήσονται. Τὸ εὐκτικὸν ἑν. τυπησοίμην τυπήσοιο τυπήσοιτο. δυ. τυπησοίμεθον τυπήσοισθον τυπησοίσθην. πλη. τυπησοίμεθα τυπήσοισθε τυπήσοιντο. Τὸ ἀπαρέμφατον. τυπήσεσθαι. Μετ' ὀλ. μέλλ. Τὸ ὁριστικ. ἑν. τετύψομαι τετύψῃ τετύψεται. δυ. τετυψόμεθον τετύψεσθον τετύψεσθον. πλη. τετυψόμεθα τετύψεσθε τετύψονται. Τὸ εὐκτικ. ἑνι. τε

τυψοίμεθα τετύψοιο τετύψοιτο. δυϊ. τετυψοίμεθον τετύψοιοθον τετυψοίσθον. πλη. Τετυψοίμεθα τετύψοισθε τετύψοιντο. Τὸ ἀπαρέμφατον τετύψεσθαι.

ΕΝΕΡΓΗΤΙΚΑ ΕΝΕΣΤΩΣ.

Τὸ ὁριστικὸν, τίθημι τίθης τίθησι | τίθετον τίθετον. Τίθεμεν τίθετε τιθέασι. παρατατ. Ἐτίθην ἐτίθης ἐτίθη. Ἐτίθετον ἐτιθέτην. Ἐτίθεμεν ἐτίθετε ἐτίθεσαν. Τὸ προστακτικόν. τίθετι τιθέτω. Τίθετον τιθέτων. Τίθετε τιθέτωσαν.

Τὸ εὐκτικόν. τιθείην τιθείης τιθείη. τιθείητον τιθειήτην. τιθείημεν τιθείητε τιθείησαν. Τὸ ὑποτακτικόν, Ἐὰν τιθῶ ἐὰν τιθῇς ἐὰν τιθῇ. Ἐὰν τιθῆτον ἐὰν τιθῆτον. Ἐὰν τιθῶμεν ἐὰν τιθῆτε ἐὰν τιθῶσιν. Τὸ ἀπαρέμφατον. τιθέναι. ἀόριστος. β΄.

Τὸ ὁριστικόν. ἔθην ἔθης ἔθη. Ἔθετον. ἐθέτην. Ἔθεμεν ἔθετε ἔθεσαν. Τὸ προστακτικόν. θέτι, καὶ θὲς, θέτω. Θέτον θέτων. Θέτε θέτωσαν. Τὸ εὐκτικόν. θείην θείης θείη. Θείητον θειήτην. Θείημεν θείητε θείησαν. Τὸ ὑποτακτικόν. ἐὰν θῶ θῇς θῇ. Ἐὰν θῆτον ἐὰν θῆτον. Ἐὰν θῶμεν ἐὰν θῆτε ἐὰν θῶσι. Τὸ ἀπαρέμφατον, θεῖναι.

ΜΕΣΑ ἐνεστώς.

Τὸ ὁριστικὸν, τίθεμαι τίθεσαι τίθεται. Τιθέμεθον. τίθεσθον τίθεσθον. Τιθέμεθα τίθεσθε τίθενται. παρατατ. Ἐτιθέμην, ἐτίθεσο καὶ ἐτίθου, ἐτίθετο. Ἐτιθέμεθον ἐτίθεσθον ἐτιθέσθην. Ἐτιθέμεθα ἐτίθεσθε ἐτίθεντο. Τὸ προστακτικόν. τίθεσο καὶ τίθου τιθέσθω. Τίθεσθον τιθέσθων. Τίθεσθε τιθέσθωσαν. Τὸ εὐκτικόν. τιθείμην τιθεῖο τιθεῖτο. Τιθείμεθον τιθεῖσθον τιθείσθην. Τιθείμεθα τιθεῖσθε τιθεῖντο. Τὸ ὑποτακτικὸν, Ἐὰν τιθῶμαι ἐὰν τιθῇ ἐὰν τιθῆται. Ἐὰν τιθώμεθον ἐὰν τιθῆσθον ἐὰν τιθῆσθον. Ἐὰν τιθώμεθα ἐὰν τιθῆσθε ἐὰν τιθῶνται. Τὸ ἀπαρέμφατον τίθεσθαι. ἀόριστος. β. Τὸ ὁριστικόν. ἐθέμην. ἔθεσο καὶ ἔθου ἔθετο, καὶ τὰ λοιπὰ τοῖς τοῦ ἐτιθέμην ὁμοίως.

ΠΑΘΗΤΙΚΑ Ἐνεστώς.

Τὸ ὁριστικὸν, τίθεμαι. τίθεσαι τίθεται. Τιθέμεθον τιθε-

σθον τίθεσθον· | τιθέμεθα τίθεσθε τίθενται· Παρατατικός·
Ἐτιθέμην ἐτίθεσο καὶ ἐτίθου, ἐτίθετο· | ἐτιθέμεθον ἐτίθεσθον
ἐτιθέσθην· | ἐτιθέμεθα ἐτίθεσθε ἐτίθεντο· Τὸ προστακτικόν·
Τίθεσο καὶ τίθου τιθέσθω· | τίθεσθον τιθέσθων· | τίθεσθε τιθέσθω-
σαν· Τὸ εὐκτικόν· τιθείμην τιθεῖο τιθεῖτο· | τιθείμεθον· τιθεῖ-
σθον· τιθείσθην· | τιθείμεθα· τιθεῖσθε· τιθεῖντο· Τὸ ὑποτακτικόν.
Ἐὰν τιθῶμαι· ἐὰν τιθῇ ἐὰν τιθῆται· | ἐὰν τιθώμεθον ἐὰν τιθῆσθον
ἐὰν τιθῆσθον· | ἐὰν τιθώμεθα ἐὰν τιθῆσθε ἐὰν τιθῶνται· Τὸ ἀ-
παρέμφατον τίθεσθαι· Ἐνεστώς· Τὸ ὁριστικόν, τίθεμαι τίθε-
σαι τίθεται· | τιθέμεθον· τίθεσθον τίθεσθον· | τιθέμεθα τίθε-
σθε τίθενται· Τὸ εὐκτικόν· Τιθείμην τιθεῖο τιθεῖτο· | τιθεί-
μεθον τιθεῖσθον· τιθείσθην· | τιθείμεθα τιθεῖσθε τιθεῖντο·
Τὸ ὑποτακτικόν· ἐὰν τιθῶμαι ἐὰν τιθῇ ἐὰν τιθῆται· | ἐὰν
τιθώμεθον ἐὰν τιθῆσθον ἐὰν τιθῆσθον· | ἐὰν τιθώμεθα ἐὰν τιθῆ-
σθε ἐὰν τιθῶνται· Τὸ ἀπαρέμφατον, τιθέσθαι· Παρατατικός·
Τὸ ὁριστικόν· ἐτιθέμην· ἐτίθεσο ἐτίθετο· | ἐτιθέμεθον ἐτίθε-
σθον ἐτιθέσθην· | ἐτιθέμεθα ἐτίθεσθε ἐτίθεντο· Τὸ προστακτικόν·
τίθεσο τιθέσθω· | τίθεσθον τιθέσθων· τίθεσθε τιθέσθωσαν·
Ἀόρ. α'. Τὸ ὁριστικόν· ἐτέθην ἐτέθης ἐτέθη· | ἐτέθητον ἐτεθή-
την· | ἐτέθημεν ἐτέθητε ἐτέθησαν· Τὸ προστακτικόν· τέθητι
τεθήτω· | τέθητον τεθήτων· | τέθητε τεθήτωσαν· Τὸ εὐκτι-
κόν· τεθείην τεθείης τεθείη· | τεθείητον τεθειήτην· | τεθείημεν τε-
θείητε τεθείησαν· Τὸ ὑποτακτικόν· ἐὰν τεθῶ ἐὰν τεθῇς ἐὰν
τεθῇ· | ἐὰν τεθῆτον ἐὰν τεθῆτον· | ἐὰν τεθῶμεν· ἐὰν τεθῆτε ἐὰν τεθῶ-
σι· Τὸ ἀπαρέμφατον, τεθῆναι· Μέλ. α'. Τὸ ὁριστικόν, τε-
θήσομαι τεθήσῃ τεθήσεται· | τεθησόμεθον τεθήσεσθον τεθήσεσθον·
| τεθησόμεθα τεθήσεσθε τεθήσονται· Τὸ εὐκτικόν· τεθησοίμην
τεθήσοιο τεθήσοιτο· | τεθησοίμεθον τεθήσοισθον τεθησοίσθην· | τε-
θησοίμεθα τεθήσοισθε τεθήσοιντο· Τὸ ἀπαρέμφατον, τεθή-
σεσθαι·

ΕΝΕΡΓΗΤΙΚΑ· ἐνεστώς·

Τὸ ὁριστικόν· ἵστημι· Παρατατικός· ἵστην· Τὸ προστακτικόν· ἵστα

cf. τίθεμαι·

θι. Τὸ εὐκτικὸν, ἱσταίην. Τὸ ὑποτακτικὸν, ἐὰν ἱστῶ. Τὸ ἀπαρέμφατον, ἱστάναι. Ἀόριστος β΄. Τὸ ὁριστικὸν, ἔστην. Τὸ προστακτικὸν, στῆθι. Τὸ εὐκτικὸν, σταίην. Τὸ ὑποτακτικὸν, ἐὰν στῶ. Τὸ ἀπαρέμφατον, στῆναι.

## ΜΕΣΑ ΚΑΙ ΠΑΘΗΤΙΚΑ. ΕΝΕΣΤΩΣ.

Τὸ ὁριστικὸν, ἵσταμαι. Παρατατικός. ἱστάμην. Τὸ προστακτικὸν ἵστασο. Τὸ εὐκτικὸν, ἱσταίμην. Τὸ ὑποτακτικὸν, ἐὰν ἱστῶμαι. Τὸ ἀπαρέμφατον, ἵστασθαι. Μέλλων. Τὸ ὁριστικὸν.. ἵσταμαι. Τὸ εὐκτικὸν ἱσταίμην. Τὸ ὑποτακτικὸν, ἐὰν ἵστωμαι. Τὸ ἀπαρέμφατον, ἵστασθαι. Ἀόριστος. Τὸ ὁριστικὸν ἱστάμην. Τὸ προστακτικὸν, ἵστασο. ἀόρ. α΄. Τὸ ὁριστικὸν, ἐστάθην. Τὸ προστακτικὸν, στάθητι. Τὸ εὐκτικὸν, σταθείην. Τὸ ὑποτακτικὸν ἐὰν σταθῶ. Τὸ ἀπαρέμφατον, σταθῆναι. Μέλλων α΄. Τὸ ὁριστικὸν, σταθήσομαι. Τὸ εὐκτικὸν, σταθησοίμην. Τὸ ἀπαρέμφατον, σταθήσεσθαι.

## ΕΝΕΡΓΗΤΙΚΑ ΕΝΕΣΤΩΣ.

Τὸ ὁριστικὸν, δίδωμι. Παρατατικός. ἐδίδων. Τὸ προστακτικὸν, δίδοθι. Τὸ εὐκτικὸν, διδοίην. Τὸ ὑποτακτικὸν, ἐὰν διδῶ. Τὸ ἀπαρέμφατον διδόναι. Ἀόριστος β΄. Τὸ ὁριστικὸν, ἔδων. Τὸ προστακτικὸν δός. Τὸ εὐκτικὸν, δοίην. Τὸ ὑποτακτικὸν, ἐὰν δῶ. Τὸ ἀπαρέμφατον, δοῦναι.

## ΜΕΣΑ ΚΑΙ ΠΑΘΗΤΙΚΑ, ΕΝΕΣΤΩΣ.

Τὸ ὁριστικὸν, δίδομαι, Παρατατικός. ἐδιδόμην. Τὸ προστακτικὸν, δίδοσο ἢ δίδου. Τὸ εὐκτικὸν διδοίμην. Τὸ ὑποτακτικὸν, ἐὰν διδῶμαι. Τὸ ἀπαρέμφατον, δίδοσθαι. Μέλλων. Τὸ ὁριστικὸν, δίδομαι. Τὸ εὐκτικὸν, διδοίμην. Τὸ ὑποτακτικὸν, ἐὰν διδῶμαι, Τὸ ἀπαρέμφατον, δίδοσθαι. Ἀόριστος. Τὸ ὁριστικὸν ἐδιδόμην. Τὸ προστακτικὸν, δίδοσο. Ἀόριστος α΄. Τὸ ὁριστικὸν, ἐδόθην. Τὸ προστακτικὸν δόθητι. Τὸ εὐκτικὸν, δοθείην. Τὸ ὑποτακτικὸν, ἐὰν δοθῶ. Τὸ ἀπαρέμφατον, δοθῆναι, Μέλλων. Τὸ ὁριστικὸν, δοθήσομαι. Τὸ εὐκτικὸν δοθησοίμην.

bβ

Τὸ ἀπαρέμφατον, δοθήσεσθαι. Ἀόριστος β'. Τὸ ὁριστικὸν ἐδόμην. Τὸ προστακτικὸν δόσο καὶ δοῦ. Τὸ εὐκτικὸν δοίμην. Τὸ ὑποτακτικὸν, ἐὰν δῶμαι. Τὸ ἀπαρέμφατον, δόσθαι.

ΕΝΕΡΓΗΤΙΚΑ ἐνεστῶτος.

Τὸ ὁριστικὸν ζεύγνυμι. Παρατατικός, ἐζεύγνυν. Τὸ προστακτικὸν, ζεύγνυθι. Τὸ ἀπαρέμφατον, ζευγνῦναι.

ΜΕΣΑ ΚΑΙ ΠΑΘΗΤΙΚΑ.

Τὸ ὁριστικὸν ζεύγνυμαι. Παρατατικός, ἐζευγνύμην. Τὸ προστακτικὸν ζεύγνυσο. Τὸ ἀπαρέμφατον ζεύγνυσθαι. οὐκοῦν ἐγκλιτικῶς, καὶ χωρὶς ὧδε. Τὸ ὁριστικὸν τύπτω. Παρατατικός, ἔτυπτον. Προστακτικὸν τύπτε. Τὸ εὐκτικὸν τύπτοιμι. Τὸ ὑποτακτικὸν ἐὰν τύπτω. Τὸ ἀπαρέμφατον τύπτειν. καὶ τὰ ἄλλα ὁμοίως.

Ἰστέον δὲ ὅτι τῶν εἰς μι. τὰ διὰ τοῦ ω παραλήγοντα διὰ τοῦ αὐτοῦ ω ἔχει τὰ τοῦ ἐνεστῶτος, καὶ ἀορίστου ὑποτακτικά. ἐὰν διδῶ. διδῷς. διδῷ. ἐὰν δῶ. δῷς. δῷ. Ὅτι τὰ εἰς μι. τὰ διὰ τοῦ υ παραληγόμενα, ἔγκλισιν οὔτε εὐκτικήν, οὔτε ὑποτακτικὴν οἰκείαν ἑαυτῶν ἔχει.

Ὅτι τὰ τῆς τρίτης κλίσεως εἰς ω λήγοντα καθαρόν, καὶ τὸ α. ἢ τὸ ε ἢ τὸ ο παραλήγουσαν ἔχοντα. οἷον βοάω. ποιέω. χρυσόω αὐξανομένης χρονικῶς τῆς παραληγούσης, τὸν μέλλοντα ὡς ἐπὶ τὸ πλεῖστον ποιεῖ ὧδε. ποιήσω. βοήσω χρυσώσω. πάσχει δὲ καὶ συναιρέσεις, ἐπί τε ἐνεστῶτος καὶ παρατατικοῦ τριάς δέ τι καὶ τροπάς δέ.

Καλείσθω δὲ καὶ τὸ μὲν α. τὸ δὲ ε. τὸ δὲ ο.

Πάθη τῶν α. αω (ω). αει (ᾳ). αε (α). αο (ω). αου (ω). αη (α). αοι (ῳ).

Βοάω (ῶ). βοάεις (ᾷς). βοάετον (ᾶτον). βοάομεν (ῶμεν). βοάουσι (ῶσι). βοάῃ (ᾷ). βοάοιμι (ῷμι).

Πάθη τῶν ε. εω (ω). εει (ει). εε (ει). εο (ου). εου (ου). εη (η). εοι (οι).

Ποιέω (ῶ). ποιέεις (εῖς). ποιέετον (εῖτον). ποιέομεν (οῦμεν). ποιέουσι (οῦσι). ποιέῃ (ῇ). ποιέοιμι (οῖμι).

Πάθη τῶν ο. οω (ω). οε (ου). οο (ου). οου (ου). οη (ω). οι (οι). ἐν διφθόγγῳ ἤτοι ἐν ἰῶτι οὖν. πλὴν τοῦ ἀπαρεμφάτου. Χρυσόω (ῶ). χρυσόεις (οῖς). χρυσόετον (οῦτον). χρυσόομεν (οῦμεν). χρυσόουσι (οῦσι). χρυσόοιμι (οῖμι). χρυσόῃ (οῖ). χρυσόωμεν (ῶμεν). χρυσόοντι (οῦντι). χρυσόειν. οῦν. Τούτων δὲ πάντων καὶ οἱ ἐκ συναιρέσεως εὐκτικοὶ

ἐνεργητικοὶ ἐνεστῶτες τοῦ ληκτικοῦ μι, εἰς τὴν τρεπομένου προφέρονται, ποιοῖμι ποιοίην. Ὅθεν δὴ καὶ τὰ τῶν πληθυντικῶν τρίτα πρόσωπα οὐ μόνον εἰς ιν λήγοντα ἔχουσιν, ἀλλὰ καὶ εἰς ἀν ποιοίησαν. Ἴδια δέ τα ἐ καὶ συναίρεσιν τῶν πρώτων προσώπων οὐδὲ πρὸς τὰ ἐξ δισύλλαβα ὄντα. Κλίνεται δὲ καὶ εἰς τοὺς μέλλοντας, τὸ ῡ προσλαμβάνοντα, ὡς, ἐπὶ τοῦ πλεῖς πλέω, πλεύσω. Ὅτι ἐπὶ τῶν παθητικῶν παρακειμένων οὐκ ἔστιν ἀκολούθως τιθὲν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἔχοντος τοῦ τρίτου τῶν ἑνικῶν τὴν λήγουσαν διὰ συμφώνων δυοῖν. οἷον τέτυπται. πέπλεκται. διὸ καὶ ἤτοι τῷ ἰωνικῷ χρώμεθα. τετύφαται λέγοντες, καὶ πεπλέχαται. ἢ εἰς μετοχὴν καὶ ῥῆμα ὑπαρκτικὸν ἀναλυόμεν. τετυμμένοι εἰσὶ λέγοντες. καὶ πεπλεγμένοι εἰσίν, τὸ δὲ ὑπαρκτικὸν, ὧδε τυγχάνει κλινόμενον καὶ γραφόμενον.

## ΕΝΕΡΓΗΤΙΚΑ ΕΝΕΣΤΩΣ.

Τὸ ὁριστικὸν εἰμὶ εἶ ἐστίν. ἐστὸν ἐστόν. ἐσμὲν ἐστὲ εἰσίν.
παρατατικός. ἦν ἦς ἦν. ἦτον ἤτην. ἦμεν ἦτε ἦσαν.
Τὸ προστακτικὸν ἴσθι ἢ ἔσο. ἔστω ἔστον ἔστων. ἔστε ἔστωσαν.
Τὸ εὐκτικὸν εἴην εἴης εἴη εἴητον εἰήτην εἴημεν εἴητε εἴησαν ἢ εἶεν.
Τὸ ὑποτακτικὸν ἐὰν ὦ. ἐὰν ᾖς. ἐὰν ᾖ. ἐὰν ἦτον. ἐὰν ἦτον. ἐὰν ὦμεν. ἐὰν ἦτε. ἐὰν ὦσιν. Τὸ ἀπαρέμφατον εἶναι.

## ΜΕΛΛΩΝ

Τὸ ὁριστικὸν ἔσομαι. ἔσῃ. ἔσεται καὶ ἔσται. ἐσόμεθον. ἔσεσθον. ἔσεσθον. ἐσόμεθα. ἔσεσθε. ἔσονται. Τὸ εὐκτικὸν ἐσοίμην. ἔσοιο. ἔσοιτο. ἐσοίμεθον. ἔσοισθον. ἐσοίσθην. ἐσοίμεθα ἔσοισθε. ἔσοιντο. Τὸ ἀπαρέμφατον, ἔσεσθαι.

## ΠΕΡΙ ΜΕΤΟΧΗΣ.

Μετοχὴν δὲ διαιρετέον μὲν ὡς τὸ ῥῆμα. κλιτέον δὲ ὡς τὸ ὄνομα. καὶ ὅλως τῇ μὲν τοῦ ὀνόματος. τῇ δὲ τοῦ ῥήματος μετέχειν θετέον. ταῦτα γὰρ παρεπόμενα ἔχει τῷ τε ὀνόματι τῷ τε ῥήματι. θεωρείσθω δὴ ἐν τούτοις. ΕΝΕΡΓΗΤΙΚΑ ΕΝΕΣΤΩΣ.

Τύπτω. ὁ παρατατικὸς ἔτυπτον τὸ ἀρσενικὸν ὁ τύπτων.

b β ii

Τὸ θηλυκὸν ἡ τύπτουσα. τὸ οὐδέτερον τὸ τύπτον.
μέλλων α'. τύψω. ὁ τύψων. ἡ τύψουσα. τὸ τύψον. ἀόριστος α'. Ἔτυψα. ὁ τύψας. ἡ τύψασα. τὸ τύψαν. παρακείμενον καὶ ὑπερσυντέλικον Τέτυφα. ὁ τετυφώς. ἡ τετυφυῖα. τὸ τετυφός. ἀόριστος β'. Ἔτυπον. ὁ τυπών. ἡ τυποῦσα. τὸ τυπόν. μέλλων β'. τυπῶ. ὁ τυπῶν. ἡ τυποῦσα. τὸ τυποῦν.

ΜΕΣΑ ΕΝΕΣΤΩΣ.

Τύπτομαι. ὁ τυπτόμενος. ἡ τυπτομένη. τὸ τυπτόμενον. μέλλων α'. τύψομαι. ὁ τυψόμενος. ἡ τυψομένη. τὸ τυψόμενον. ἀόριστος α'. Ἐτυψάμην. ὁ τυψάμενος. ἡ τυψαμένη. τὸ τυψάμενον. παρακείμενον. Τέτυπα. ὁ τετυπώς. ἡ τετυπυῖα. τὸ τετυπός. ἀόριστος β'. Ἐτυπόμην, ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον. μέλλων β'. Τυποῦμαι, ὁ τυπούμενος ἡ τυπουμένη τὸ τυπούμενον.

Παθητικὰ. ἐνεστώς.

Τύπτομαι. ὁ τυπτόμενος. ἡ τυπτομένη. τὸ τυπτόμενον. παρακείμενον. Τέτυμμαι, ὁ τετυμμένος, ἡ τετυμμένη, τὸ τετυμμένον. ἀόριστος α'. Ἐτύφθην ὁ τυφθείς, ἡ τυφθεῖσα. Τὸ τυφθέν. μέλλων α'. Τυφθήσομαι ὁ τυφθησόμενος Ἡ τυφθησομένη, τὸ τυφθησόμενον. ἀόριστος β'. ἐτύπην, Ὁ τυπείς. ἡ τυπεῖσα. τὸ τυπέν. μέλλων β'. Τυπήσομαι, Ὁ τυπησόμενος, ἡ τυπησομένη, τὸ τυπησόμενον. μετ' ὀλίγον μέλλων. Τετύψομαι. ὁ τετυψόμενος. ἡ τετυψομένη τὸ τετυψόμενον. ἘΝΕΡΓΗΤΙΚΑ. ἐνεστώς.

Τίθημι ἐτίθην, ὁ τιθείς. ἡ τιθεῖσα, τὸ τιθέν. ἀόριστος β'. Ἔθην, Ὁ θείς, ἡ θεῖσα, τὸ θέν. ἘΝΕΣΤΩΣ. Ἵστημι, ἵστην Ὁ ἱστάς, ἡ ἱστᾶσα. τὸ ἱστάν. ἀόριστος β'. Ἔστην, ὁ στάς, ἡ στᾶσα. τὸ στάν. ἘΝΕΣΤΩΣ. Δίδωμι ἐδίδων. ὁ διδούς. ἡ διδοῦσα. τὸ διδόν. ἀόριστος β'. Ἔδων. ὁ δούς. ἡ δοῦσα. τὸ δόν. ἘΝΕΣΤΩΣ. Ζεύγνυμι ἐζεύγνυν ὁ ζευγνύς. ἡ ζευγνῦσα τὸ ζευγνύν. ἘΝΕΣΤΩΣ. εἰμὶ ἦν. ὁ ὤν ἡ οὖσα τὸ ὄν.

μέλλων ἔσομαι, ὁ ἐσόμενος, ἡ ἐσομένη, τὸ ἐσόμενον.

Κλίνεται δὲ τὰ μὲν θηλυκὰ πάντα κατὰ τὴν δευτέραν τῶν ὀνομάτων κλίσιν. Τῶν δὲ ἀρσενικῶν τε καὶ οὐδετέρων· τὰ μὲν ἐνεργητικὰ ὡς ἡ πέμπτη· τὰ δὲ παθητικὰ· ὡς ἡ τρίτη· πλὴν τῶν ἀορίστων· τῆς πέμπτης δηλονότι καὶ αὐτῶν ὄντων. Τὰ δὲ μέσα εἰς τὴν τρίτην καὶ αὐτὰ ἀνάγεται· πλὴν τοῦ τοῦ παρακειμένου· τῆς πέμπτης δὴ καὶ αὐτῶν ὄντων.

## Περὶ Ἀντωνυμίας.

Ἀντωνυμία ἐστὶν ἡ μὲν, πρωτότυπος· ἡ δὲ, κτητική· ἡ δὲ, δεικτική· ἡ δὲ ἀναφορική· ἡ δὲ, σύνθετος· ἔχει δὲ καὶ γένη, καὶ ἀριθμοὺς, καὶ πτώσεις, καὶ πρόσωπα παρεπόμενα. Πρωτότυποι μὲν οὖν τρεῖς· ἐγὼ· σὺ· ὅς. Κλίσεις δὲ τούτων θετικῶς αὗται. ἘΝΙΚΑ΄. Ἡ εὐθεῖα· ἐγώ· ἡ γενική, ἐμοῦ· ἡ δοτικὴ ἐμοί· ἡ αἰτιατικὴ ἐμέ. δυϊκά. Ἡ εὐθεῖα καὶ αἰτιατικὴ νώ· ἡ γενικὴ καὶ δοτικὴ νῷν. πληθυντικά. Ἡ εὐθεῖα· ἡμεῖς· ἡ γενικὴ ἡμῶν· ἡ δοτικὴ ἡμῖν· ἡ αἰτιατικὴ ἡμᾶς.

ἑνικά. Σύ· σοῦ· σοί· σέ. δυϊκά. σφώ· σφῷν.

πληθυντικά. ὑμεῖς· ὑμῶν· ὑμῖν· ὑμᾶς. ἑνικά. Ὅς· οὗ· οἷ· ἕ.

δυϊκά. σφέ· σφίν. πληθυντικά. σφεῖς· σφῶν· σφίσι· σφᾶς.

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι ὀκτὼ· ἐμός· σός· ἑός· νωΐτερος· σφωΐτερος· ἡμέτερος· ὑμέτερος· σφέτερος· ὧν δὴ ἑκάστη τριγενῶς λέγεται ἐμός· ἐμή· ἐμόν· νωΐτερος· νωϊτέρα· νωΐτερον· ἢ ὅπως κλιθήσεται, δῆλον.

## ΔΕΙΚΤΙΚΑΊ.

Δεικτικαὶ δὲ, δύο τριγενῶς καὶ αὗται λεγόμεναι· οὗτος· αὕτη· τοῦτο· ἐκεῖνος· ἐκείνη· ἐκεῖνο. καὶ κλινόμεναι ὧδε.

ἑνικά. Οὗτος· τούτου· τούτῳ· τοῦτον· ὦ οὗτος. δυϊκά. τούτω· τούτοιν· ὦ τούτω. πληθυντικά. Οὗτοι· τούτων· τούτοις· τούτους· ὦ οὗτοι.

ἑνικά. Αὕτη· ταύτης· ταύτῃ· ταύτην· ὦ αὕτη. δυϊκά. Ταύτα· ταύταιν· ὦ ταύτα. πληθυντικά. Αὗται· τούτων· ταύταις· ταύτας· ὦ αὗται. ἑνικά. Τοῦτο· τούτου· τούτῳ· τοῦτο· ὦ τοῦτο.

δυϊκά. Τούτω· τούτοιν· ὦ τούτω. πληθυντικά. Ταῦτα· τούτων· τούτοις· ταῦτα· ὦ ταῦτα.

## ἈΝΑΦΟΡΙΚΑΊ.

Ἐκεῖνος· ἐκείνου· ἐκείνῃ· ἐκείνης· ἐκεῖνο· ἐκείνου· ὡς αἱ τῶν ὀνομάτων

κλίσεις. Ἀναφορικὴ δὲ τριμία, τριγενὴς καὶ αὕτη λεγομένη· αὐτός, αὐτή, αὐτό. Ἴδιον δὲ ταύτης, ἡ τρίτου προσώπου σημασία· αὐτὸς γὰρ ἀντὶ τοῦ ἐγώ, ἢ σύ, ἢ ἐκεῖνος. ΣΥΝΘΕΤΟΙ. Σύνθετοι δὲ τρεῖς, εὐθείας οὐκ ἔχουσαι· ἐμαυτοῦ, σαυτοῦ, καὶ ἑαυτοῦ, λεγόμεναι τριγενεῖς. Καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου ἐπὶ τοσοῦτον κλινόμεναι· ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτόν· σαυτοῦ, σαυτῷ, σαυτόν· αἱ δὲ τοῦ τρίτου ἐφ' ὅλον· αἳ δὴ καὶ οὐ μόνον συνθέτως, ἀλλὰ καὶ διῃρημένως κλίνονται ἐπὶ τῶν πληθυντικῶν· οἷον ἑαυτῶν, καὶ σφῶν αὐτῶν· ἑαυτοῖς, καὶ σφίσιν αὐτοῖς, ἑαυτούς· καὶ σφᾶς αὐτούς.

## ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΣ.

Πρόθεσις δὲ ἡ μὲν μονοσύλλαβος· ἡ δὲ δισύλλαβος· παρεπόμενα δὲ ἔχει, τὸ ὀξύνεσθαι εἰ ἐπιδέχεται τόνον, τὸ ψιλοῦσθαι, πλὴν τῶν ἀπὸ τοῦ υ ἀρχομένων· τὸ βραχυκαταληκτεῖν, πλὴν δυοῖν. Θεωρείσθω δὲ ἐν τούτοις· ἐν· εἰς· ἐξ· σύν· πρός· πρό· ἀνά· κατά· διά· μετά· παρά· ἀντί· ἐπί· περί· ἀμφί· ἀπό· ὑπό· ὑπέρ. Περὶ ἐπιρρήματος.

Ἐπίρρημα δὲ τὸ μὲν χρονικόν· οἷον νῦν· τότε· πότε· ἤδη· ἄρτι· αὖθις· τέως· ἕως· ἡνίκα· ἔπειτα· μετέπειτα· σήμερον· αὔριον· χθές· πάλαι· ἀεί. Τὸ δὲ, τόπου· οἷον ἄνω· κάτω· ἔξω· ἔσω· πόρρω, ἐγγύς, ἐναντίως· χαμαί· ἔνθα, ὅθεν, ἐπέκεινα, μακράν. Τὸ δὲ ποιότητος· οἷον εὖ· καλῶς, ἡδέως, σοφῶς, ἃ δὴ καὶ μεσότητος εἶναι λέγεται, χυνηδόν, βοτρυδόν, ἀγεληδόν. Τὸ δὲ ποσότητος· οἷον ἅπαξ, δίς, τρίς, πολλάκις, ὀλιγάκις. Τὸ δὲ ἀθροίσεως, οἷον ἅμα, ὁμοῦ, συλλήβδην· ἀθρόως. Τὸ δὲ διαιρέσεως· οἷον ἄνευ, χωρίς, δίχα. Τὸ δὲ ἐξαιρέσεως, οἷον πλήν. Τὸ δὲ τάξεως, οἷον ἑξῆς, ἐφεξῆς, εὐθύς· εὐθέως· ἐξαίφνης, αὐτίκα, παραχρῆμα.

Τὸ δὲ ὁμοιώσεως, οἷον, ὡς, ὥσπερ, καθά, καθάπερ. Τὸ δὲ ἀποστάσεως, οἷον ὥστε. Τὸ δὲ συγκρίσεως, οἷον μᾶλλον, ἧττον. Τὸ δὲ ἐπιτάσεως, οἷον λίαν, ἄγαν, μάλιστα, πάνυ, σφόδρα. Τὸ δὲ ἀνέσεως· οἷον ἠρέμα· ἡσυχῆ· μόγις. Τὸ δὲ βεβαιώσεως· οἷον δηλαδή· δήπουθεν· πάντως, ὄντως, ἦ. Τὸ δὲ κατωμόσεως· οἷον νή· ναί. Τὸ δὲ καταφάσεως· οἷον, ναί. Τὸ δὲ ἀπωμόσεως· οἷον μά.

Τὸ δὲ ἀρνήσεως· οἷον οὐ· οὐδαμῶς· ἥκιστα.

Τὸ δὲ ἀπαγορεύσεως· οἷον μηδαμῶς· μή.

Τὸ δὲ εἰκασμοῦ· οἷον ἴσως· τάχα· τυχόν.

Τὸ δὲ ἐρωτήσεως· οἷον πόθεν· ποῖ· ποῦ· πηνίκα· πῶς.

Τὸ δὲ δείξεως· οἷον ἰδού· ἠνί· ὧδε· ἐκεῖ· ἐνθάδε.

Τὸ δὲ κλήσεως· οἷον ὦ.

Τὸ δὲ διασαφήσεως· οἷον ἤγουν· οἷον· τουτέστιν· ἤτουν.

Τὸ δὲ θέσεως· οἷον ἀναγνωστέον· γραπτέον.

Τὸ δὲ εὐχῆς· οἷον εἴθε· ὤφελον.

Τὸ δὲ σχετλιασμοῦ· οἷον ἆ· ὢ· ἰού· οἴμοι· φεῦ.

Τὸ δὲ θαυμασμοῦ· οἷον ὦ· φεῦ.

Τὸ δὲ ἐκπλήξεως· οἷον ἆ· ἡράκλεις.

Τὸ δὲ θειασμοῦ· οἷον εὐοῖ εὐάν.

Ἔχει δὲ παρεπόμενα εἶδος· καὶ σχῆμα· τὸ μὲν γὰρ πρωτότυπον οἷον νῦν· τὸ δὲ παράγωγον· οἷον ἑτέρωθεν· καὶ τὸ μὲν ἁπλοῦν οἷον πάλαι· τὸ δὲ σύνθετον· οἷον πρόπαλαι.

## ΠΕΡῚ ΣΥΝΔΈΣΜΟΥ.

Σύνδεσμος δὲ ὁ μὲν συμπλεκτικός· οἷον μὲν· δέ· τέ· καί· ἀλλά· ἀτάρ· αὐτάρ.

Ὁ δὲ διαζευκτικός· οἷον ἤ· ἤτοι.

Ὁ δὲ συναπτικός· οἷον εἰ· εἴπερ· εἰδή· εἰδήπερ.

Ὁ δὲ παρασυναπτικός· οἷον ἐπεί· ἐπειδή.

Ὁ δὲ αἰτιολογικός· οἷον ἵνα· ὅπως· γάρ· ὅτι· διότι.

Ὁ δὲ ἀπορηματικός· οἷον ἄρα· εἶτα· μῶν· μή.

Ὁ δὲ συλλογιστικός· οἷον ἄρα· ἀλλά· ἀλλαμήν· οὖν· τοίνυν· τοίγαρτοι· τοιγαροῦν.

Ὁ δὲ παραπληρωματικός· οἷον δή· πού· τοί· δῆτα· πέρ· πῶ· μήν· οὖν· νύ.

Ὁ δὲ δυνητικός· οἷον ἄν.

Ὁ δὲ διακριτικός· ἤτουν ἐπιλεκτικός· οἷον ἤ.

b β iiii

Ὁ δὲ ἐλαττωτικός· οἷον, γοῦν· γε·
Ὁ δὲ ἐναντιωματικός· οἷον ὅμως· καίτοι· καίπερ·
Ἔχει δὲ παρεπόμενον, σχῆμα· ὁ μὲν γὰρ ἁπλοῦς· οἷον ἐπεί· ὁ δὲ σύνθετος· οἷον ἐπειδή· περὶ μὲν οὖν τῶν ὀκτὼ τοῦ λόγου μερῶν ταύτῃ διωρίσθω τὸ πρῶτον·

## ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ.

## ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ ΔΕΥΤΕΡΟΝ.

ΜΕΤΑ δὲ ταῦτα πάλιν ἀπὸ τῶν πρώτων ἀρξάμενοι, λέγωμεν περὶ τῶν αὐτῶν, ὥσπερ τινὰ τέχνην τῶν εἰρημένων τιθέντες, ἐπὶ πλείω ἅττα τῶν καθέκαστον ἀνάγοντες εἰς αὐτά. Τῶν τοίνυν φωνηέντων τὰ μέν· ᾱ· η· ε· ο· ω, προτακτικά· τὰ δὲ ῑ· ῡ, ὑποτακτικά· οὕτω γάρτοι ἐπιπλεκόμενα, συνίστησι τὰς διφθόγγους· ἐνίοτε δὲ καὶ τὸ ῡ προτακτικόν, ὡς ἐν τῷ υἱός· ἅρπυια· μυῖα· δίφθογγοι γὰρ, καὶ αἱ· ῃ· ῳ· ηυ· ᾳ· ἡ καταχρηστικῶς· ἡ δὲ ωυ ἰώνων. Ἔτι τῶν φωνηέντων, τὰ μέν· ᾱ· ε· ο, μεταβολικά· μεταβάλλεται γὰρ ἐπὶ τῶν παρῳχημένων τὸ μὲν ᾱ, καὶ ε, εἰς η· ἀθηνῶ, ἠθήνουν· ἐθέλω, ἤθελον· τὸ δὲ ο εἰς ω· ὀφείλω, ὤφειλον· Τὰ δὲ η· ι· υ· ω, ἀμετάβολα, ὡς μὴ μεταβάλλοντα· ἠσημονέω γὰρ, ἠσημόνουν· ἰξεύω, ἴξευον· ὑβρίζω, ὕβριζον· ὠφελῶ, ὠφέλουν· Μεταβάλλεται γὰρ ὁμοίως εἰς η τὸ ι πανταχοῦ· πλὴν τῶν τεσσάρων

καὶ διαλεκτικῶν· ἐφ᾽ ὧν τὸ ῑ προσλαμβάνει.

Τῶν δὲ συμφώνων τὰ μὲν ζ, ξ, ψ, διπλᾶ ἐκ συμφώνων δυοῖν σύγκειται· τὸ ζ, ἐκ τοῦ σ καὶ δ· τὸ δὲ ξ, ἐκ τοῦ κ καὶ σ· τὸ δὲ ψ, ἐκ τοῦ π καὶ σ.

Τὰ δὲ λ, μ, ν, ρ, ἀμετάβολα, ὅτι γὰρ ἐπὶ τῶν ῥηματικῶν χρηματισμῶν μεταβάλλει· οὔτε ἐπὶ τῶν ὀνοματικῶν κλίσεων· ψάλλω, ψαλῶ· νέμω, νεμῶ· κείνω, κεινῶ· σπείρω, σπερῶ· νέστωρ, νέστορος· ἕλλην, ἕλληνος.

Τὰ δὲ ψιλὰ, καὶ δασέα, καὶ μέσα, οὕτως πως ἔχει· ὥστε τὸ μὲν β, μέσον τοῦ π καὶ φ εἶναι τὴν φωνήν· τὸ δὲ γ, μέσον τοῦ κ καὶ χ· τὸ δὲ δ, μέσον τοῦ θ καὶ τ:~

## ΠΕΡῚ ΣΥΛΛΑΒΗ͂Σ.

Συλλαβῶν δὲ, τὸ μέν ἐστι μακρόν· τὸ δὲ, βραχύ· τὸ δὲ, κοινόν. καὶ τοῦ μακροῦ, τὸ μὲν, φύσει ἥρως· τὸ δὲ θέσει, ἀπλῆς· συνίστησι δὲ τὴν μὲν λέξιν, ἡ συλλαβή· ἐπιπλοκὴ δή τις αὕτη γραμμάτων ὑπάρχουσα· τὸν δὲ λόγον, ἡ λέξις.

Λόγος δὲ, τῇ μὲν, ἐντεινόμενος· τῇ δὲ, ἀνιέμενος, ταῖς καλουμέναις προσῳδίαις τυγχάνει:~

## ΠΕΡῚ ΠΡΟΣῼΔΊΑΣ.

Τῶν δὲ προσῳδιῶν, ἡ μὲν ὀξεῖα καὶ ἡ βαρεῖα· καὶ ἡ περισπωμένη, τόνοι. ἡ δὲ δασεῖα· καὶ ἡ ψιλὴ, πνεύματα· ἡ δὲ ἀπόστροφος, καὶ ἡ ὑφὲν, καὶ ἡ διαστολὴ, πάθη.

Τόποι τῆς μὲν ὀξείας, ἡ λήγουσα· ὅθεν τὸ ὀξύτονον, ἀγαθός. ἡ παραλήγουσα, ὅθεν τὸ παροξύτονον ἢ βαρύτονον, λόγος. ἡ προπαραλήγουσα· ὅθεν τὸ προπαροξύτονον, δίκαιος.

Τῆς δὲ βαρείας τόπος, πᾶσαι αἱ ὁμαλῶς ἀναγινωσκόμεναι συλλαβαί· διὸ καὶ συλλαβικὸς ὀνομάζεται τόνος· τίθεται δὲ ἐπὶ μόνων τῶν ὀξυτονουμένων, ὅταν κατὰ συνέπειαν ἀναγινώσκωμεν ὁμαλῆ. οἷον τοὺς περὶ τὸν ἄρχοντα.

Τῆς δὲ περισπωμένης τόπος, ἡ λήγουσα· ὅθεν τὸ περισπώμενον, ποιῶ· καὶ ἡ παραλήγουσα, ὅθεν τὸ προπερισπώμενον, ποιοῦμαι.

Τῆς δὲ δασείας τε καὶ ψιλῆς· τὰ ἀρκτικὰ φωνήεντα· ἄνθρωπος, ὅμηρος· καὶ τῶν συμφώνων τὸ ρ· ῥῆμα.

Τῆς δὲ ἀποστρόφου· ἔνθα τι ἐκθλίβεται· ἄρα οὗτος, ἄρ' οὗτος.

Τῆς δὲ ὑφὲν ὑπὸ τοῖς ἐκ δυοῖν τινῶν ἢ καὶ πλειόνων συνθέτοις· οἷον πασιμέλουσα.

Τῆς δὲ διαστολῆς· ὑφ' ἃ τῶν συντιθεμένων διακρίνειν τινὰ δεῖ ἐμποιεῖν· ὅ,τι:~

## ΠΕΡῚ ΤΩ͂Ν ΤΟΥ͂ ΛΌΓΟΥ ΜΕΡΩ͂Ν.

## ΠΕΡῚ ὈΝΌΜΑΤΟΣ.

Τῶν δὲ τοῦ λόγου μερῶν τοὔνομα δὴ παρὰ τὰ πρότερον εἰρημένα, καὶ ἐθνικόν τι ἐστίν· οἷον φρύξ· καὶ ἀόριστον ὁποῖος τις· καὶ περιληπτικόν, δῆμος· καὶ ἐπιμεριζόμενον· ἕτερον· ἑκάτερος· ἕκαστος, ἄλλος· καὶ περιεκτικόν, ἀμπελών· καὶ πεποιημένον· φλοῖσβος· καὶ τακτικὸν πρῶτος, δεύτερος· καὶ πρός τι πατήρ· καὶ ὡς πρός τι· νύξ· θάνατος. Τὰ μὲν δὴ κύρια ἀεὶ μονογενῆ ἐστι· καὶ ἤτοι ἀρσενικὸν μόνον, ἢ θηλυκόν· οἷον ὅμηρος· καλλιόπη. Τῶν προσηγορικῶν, ὅσα σημαντικὰ ζώων, κοινὰ τῶν γενῶν ὡς ἐπὶ τὸ πλεῖστόν ἐστιν· ἔνια μέντοι καὶ ἐπίκοινα.

Τὰ δὲ κυρίως ἐπίθετα τριγενῆ πάντα· σοφός· σοφή· σοφόν. τὰ δὲ ἐπαμφοτερίζοντα καὶ νῦν μὲν ὡς ἐπίθετα λαμβανόμενα, νῦν δὲ ὡς προσηγορικά· οἷον τὸ ἱκέτης· καὶ πολίτης· καὶ βασιλεύς· καὶ τὰ τοιαῦτα, διγενῆ ἐστιν· τοιοῦτο δὲ καὶ τὸ γέρων καὶ πτώξ.

Τὰ μὲν οὖν εἰς ος καθαρὸν ἁπλᾶ τριγενῆ, εἰς α τὸ θηλυκὸν παρασχηματίζει· δίκαιος δικαία. Ὡσαύτως δὲ καὶ εἰς τῷ ρ συλλαβιζομένην ἔχει τὴν λήγουσαν· ἀνθηρός, ἀνθηρά· τὸ δὲ σοφίη καὶ τὰ τοιαῦτα ἰωνικά. Τὰ δὲ εἰς μος καθαρὸν λήγοντα, εἰς η τὸ θηλυκὸν ἔχει σχηματιζόμενον· οἷον ἔρημος, ἐρήμη· φρόνιμος, φρονίμη.

Τὰ δὲ ἐρωτηματικὰ εἴτουν πευστικὰ τριγενῆ καὶ αὐτά ἐστι· τίς, τί· ποῖος, ποία, ποῖον. κλητικὴν τε οὐκ ἔχει. λαμβάνεται δὲ ἢ κατ' οὐσίαν· οἷον τὸ τίς· ἢ κατὰ ποιόν· οἷον ποῖος· ἢ κατὰ ποσόν· οἷον τὸ πόσον, καὶ πηλίκον, καὶ πόσον· καὶ πότερον· ἢ κατὰ τόπον.

ποδαπός. ὡσαύτως δὲ καὶ τὰ ἀόριστα τριγενῆ ἐστι, καὶ ἕκαστα ἀφ' ἑκάστων τῶν πευστικῶν σχηματίζεται· προσθέσει τοῦ ο· ποῖος, ὁποῖος, πότερος, ὁπότερος. Τριγενῆ δὲ εἰσὶ τὰ ἀναφορικὰ καὶ ἢ κατὰ τὸ ποιὸν ἢ κατὰ τὸ ποσὸν λαμβανόμενα· τοιοῦτος· οἷος· τηλικοῦτον ἡλίκον τόσον, ὅσον.

Τὰ δὲ περιληπτικὰ ἤτοι συστηματικὰ, μονογενῆ· δῆμος· πλῆθος.

Τά γε μὴν ἐπιμεριζόμενα, τριγενῆ· ἕτερος ἑτέρα ἕτερον, ἄλλος, ἄλλη, ἄλλο· τριχῶς δὲ τὰ ἐπιμεριζόμενα· ἢ γὰρ ἓν ἐκ δυοῖν· οἷον τὸ ἕτερον· ἢ δύο καθ' ἕν· οἷον τὸ ἑκάτερον· ἢ ἓν ἐκ πολλῶν· οἷον τὸ ἄλλο, ἢ πολλὰ καθ' ἕν· οἷον τὸ ἕκαστον.

Τριγενῆ δὲ καὶ τὰ τακτικά· πρῶτος, πρώτη, πρῶτον, καὶ τὰ μετουσιαστικά· λίθινος, λιθίνη, λίθινον· ταῦτα δὲ, καὶ ἀπὸ μόνων τῶν ὁμοιομερῶν σχηματίζεται· ξύλον γὰρ καὶ ὀστοῦν καὶ σὰρξ τῶν ὁμοιομερῶν· ὅθεν τὸ ξύλινον καὶ ὀστέινον· καὶ σάρκινον· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, εἰς δύο δὲ μάλιστα καταλήξεις ἀναμερίζεται· ἤτοι γὰρ εἰς ινον, πήλινον· ἢ εἰς ωδης· πηλώδης γεώδης. Τῶν γε μὴν ἐκ μετάλλων ἰδία κατάληξις εἰς εον καὶ ουν κατὰ συναίρεσιν χρύσεον σιδήρεον χάλκεον ἀργύρεον· οἷς ἐστι τὸ κεραμεοῦν ἠκολούθησεν. Καθόλου δὲ τῷ ὀνόματι ἕπεται τὰ πρότερον εἰρημένα πέντε· ὧν τὸ γένος, καταχρηστικῶς καὶ κοινόν τι καὶ ἐπίκοινον ἔστι· τὸ μὲν γὰρ ἀρσενικῷ μόνως ὑποτασσόμενον ἄρθρῳ ἀρσενικόν· τὸ δὲ θηλυκῷ μόνως θηλυκόν· τὸ δὲ οὐδετέρῳ, οὐδέτερον· τὸ δὲ ἀμφοῖν, ἀρσενικῷ τε καὶ θηλυκῷ, κοινόν· τὸ δὲ συνθατέρῳ ἄμφω τὰ γένη σημαῖνον, ἐπίκοινον· οἷον ἀετός· χελιδών. Εἴδη δὲ τὸ μὲν πρωτότυπον οἷον παῖς· τὸ δὲ παράγωγον οἷον λόγιος. Παραγώγου δὲ ἑπτὰ μάλιστα εἴδη τὰ πρότερον εἰρημένα· ὧν τοῦ συγκριτικοῦ τε καὶ ὑπερθετικοῦ σχηματισμοὶ ὧδε.

## ΣΧΗΜΑΤΙΣΜΟῚ ΣΥΓΚΡΙΤΙΚΩ͂Ν ΚΑῚ ὙΠΕΡΘΕΤΙΚΩ͂Ν.

Τὰ εἰς ος λήγοντα τῶν ἐπιθέτων τριγενῶν ὀνομάτων μεταβολῇ τοῦ ς εἰς τ, καὶ προσλήψει τοῦ ερος συγκριτικὰ γίνεται· οἷον ἔνδοξος ἐνδο-

ξότερος· προσλήψει δὲ τοῦ τατος, ὑπερθετικά· ἔνδοξος ἐνδοξότερος ἐνδοξότατος· παλαιὸς παλαιότατος· πλὴν τοῦ καλὸς καὶ κακός, καὶ ἑτέρων τινῶν· καλλίων γὰρ κάλλιστος, κακίων κάκιστος, βελτίων βέλτιστος, ἀμείνων κρείττων ἄριστος· χείρων, ἐλάττων· ἥσσων, μείων, ἐλάχιστος, μείζων· μέγιστος, ῥᾴων ῥᾷστος.

Εἰ δὲ εἰς ης τὸ θετικὸν διὰ τοῦ εος τυγχάνει κλινόμενον· ἀπὸ τοῦ ες οὐδετέρου τὸ συγκριτικὸν καὶ ὑπερθετικὸν γίνεται, μεταβολῇ καὶ προσλήψει ὡς εἴρηται· εὐγενὴς εὐγενές, εὐγενέστερος, εὐγενέστατος· ἀληθής, ἀληθές, ἀληθέστερος, ἀληθέστατος.

Εἰ δὲ εἰς υς εἴη εὐθεῖα· δῆλον ὅτι καὶ τοῦτο ἀπὸ τοῦ οὐδετέρου ὁμοίως· βραχύς, βραχύ, βραχύτερος· βραχύτατος· πλὴν τοῦ ἡδύς· πολύς· ταχύς· ἡδίων γὰρ ἥδιστος· καὶ πλείων πλεῖστος· καὶ ταχίων· τάχιστος, εἰ καὶ ταῦτα προσθέσει ἔτι τοῦ τερος· καὶ τατος εἴη ἂν σχηματίσαι, πλὴν τοῦ πολύς· ἡδύτερος, ἡδύτατος, ταχύτερος, ταχύτατος.

Τῶν εἰς υς ἄρα τὰ μὲν ἁπλοῦν τὸ συγκριτικὸν καὶ ὑπερθετικὸν ποιεῖται· τὰ δὲ, διπλοῦν· ἁπλοῦν μὲν τὸ εὐρύς, εὐρύτερος γὰρ εὐρύτατος μόνον· διπλοῦν δὲ τὸ ἡδύς· καὶ γλυκύς, καὶ ὠκύς· ταῦτα γὰρ οὐ μόνον εἰς τερος καὶ τατος· ἀλλὰ καὶ εἰς ων, καὶ εἰς ιστος· γλυκίων, γλύκιστος, ὠκίων ὤκιστος· ὁμοίως τούτοις, καὶ αἰσχρὸς καὶ ἐχθρός· εἰ δὲ καὶ τὸ βράσσων, καὶ θάσσων· καὶ πάσσων οὐ παραλιπεῖν δέοι· εἴη ἂν οὕτω καὶ ταῦτ' ἂν τριπλοῦν τὸ σχῆμα παρέχοιτο, ἀπὸ γὰρ τοῦ βραδὺς καὶ βραχύς· τὸ βράσσων συγκριτικόν, καὶ ἀπὸ τοῦ ταχύς· τὸ θάσσων, καὶ ἀπὸ τοῦ παχύς, τὸ πάσσων.

Τὰ δὲ εἰς ἄλλο τι λήγοντα τῷ ἕστερος· καὶ ἕστατος· ὡς ἐπὶ τὸ πλεῖστον εἰς συγκριτικὰ μετασχηματίζεται, ὧδε· σώφρων, σώφρονος, σωφρονέστερος, σωφρονέστατος· χαρίεις, χαρίεντος, χαριέστερος, χαριέστατος· καὶ χωρὶς δὲ τοῦ ε, ἄνοος, ἀνούστερος, ἀνούστατος· οὐ μόνον δὲ ἀπὸ ὀνομάτων συγκριτικά, ἀλλὰ καὶ ἀπὸ μετοχῶν, ἐρρωμενέστερος· καὶ ἔτι ἀπὸ προθέσεων, πρότερος· καὶ ὑπέρτερος· καὶ ἀπὸ ἐπιρρημάτων, ἐγγύτερος· πορρώτερος· ἀνώτερος.

## Σχηματισμοὶ πατρωνυμικῶν.

Πατρωνυμικοῦ δὲ σχηματισμοὶ τρεῖς οὗτοι· ὅσα μὲν τῶν ὀνομάτων εἰς ος καθαρὸν λήγει, εἰς άδης μετασχηματιζόμενα τὸ ἀρσενικὸν πατρωνυμικὸν ποιεῖ· ἥλιος ἡλιάδης· ὅσα δὲ μὴ ἔστι καθαρὸν, εἰς ίδης· κρόνος, κρονίδης· τοῖς γε μὴν κλίσεως οὖσι πέμπτης, ἀπὸ τῆς γενικῆς ὁ σχηματισμὸς εἰς ίδης· ἔνθα δὴ καὶ συναίρεσις γίνεται ἐφ᾽ ὧν τὸ ε παραλήγει· καὶ σχηματισμὸς ἕτερος, εἰς ων ἰώνων· πέλοψ πέλοπος, πελοπίδης· πηλεὺς πηλέως, πηλείδης· καὶ πηλείδης κατὰ συναίρεσιν, καὶ πηλείων.

Τῆς δὲ πρώτης εἰς άδης· αἰνείας, αἰνειάδης· ἰφίτης· ἰφιτιάδης.

## ΠΕΡῚ Θηλυκῶν πατρωνυμικῶν σχηματισμῶν.

Τὰ δὲ θηλυκὰ πατρωνυμικὰ ἀπὸ τῶν ἰδίων ἀρσενικῶν· ἐκβολῇ τοῦ δη· ἡλιάδης, ἡλιάς· νεστορίδης νεστορίς· καὶ ἔστι τὰ μὲν ἀρσενικὰ κλίσεως πρώτης· τὰ δὲ θηλυκὰ πέμπτης· πριαμίδης, πριαμίδου, πριαμὶς πριαμίδος· ἔστι δὲ καὶ ἑτέρου πατρωνυμικοῦ εἶδος καταχρηστικῶς· ἐπὶ μὲν ἀρσενικοῦ εἰς διος· οἷον ὑρράδιος· ἐπὶ δὲ θηλυκοῦ εἰς νη· οἷον ἀδραστίνη· καὶ ἠετιώνη· ὥστε οὕτω διχῶς ἂν εἴη τό, τε ἀρσενικὸν καὶ τὸ θηλυκόν:~

## Σχηματισμοὶ ὑποκοριστικῶν.

Τὰ δὲ ὑποκοριστικὰ ἀπὸ κυρίων τε καὶ προσηγορικῶν σχηματίζεται· οἷον ἀπὸ μὲν τοῦ ζηνόδωρος, ζηνᾶς· ἀπὸ δὲ τοῦ ἄνθρωπος, ἀνθρωπίσκος. Εἴδη δὲ τῶν μὲν ἀρσενικῶν, ἕξ· εἰς ων δισυλλάβως βάκχων ὁ βακχυλίδης· εἰς ων παραληγόμενον τῷ ι, μωρίων· ὁ μωρός· εἰς αξ· ῥόδαξ, ὁ ῥόδος· εἰς ας ζηνᾶς· μητρᾶς· εἰς κος ἀνθρωπίσκος· εἰς λος· ναυτίλος· ὁ ναύτης. Τῶν δὲ θηλυκῶν τρία· εἰς ων ὕψων ἡ ὑψιπύλη· εἰς ις θεραπαινίς, ἡ θεράπαινα· εἰς κη παιδίσκη· ἡ παῖς. Τῶν δὲ οὐδετέρων ἕν· εἰς ον, μειρακύλλιον.

## Σχηματισμοὶ κτητικῶν.

Καὶ τὰ κτητικὰ δὲ ἀπὸ κυρίων καὶ προσηγορικῶν παράγεται. καὶ εἰς ειον μὲν ἀπὸ τῶν εἰς ευς, νηλεὺς, νηλέως, νήλειον· ἀλλ᾽ οὐ μόνον· ἀπὸ τοῦ ἀνθρώπου γὰρ τὸ ἀνθρώπειον.

Τὰ εἰς κος δὲ καὶ εἰς ώδης· ἀπὸ τῶν εἰς ος· λόγος, λογικός· ἀλλ' οὐ μόνον· βασιλέως γὰρ βασιλικόν· καὶ ἀχίλλεα, ἀχιλλεϊκόν· γραμματικοῦ δὴ κἀνταῦθα μηδὲν ὑπὸ τοῦ ἀχρίστου παρακωλυόμενον, θέσθαι· ἄμφω τὰ εἴδη ἀφ' ἑκάστου τῶν εἰρημένων παράγεσθαι· ἂν ὀνομάτων· ὡς γὰρ ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπικὸν καὶ ἀνθρώπειον· οὕτω καὶ ἀπὸ τοῦ Ὅμηρος ὁμηρικὸν καὶ ὁμήρειον· καὶ ἀπὸ τοῦ αἴας, αἰαντικὸν καὶ αἰάντειον· καὶ ἀπὸ πλάτωνος, πλατωνικὸν καὶ πλατώνειον, ἔνιοι δὲ καὶ τὰ παρωνύμως ἀπὸ τόπου λεγόμενα κτητικά, οἰκειωματικὰ ὀνομάζουσιν· οἷον τὸ οὐράνιος· καὶ θαλάσσιος· καὶ τὰ ὅμοια· ὥστε καὶ εἴη ἂν οὕτω τὰ κτητικὰ τριχῶς· ἢ γὰρ οἰκειωματικῶς· οὐράνιον· ἢ συνεκφαντικῶς γραμματικόν, ἢ μετουσιαστικῶς λιθῶδες·

## Σχηματισμοὶ παρωνύμου.

Παρωνύμου δὲ τόποι σχηματιστικοί, ὅσα καὶ εἴδη ὀνόματος· καὶ εἴη ἂν ἐφ' ἑκάστου τῶν ὀνομάτων, παράγειν· ἀρσενικὸν μὲν εἰς ιων μονογενές· φίλος, φίλων· θηλυκὸν δὲ εἰς οτης μονογενές· φιλότης· οὐδέτερον δὲ εἰς ιον· καὶ ὅλως εἰς ον τριγενές· φίλιον, φιλικὸν οὐχ ἁπλῶς μέντοι τριγενὲς ἀλλ' ὡς τὰ τῶν εἰδῶν ληκτικά τε καὶ παραληκτικά· ἀνθρωπικὸν γοῦν καὶ ἀνθρώπειον, καὶ ἀνθρωπῶδες, καὶ πήλινον, καὶ ἀνθηρόν, καὶ ὅλως κατὰ τὸν ἀποδοθέντα σχηματισμὸν τῶν εἰδῶν τοῦ ὀνόματος· σκοπεῖν δὲ χρὴ καὶ εἰ δεικτικὸν τῆς ἑρμηνείας τὸ εἶδος· οὐ γὰρ καθόλου τὰ εἰς ον οὐδέτερα, τριγενῆ· ζωΐφιον γοῦν καὶ μυρακύλλιον, καὶ λεβήτιον, καὶ ὅλως τὰ ὑποκοριστικὰ μονογενῆ· Θεωρητέον δὲ καὶ τοῖς λοιποῖς τῶν παρωνύμων σχηματισμοῖς κατὰ τὴν διαφορὰν τῶν εἰδῶν οἷον ἐπὶ μὲν τοῦ ὑποκοριστικοῦ λίθαξ· ἀνθρωπίσκος· μηνᾶς· ἐπὶ δὲ τοῦ παρωνυμικοῦ, εἰς δυς:~

## Σχηματισμοὶ ῥηματικοί.

Τὰ δὲ ῥηματικά, ὡς καθόλου εἰπεῖν ἀπὸ τοῦ παθητικοῦ παρακειμένου ἤτοι πρώτου προσώπου, ἢ δευτέρου, ἢ τρίτου· τὰ μὲν δὲ πολλὰ τῶν ῥηματικῶν, ἀπὸ τοῦ πρώτου πεποίημαι· ποίημα,

λελόγισμαι, λογισμός. τὰ δὲ εἰς ις θηλυκὰ ἀπὸ τοῦ δευτέρου λέλυσαι, λύσις. τὰ δὲ εἰς τος ἐξ ἐνεργητικοῦ ἀπὸ τοῦ τρίτου ἤκουσται, ἀκουστός. καὶ πρὸς τούτοις τὰ εἰς τέον προσηγορικὰ πέποται, ποτέον.

Σχῆμα δ' ἂν παρὰ τὰ πρότερον εἰρημένα, κἄν τι παρασύνθετον εἴη. οἷον ἀπὸ τοῦ συνθέτου παραγόμενον. Φίλιππος, Φιλιππίδης.

Ἐφ' ἃς τῶν κλίσεων ἕκαστον τῶν ὀνομάτων ἀνάγεται.

Εἰς πέντε δὲ τοὔνομα ἐπιμεριζόμενον κλίσεις ὡς εἴρηται. ὅπως ἀνάγεται ἐφ' ἑκάστης καὶ κοινῇ τε καὶ ἰδίᾳ θεωροῖτο ἂν ὧδε.

ΟΣΑ ἐπὶ τὴν πρώτην.

Τὰ μὲν οὖν εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα ὀνόματα, ἀνάγεται ἐπὶ τὴν πρώτην. αἰνείας. Ἔτι τὰ εἰς ης βαρύτονα ἁπλᾶ μονογενῆ ἀρσενικά· τουτέστιν ὅσα δὴ καὶ τὴν παραλήγουσαν ἔχει μακράν. χρύσης. ἢ μὴ ἁπλᾶ δὲ ὧν μὴ δὲ οὐδετέρου εἰς ος λήγοντος σύγκειται. τελώνης. ὀλυμπιονίκης. Ἔτι τὰ εἰς δης ἐσχηματισμένα, εἴτε πατρωνυμικά, εἴτε κύρια, πριαμίδης· πριαμίδου, τοῦ λαμίδης τοῦ λαμίδου. πλὴν τῶν ἀπὸ τῶν εἰς δος οὐδετέρου συνθέτων. τὸ δὲ ὑπερείδης καὶ ἀριστείδης, καὶ ἕτερα τινά, τοῖς πατρωνυμικοῖς ἀκολουθοῦντα τυγχάνει. Ἔτι τὰ εἰς της ἰαμβοκατάληκτα, τουτέστι τὰ βραχεῖα παραλήγοντα οἷον δεσπότης, δεσπότου. πλὴν τοῦ κράτης. κράτητος γάρ:~

ΟΣΑ ἐπὶ τὴν δευτέραν.

Τὰ δὲ εἰς α ἢ εἰς η θηλυκά, μαῖα, τιμή. ἐπὶ τὴν δευτέραν:~

ΟΣΑ ἐπὶ τὴν τρίτην.

Τὰ δὲ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ καὶ τὰ εἰς ον οὐδέτερα, ἐπὶ τὴν τρίτην. θεὸς ἀγαθόν.

ΟΣΑ ἐπὶ τὴν τετάρτην.

Τὰ δὲ εἰς ως· ἀρσενικὰ καὶ θηλυκὰ ἀττικῶς, καὶ τὰ εἰς ων οὐδέτερα, ἐπὶ τὴν τετάρτην. ἀφαιρέσει γὰρ τοῦ ληκτικοῦ συμφώνου κλίνεται. μενέλεως, μενέλεω. ἀνώγεων, ἀνώγεω. ἀνάγονται δὲ πάντως ἐπὶ ταύτην καὶ τὰ κλινόμενα, δωρικῶς ἀφαιρέσει τοῦ σ. λάας, λάα. ποδῆς, ποδῆ.

ΟΣΑ ἐπὶ τὴν πέμπτην.

Τὰ δὲ παρὰ τὰ εἰρημένα δὴ πάντα σχηματιζόμενα ἀρσενικά τε καὶ θη-

λυκὰ καὶ οὐδέτερα. ἐπὶ τὴν πέμπτην τὴν γὰρ γενικὴν πάντα
ταῦτα ἔχει εἰς ος διαφόρως μέντοι. ἢ τὰ μὲν εἰς καθαρόν. τὰ δὲ μή.
ἀλλὰ συνόντες συμφώνῳ, ἢ ψιλοῦ, ἢ δασέος, ἢ ἀμεταβόλου, ἢ μέσου.
Τῶν μὲν οὖν φωνηέντων τελικὰ τῶν τοιούτων ὀνομάτων ᾱ. ῑ.
ῡ. ῶ. τῶν δὲ συμφώνων. σ̄. νς̄. λς̄. ξ̄. ψ̄. ν̄. ρ̄. Καὶ δὴ τὰ μὲν εἰς
α λήγοντα ἀπαθῆ κατὰ τὸ κλίνεται. βῆμα βήματος. πλὴν εἴ τι ἀ-
πὸ ἀρσενικοῦ περισχηματισμένον ἐστί. τὸ γὰρ τοιοῦτον, τὴν τοῦ ἀρ-
σενικοῦ κλίσιν ἔχει ὅθεν παρῆκται. μέγα, μεγάλου, ὅτι μέγας
μεγάλου. καὶ πλὴν τῶν ἐπὶ γραμμάτων. ἄλφα. βῆτα. ἄκλιτα γάρ.
Τὰ δὲ εἰς ῑ ἑλληνικὰ μὲν ὄντα. κατὰ τό. μέλι μέλιτος, πλὴν τῶν ἀπὸ
ἀρσενικῶν περισχηματισμένων, ταῦτα γὰρ τὴν τοῦ ἀρσενικοῦ κλί-
σιν φυλάττει ὅθεν παρῆκται. τί. τινός. ὅτι τίς. τινός. εὔχαρι εὐχά-
ριτος. ὅτι εὔχαρις εὐχάριτος. βάρβαρα δὲ κατὰ καθαρόν. σίνηπι. σινή-
πιος. Τὰ δὲ εἰς ῡ τῷ καθαρῷ. γόνυ γόνυος. καὶ μακρὰν τὴν
παραλήγουσαν ἔχοντα. ἢ τριγενῆ ὄντα τροπῇ τοῦ υ εἰς ε. πῶυ πώ-
εος, ἡδὺ ἡδέος. ὀξὺ ὀξέος. Τὰ δὲ εἰς ω τῷ καθαρῷ λητὼ λητόος.
Πάλιν δὲ τὰ εἰς σ̄ λήγοντα. τὰ μὲν τῷ καθαρῷ κλίνεται. τὰ δὲ τῷ τε
ψιλῷ. ἢ τῷ τε δασεῖ, ἢ τῷ δ̄ μέσῳ. Τὰ μὲν γὰρ εἰς ες. τῷ καθα-
ρῷ. ἀληθὲς ἀληθέος. Ἔτι τὰ εἰς εύς. ἢ εἰς αῦς. ἀποβάλλοντα
τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν. βασιλεύς, βασιλέως, ναῦς ναός.
Ἔτι τὰ εἰς οῦς, ὁμοίως. βοῦς. βοός. πλὴν τοῦ πούς, ποδός. καὶ ὀδούς ὀ-
δόντος. Ἐκ συναιρέσεως δὲ μὴν ὄντα. ἐπὶ τὴν [illegible] ἀνάγεται. νοῦς
νοῦ. μῶ. ἔστι μέντοι καὶ ὡς ἀπαθῆ κλίνεσθαι τὰ τοιαῦτα. νοῦς νοός.
Συντετάχθω δὲ τοῖς τοιούτοις καὶ τὰ εἰς οῖς κατὰ συναίρεσιν, οἶς γὰρ
οἰός. καὶ φθοῖς φθοιός. Ἔτι τὰ εἰς ος οὐδέτερα, σθένος σθένεος,
φάος φάεος, καὶ ὅσα ἐκ τούτων σύγκειται εἰς ης δημοσθένης δη-
μοσθένεος. καὶ ὅλως τὰ εἰς ης λήγοντα. ὧν τὸ οὐδέτερον περισχηματι-
σμένον εἰς ες. ἀληθὴς ἀληθέος, τούτοις δὲ ἀκολουθήσει καὶ τὸ ἄρης.
Ἔτι τὰ εἰς ως ἀρσενικὰ μακρᾷ παραλήγοντα. μίνως μίνωος. ἥρως
ἥρωος, κοινὸν δῆλον ὅτι. ἀττικῶς γὰρ τετάρτης γίνεται κλίσεως. μίνως μί-
νω. Ἔτι τὰ εἰς ως μονοσύλλαβα ἀπαθῆ. θώς, θωός. δμώς, δμωός.

Τὰ γὰρ ἐκ συναιρέσεως διὰ τοῦ τ κλίνεται· φῶς, φωτός· ἐφ' ἃ δὴ ἀναφέροιτ' ἂν καὶ τὸ οὖς, ὠτός. Καὶ ἄλλως τὰ εἰς ως μονοσύλλαβα· ἔχοντα μὲν τὸ δ, ἢ θ, ἢ τ, διὰ καθαροῦ κλίνεται· δμώς, δμωός· θώς· τρώς. ἄλλο δέ τι ἔχοντα σύμφωνον, διὰ τοῦ τ· χρώς· φώς. συντέτακται δὲ τοῖς εἰρημένοις, καὶ τὸ λᾶας μονοσύλλαβον· λαὸς γάρ.

Ἔτι τὰ εἰς ως θηλυκὰ ὀξύτονα ὄντα· αἰδώς, αἰδόος· ἠώς, ἠόος· βαρύτονα δ' ὄντα ἐπὶ τὴν τετάρτην ἀνάγεται· κέως, κέω· ἕως, ἕω.

Ἔτι τὰ εἰς ις προσηγορικὰ βαρύτονα μὴ φύσει ὄντα μακροκατάληκτα· ὄφις, ὄφιος· ὕβρις, ὕβριος· πλὴν τοῦ χάρις, παῖς, χάριτος γάρ, καὶ παιδός. Ἔτι τὰ εἰς υς βαρύτονα· βότρυς, βότρυος· πλὴν τοῦ κόρυς, κόρυθος· τούτων δέ τινα καὶ μεταβολῇ τοῦ υ εἰς ε κλίνεται· πῆχυς, πήχεος· πέλεκυς, πελέκεος· ὡσαύτως δὲ καὶ ὀξύτονα ὄντα μονογενῆ, ἢν μακρὸν ἔχῃ τὸ υ· πληθύς, πληθύος· ἀχλύς, ἀχλύος· ὀϊζύς, ὀϊζύος· ὀαριστύς, ὀαριστύος· ξυνῆ δὲ ὄντα καὶ τροπῇ τοῦ υ εἰς ε κλίνεται· ἡδύς, ἡδέος. Τὰ δὲ εἰς ας οὐδέτερα, διὰ τοῦ τ κλίνεται· κρέας, κρέατος· οὖας, οὔατος.

Ἔτι τὰ εἰς ας ἀρσενικὰ δισύλλαβα βαρύτονα, μακροκατάληκτα· ἃ δὴ καὶ τὸ ν πρὸ τοῦ τ προσλαμβάνει· αἴας, αἴαντος· κάλχας, κάλχαντος· πλὴν τῶν ἐχόντων θηλυκὰ εἰς αινα μετασχηματιζόμενα· μέλας γάρ, μέλανος· ὅτι μέλαινα. καὶ ὑπὲρ δύο δὲ συλλαβὰς ὄντα, εἰ ἀπὸ δισυλλάβου τοιούτου τυγχάνει συγκείμενα, οὕτω κλίνεται· πολυδάμας, πολυδάμαντος. Παραπλησίως δὲ τούτοις, καὶ τὰ εἰς ας ὀξύτονα, καὶ μὴ καθαρὰ ἀρσενικά· οἷον, ἱμάς, ἱμάντος· καὶ τὸ πᾶς δὲ πειρῶνται ὁμοίως· παντὸς γάρ· καὶ τὸ ἀπὸ τοῦ οὐδετέρου, πᾶν. Ἔτι τὰ εἰς εις καθαρά, ἀποβάλλοντα τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν· χαρίεις, χαρίεντος· συμβαίνει δὲ ἄρα, καὶ τοῖς ἀπὸ τούτων παρεσχηματισμένοις, εἰς εν οὐδετέροις κλίνεσθαι ὁμοίως· τὸ γὰρ ν ἀμετάβολον· χαρίεις, χαρίεν· χαρίεντος. ἐξαιρείσθω τὸ μείς, αἰολικόν· μηνὸς γάρ. Καὶ τὰ εἰς ους δὲ συνῃρημένα, τῶν εἰς εις πλήρων, ἔχει τὴν κλίσιν· πλακόεις, πλακόεντος· πλακοῦς, πλακοῦντος. Ἔτι τὰ εἰς ης βαρύτονα, ἰαμβικὰ ἤτοι τὰ βραχεῖα πα-

c Γ

παραλήγοντα· μὴ ἔχοντα συλλαμβάνοντα τοῦ τ. λάχης· λάχητος.
Ἔτι τὰ εἰς της θηλυκὰ ἰαμβοκατάληκτα, φιλότης, φιλότητος.
Ἔτι τὰ εἰς ως ὀξύτονα· ὑπὲρ μίαν συλλαβήν· ἱδρώς ἱδρῶτος.
Ἔτι τὰ εἰς ως ἀρσενικὰ βαρύτονα βραχείᾳ παραλήγοντα· ὁ γέλως, γέλωτος. Ἔτι τὰ εἰς αις ἀπαθῆ· οἷον δαΐς, δαΐτος· σταίς, σταιτός· τὸ γὰρ παῖς παιδός, ἐκ συναιρέσεως. Ἔτι τὰ εἰς ας ὀξύτονα· παλλάς, παλλάδος· θυιάς, θυιάδος· ἀρκάς ἀρκάδος· πλὴν τοῦ κράς, κρατός. Τὰ δὲ εἰς ις κύρια ἀπὸ δευτέρας κλίνεται κοινῶς· πάρις· πάριδος.
Ἔτι τὰ εἰς ις θηλυκὰ μακροκατάληκτα μῆνις· μήνιδος· νεᾶνις· νεάνιδος. Ἔτι τὰ εἰς ις ὀξύτονα μονοκατάληκτα· τριαμίς, τριαμίδος. Ἔτι τὰ εἰς εις μὴ καθαρά· κλείς, κλειδός· ἀντηρίς, ἀντηρίδος. Ἔτι τὰ εἰς υς θηλυκὰ ὀξύτονα· βραχυκατάληκτα· χλαμύς, χλαμύδος· καὶ προπαροξύτονα· τὸ ἔπηλυς· ἐπήλυδος γάρ.
Τὰ δὲ εἰς ις προσηγορικὰ βαρύτονα· μακροκατάληκτα τῷ θ· ὄρνις, ὄρνιθος· ὁμοίως δὲ καὶ τὰ εἰς ινς· ἕλμινς, ἕλμινθος.
Τά γε μὴν εἰς λς, ἐκβολῇ τοῦ σ τῷ ὑπάρχοντι ἀμεταβόλῳ κλίνεται ἅλς, ἁλός. Τὰ δέ, εἰς ξ τῇ μὲν διὰ τοῦ κ ψιλῷ κλίνεται· τῇ δὲ διὰ τοῦ χ δασεῖ, ἢ διὰ τοῦ γ μέσῳ· βαρύτονα μὲν γὰρ ὄντα ὡς τύπῳ εἰπεῖν διὰ τοῦ κ· θώραξ, θώρακος· πλὴν τῶν ἐχόντων τὸ ῥῆμα εἰς ζω ἢ εἰς γω· ταῦτα γὰρ διὰ τοῦ γ· ἅρπαξ ἅρπαγος· ὅτι ἁρπάζω· τέττιξ· τέττιγος· ὅτι τεττίζω· σάλπιγξ, σάλπιγγος· ὅτι σαλπίζω· λέλεξ, λέλεγος, ὅτι λέγω· καὶ πλὴν τοῦ ἄναξ, ἄνακτος γάρ· ἵνα μὴ συνεμπέσῃ τῷ ἄνακος. Ὀξύτονα δὲ ὄντα, διὰ τοῦ γ· βουπλήξ, βουπλῆγος· αἴξ, αἰγός· ῥώξ, ῥωγός· καὶ πλὴν τοῦ βήξ, βηχός· πτώξ· πτωκός· καὶ πλὴν τῶν πρὸ τοῦ ξ σύμφωνον ἐχόντων, ἕτερόν τι τοῦ ρ· οἷον σάρξ· σαρκὸς γάρ· ἀκριβέστερον δὲ τὰ εἰς αξ, τῷ κ· ἄνθραξ, ἄνθρακος· θράξ, θρακός· πλὴν τοῦ ἅρπαξ· καὶ ἄναξ· καὶ τὰ εἰς ηξ· ἁπλᾶ μὲν ὄντα τῷ κ· μύρμηξ, μύρμηκος· σύνθετα δὲ τῷ γ· βουπλήξ, βουπλῆγος· καὶ τὰ εἰς ιξ δὲ διὰ τοῦ κ· πλὴν τοῦ τέττιξ, τέττιγος· τὸ θρίξ· τριχὸς γάρ.
Ἔτι τὰ εἰς υξ φύσει μακρᾷ παραλήγοντα· ἢ ὅσα δυοῖν συμφώνοιν προφέρεται, ὧν θάτερον τῆς πρώτης συζυγίας διὰ τοῦ κ· δοίδυκος· βέ-

βρυχος· ἄμπυκος· τὰ δὲ μὴ οὕτως ἔχοντα τῷ γ· ἄντυξ, ἄντυγος·
Ἔτι τὰ εἰς ωξ ἁπλᾶ· πλὴν τοῦ ῥώξ. Τὰ δὲ εἰς ψ, τῷ π κλίνεται ὡς ἐπὶ τὸ πλεῖστον· κύκλωψ, κύκλωπος· ἄραψ μέντοι, ἄραβος· χάλυψ, χάλυβος· λίψ, λιβός· φλέψ, φλεβός· κίνυψ, κίνυφος. Τὰ δὲ εἰς ν ἢ ρ, τῷ αὐτῷ κλίνεται ἀμεταβόλῳ· ἕλλην, ἕλληνος· νέστωρ, νέστορος. ἐξαιρεῖται δὲ τὰ εἰς ην βαρύτονα τὸ η αὐτὸ εἰς ε, παρασχηματισμὸν δὲ δευτέρου ἐχόντων· τέρην, τέρενος· τέρεν γάρ. καὶ τῶν ὀξυτονουμένων, οἷς τὸ μὴ κλιτικόν· ποιμὴν, ποιμένος· πλὴν τοῦ μὴν μηνός. καὶ τῶν μὴ ἐχόντων δὲ τὸ μὴ κλιτικόν· αὐχὴν καὶ φρὴν οὕτω κλίνεται, αὐχένος, φρενός. Ὁμοίως δὲ καὶ τὰ εἰς ηρ ἔνια μεταβάλλει τὸ η εἰς ε, οἷον, ὅσα βαρύτονα ὄντα μακρὰν ἔχει τὴν παραλήγουσαν· πίηρ, πίερος· καὶ τὰ εἰς τηρ· ἀστήρ· πατήρ· μήτηρ· θυγάτηρ· καὶ τὰ εἰς θηρ· αἰθήρ.

Τὰ δὲ εἰς ιν καὶ ζητητέα ἐστὶ τὸ ν εἰς σ ἀδιαφόρως ἐκτείνεται· ὅθεν καὶ δικατάληκτα ὠνόμασται· τῇ γενικῇ κλίσει ἐμμένει τῇ αὐτῇ· ὡς γὰρ δελφὶν, δελφῖνος· οὕτω καὶ δελφὶς, δελφῖνος· ὥστε καὶ θὶς, θινός· καὶ σαλαμὶς, σαλαμῖνος· καὶ ἐπὶ τῶν ἀγὼν ὁμοίως. τούτοις δὲ καὶ τὸ τὶς μονοκατάληκτον παρακολουθεῖ· τινός γάρ. Τὸ δὲ κτεὶς ἐπαμφοτερίζει· ὡς μὲν γὰρ εἰς εἰς λῆγον, κοινωνεῖ τοῖς δικαταλήκτοις· ὡς δὲ ὡς ἐκλινόμενον, κοινωνεῖ τοῖς εἰς ην· κτενὸς γάρ. Τὰ δὲ εἰς ων ἔνια καὶ τὸ τ προσλαμβάνει· οἷον τὰ πειλατωνύμενα· ξενοφῶν, ξενοφῶντος· πλὴν τοῦ ποσειδῶν, ποσειδῶνος γάρ· καὶ τὰ ἔχοντα θηλυκὰ εἰς αινα μετασχηματιζόμενα· λέων γὰρ λέοντος ὅτι λέαινα· καὶ δράκων, δράκοντος ὅτι δράκαινα· καθόλου δὲ οὐδὲ τοῦτο· λάκων γὰρ λάκωνος· καίτοι τὸ θηλυκὸν ὑπάρχει τὸ λάκαινα.

## ΑΡΙΘΜΗΤΙΚΑ.

Ἀνάγοιτο δ' ἄν πως καὶ τὰ ἀριθμητικὰ ἐπὶ τὴν πέμπτην· εἷς, ἑνός· τρεῖς, τριῶν, τρισί· τέσσαρες, τεσσάρων, τέσσαρσι. πλὴν τοῦ δύω, δυοῖν· τρίτης γὰρ τὸ τοιοῦτο σχῆμα· οἷον καὶ τὸ ἄμφω, ἀμφοῖν· δύο δὲ οὐ μόνον ἐπὶ αἰτιατικῆς λέγεται· ἀλλὰ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς.

## ΚΙΟΝΑ ΤΩΝ ΚΛΙΣΕΩΝ ΑΠΑΣΩΝ.

Κοινὸν δὲ πασῶν τῶν κλίσεων· τὸ τὴν γενικὴν τῶν πληθυντικῶν, ἔχειν λήγουσαν εἰς ων. Καὶ τὸ τὴν αὐτὴν ἔχειν εὐθεῖαν καὶ κλητικὴν ἐπὶ τῶν πλη-

c r iii

πρὸς ἀριθμοῦ πλὴν ὅσον τῶν μὲν ἑνικῶν ἀττικοί· τῶν δὲ δυϊκῶν καὶ πληθυντικοῦ ὅλως.

## ΚΟΙΝᾺ ΤΩ͂Ν ἸΣΟΣΥΛΛΆΒΩΝ.

Τῶν δὲ ἰσοσυλλάβων κοινὸν, τὸ τὴν δοτικὴν ἔχειν εἰς ι ἀνεκφώνητον λήγουσαν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, ἢ καὶ μετὰ μείζονος ἀντιστοίχου· αἰνείας, αἰνείᾳ· λόγος, λόγῳ· καὶ τὸ τὴν αἰτιατικὴν εἰς ν λήγειν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας· αἰνείαν· λόγον· σεσημείωται τῶν τεταρτοκλίτων· ἄθω· κῶ· τέω· λαγώ· αἰτιατικὰ κολοβούμενα, ἄνευ τοῦ ν ἀττικῶς.

Κοινὰ τῆς α΄ καὶ β΄.

Τῆς δὲ πρώτης καὶ δευτέρας κοινὸν, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν λήγουσαν μὲν εἰς α ὁμόφωνον ἑαυτῇ ἔχειν τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν· τῷ αἰνείᾳ, τὼ αἰνεία· τῇ μαίᾳ· τὰ μαία· λήγουσαν δὲ εἰς η μεταβολῇ τοῦ η εἰς α καὶ ἀφαιρέσει τοῦ ἀνεκφωνήτου ι γίνεσθαι τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν· τῇ χρυσῇ, τὼ χρύσα· τῇ μούσῃ· τὰ μούσα.

Κοινὰ πρώτης καὶ δευτέρας καὶ τετάρτης.

Τῆς δὲ πρώτης καὶ δευτέρας καὶ τετάρτης κοινὸν, τὸ τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν προσλήψει μὲν τοῦ ι καὶ ν γίνεσθαι γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν, τὼ αἰνεία, τοῖν αἰνείαιν· τὰ μούσα, ταῖν μούσαιν· τὼ μενέλεω, τοῖν μενέλεῳν· προσλήψει δὲ τοῦ ι μόνου γίνεσθαι εὐθεῖαν τῶν πληθυντικῶν· τὼ αἰνεία· οἱ αἰνεῖαι· τὰ μούσα, αἱ μοῦσαι· τὼ μενέλεω· οἱ μενέλεῳ.

Ἔτι τὸ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, προσλήψει μὲν τοῦ σ δοτικὴν γίνεσθαι τῶν πληθυντικῶν· οἱ αἰνεῖαι, τοῖς αἰνείαις· αἱ μοῦσαι, ταῖς μούσαις· οἱ μενέλεῳ· τοῖς μενέλεῳς· ἐκβολῇ δὲ τοῦ ι, καὶ προσλήψει τοῦ σ, αἰτιατικὴν· οἱ αἰνεῖαι, τοὺς αἰνείας· αἱ μοῦσαι, τὰς μούσας· οἱ μενέλεῳ, τοὺς μενέλεως.

Κοινὰ πρώτης καὶ τρίτης.

Τῆς δὲ πρώτης καὶ τρίτης κοινὸν· τὸ, ἔστιν ὅτε τὴν γενικὴν ἐχούσης εἰς ου κλίνεσθαι· αἰνείας, αἰνείου· λόγος, λόγου.

Κοινὰ πρώτης καὶ πέμπτης.

Τῆς δὲ πρώτης, καὶ μέχρι τῆς γενικῆς πέμπτης κοινὸν, τὸ ἀπὸ τῆς εὐθείας, τὴν κλητικὴν γίνεσθαι ἀφαιρέσει τοῦ σ· ὁ αἰνείας· ὦ αἰνεία· ὁ χαρίεις· ὦ χαρίει.

Κοινὰ δευτέρας καὶ πέμπτης.

Τῆς δὲ δευτέρας, καὶ μέχρι τοῦ τῆς πέμπτης κοινὸν, τὸ ὁμόφωνον ὅλως ἔχειν τὴν κλητικὴν τῇ εὐθείᾳ· ἡ μαῖα· ὦ μαῖα· ὁ λάχης ὦ λάχης.

## Κοινὰ τρίτης καὶ τετάρτης.

Τῆς δὲ τρίτης καὶ τετάρτης κοινὸν, τὸ τὴν δοτικὴν τῆς ἑνικῆς, ὁμοφωνεῖν τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῆς δυϊκῆς· τῷ λόγῳ, τὼ λόγω· τῷ Μενέλεῳ, τὼ Μενέλεω. Ἔτι τὴν εὐθεῖαν τῆς πληθυντικῆς, προσλήψει τοῦ σ γίνεσθαι δοτικὴν τῆς πληθυντικῆς, οἱ λόγοι· τοῖς λόγοις· οἱ Μενέλεῳ· τοῖς Μενέλεῳς.

## Κοινὰ τρίτης καὶ πέμπτης.

Τῆς δὲ τρίτης καὶ πέμπτης, τὸ ἀπὸ τῆς εὐθείας καὶ αἰτιατικῆς τῆς δυϊκῆς γίνεσθαι εἰς οιν τὴν γενικὴν καὶ δοτικὴν τῆς δυϊκῆς· τὼ λόγω, τοῖν λόγοιν· τὼ ἄνακτε, τοῖν ἀνάκτοιν.

## Ἴδιον τῆς πρώτης.

Ἴδιον δὲ τῆς μὲν πρώτης τὸ τὴν κλητικὴν γίνεσθαι ἐπὶ τῶν ἐχόντων τὸ τ, ἢ ἐθνικῶν ὄντων, οὐ μόνον ἀφαιρέσει τοῦ σ, ἀλλὰ καὶ τροπῇ τοῦ η εἰς α· ὁ προφήτης· ὦ προφῆτα· ὁ Πέρσης· ὦ Πέρσα. Τῆς αὐτῆς δὲ καὶ τὸ τὴν γενικὴν τῆς ἑνικῆς λήγειν εἰς εω, ἔθει Ἰώνων· οἰκέτου, οἰκέτεω· Πηλείδου, Πηλείδεω· ὅθεν ἐπενθέσει τοῦ α Πηληϊάδεω.

## Ἴδιον τῆς δευτέρας.

Τῆς δὲ δευτέρας, τὸ προσλήψει τοῦ σ, κλίνεσθαι· μαῖα, μαίας· τιμὴ, τιμῆς· καὶ σώζεσθαι δὴ τὸ α, καὶ ἐπὶ γενικῆς καθαρὸν ὄν· ἢ μετὰ τοῦ δ, ἢ τοῦ θ, ἢ τοῦ ρ· μὴ οὕτω δὲ ἔχον τρέπεσθαι εἰς η· μοῦσα, μούσης.

## ἼΔΙΟΝ ΤΗ͂Σ ΤΡΙ´ΤΗΣ.

Τῆς δὲ τρίτης, τὸ τὴν δοτικὴν τῆς ἑνικῆς, ἀπὸ τῆς γενικῆς γίνεσθαι εἰς ῳ· λόγου, λόγῳ. Ἔτι τὸ τὴν κλητικὴν εἰς ε λήγειν· ὦ λόγε. Ἔτι τὸ ἐκ τῆς εὐθείας καὶ αἰτιατικῆς τῆς δυϊκῆς, γίνεσθαι εἰς οι δίφθογγον τὴν εὐθεῖαν τῆς πληθυντικῆς· τὼ λόγω, οἱ λόγοι. Ἔτι τὸ ἐκ τῆς εὐθείας τῆς πληθυντικῆς, προσλήψει μὲν τοῦ σ, τὴν δοτικὴν γίνεσθαι τῆς πληθυντικῆς· λόγοι, λόγοις, εἰς ους δὲ τὴν αἰτιατικήν.

## ἼΔΙΟΝ ΤΗ͂Σ ΤΕΤΑ´ΡΤΗΣ.

Τῆς δὲ τετάρτης ἴδιον, ἀφαιρέσει τοῦ σ, κλίνεσθαι· Μενέλεως, Μενέλεῳ. Καὶ τὸ τὴν εὐθεῖαν τῆς πληθυντικῆς, ὁμοφωνεῖν τῇ δοτικῇ τῆς ἑνικῆς.

Τῆς δὲ πέμπτης ἴδιον, τὸ τὴν γενικὴν τῆς ἑνικῆς εἰς ος ἔχειν· αἴας, αἴαντος. Ἔτι τὸ τὴν δοτικὴν ἀπὸ τῆς γενικῆς γίνεσθαι εἰς ι· αἴαντος, αἴαντι. Ἔτι τὸ τὴν αἰτιατικὴν, ἀπὸ τῆς δοτικῆς εἰς α· αἴαντι, αἴαντα· τὸ δὲ ποιεῖ

δὲ καὶ λευκιῶ· καὶ ἰδίως δὲ ἀποκοπῇ· οἷον καὶ τὸ ἄπολλω. Ἔτι τὸ τῆς κλητικὴν ἐπὶ μὲν τῶν διὰ τοῦ ντ κλινομένων ἀπαθῆ, ἀφαιρέσει τῆς ἐν τῇ γενικῇ ἐσχάτης συλλαβῆς γίνεσθαι, αἴαντος, ὦ αἶαν· χαρίεντος, ὦ χαρίεν· τοῦ μέντοι πλακοῦς, καὶ σιμοῦς, καὶ τῶν ὁμοίων, ἀφαιρετέον καὶ τὸ τῆς παραληγούσης υ· σιμοῦντος, ὦ σιμοῦ· ἐξαιρείσθω δὲ καὶ τὸ ὀδοῦς. μία γὰρ τούτου γε κλητικὴ ἡ αὐτὴ τῇ εὐθείᾳ. Ἐπὶ δὲ τῶν εἰς ης κλινομένων καὶ συναιρουμένων εἰς ους, ἀπὸ τῆς εὐθείας ἐκτροπῇ τοῦ η εἰς ε· δημοσθένης, ὦ δημόσθενες. Ἐπὶ δὲ τῶν εἰς ω ἢ εἰς ως θηλυκῶν, ἀπὸ τῆς εὐθείας ἐκτροπῇ τοῦ ληκτικοῦ ω, εἰς οι· ἡ λητώ, ὦ λητοῖ· καὶ ἀφαιρέσει τοῦ σ ἐν ᾗ· ἡ αἰδώς, ὦ αἰδοῖ. Ἐπὶ δὲ τῶν εἰς ην ἢ εἰς ης ληγόντων· ὧν ἡ δευτέρα παρασχηματισμὸς εἰς εν, τὴν κλητικὴν ἀπὸ τῆς γενικῆς γίνεσθαι· ἀποκοπῇ τῆς ἐσχάτης· τέρην, τέρενος, ὦ τέρεν· χαρίεις, χαρίεντος, ὦ χαρίεν. Ἐπὶ δὲ τῶν εἰς ηρ βαρυτόνων εἰς ερ· ἡ μήτηρ, ὦ μῆτερ· πλὴν τοῦ πίηρ· οἷς δὴ συμφέρεται καὶ τὰ ὀξυτόνων πατὴρ· ἀνὴρ· δαὴρ· σωτήρ· καὶ γὰρ ὦ πάτερ· ἄνερ· δᾶερ· σῶτερ. Ἔτι τὸ ἐπὶ μὲν τῶν, ὁμοφωνεῖν τὴν κλητικὴν τῇ εὐθείᾳ ὅλων· ἐπὶ δὲ τῶν, καὶ χωρὶς τοῦ σ προφέρεσθαι· τῶν μὲν γὰρ εἰς ευς, ἢ εἰς ους, καὶ χωρὶς τοῦ σ ληγόντων μετὰ διφθόγγου εἰ μή τι κωλύοι· καὶ γὰρ ὦ νοῦς καὶ ὦ ὀδοὺς μόνως· ἵνα μὴ συμπέσῃ τῷ νοῦ καὶ ὀδοῦ. Καὶ τῶν εἰς ις προσηγορικῶν βαρυτόνων μὴ φύσει μακροκαταλήκτων, καὶ ὅλως τῶν εἰς ις βαρυτόνων· ὁ ὄφις, ὦ ὄφι. Καὶ τῶν εἰς υς βαρυτόνων· ὁ βότρυς, ὦ βότρυ. Καὶ τῶν ὀξυτόνων δὲ ἐνίων ὄντων· ὁ ἡδύς, ὦ ἡδύ. Τῶν δὲ εἰς ως ἀρσενικῶν μακροκαταλήκτων, ὁμόφωνος τῇ εὐθείᾳ μόνον· καὶ ὅλως τῶν εἰς ως μὲν ληγόντων, κλινομένων δὲ ἢ τῷ καθαρῷ, ἢ τῷ τ· πλὴν τῶν πληθυντικῶν ὀξυτόνων· ὁ ἥρως, ὦ ἥρως· καὶ τῶν εἰς ης βαρυτόνων ἰαμβικῶν· καὶ ὅλως τῶν εἰς ης μὲν ληγόντων κλινομένων δὲ διὰ τοῦ τ, ὁ λάχης, ὦ λάχης. Καὶ τῶν εἰς ας ὀξυτόνων· ἡ παλλάς, ὦ παλλάς. Καὶ τῶν εἰς ις ὀξυτόνων· ἡ πριαμίς, ὦ πριαμίς. Καὶ τῶν εἰς υς ὀξυτόνων· ἡ χλαμύς, ὦ χλαμύς. Καὶ τῶν εἰς λς, ὁ ἅλς, ὦ ἅλς. Καὶ τῶν εἰς διπλοῦν· ὁ ἄναξ, ὦ ἄναξ. Καὶ τῶν εἰς ἀμετάβολον· ὁ ἕλλην, ὦ ἕλλην· πλὴν τῶν ἀνωτέρω εἰρημένων. Ἔτι ἴδιον τὸ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν, ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεσθαι.

τροπῇ τοῦ ι εἰς ε· αἴαντι, αἴαντε. Ἔτι τὸ τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν προσλήψει τοῦ σ γίνεσθαι εὐθεῖαν τῶν πληθυντικῶν· αἴαντε, αἴαντες. Ἔτι τὸ τὴν δοτικὴν τῶν πληθυντικῶν, ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεσθαι εἰς σι· ἤγουν προσθέσει, ἢ δυνάμει· αἴασι· φοίνιξι· διὸ καὶ εἰ μὲν καθαρὸν τὸ τοῦ ἑνικοῦ ι, τὸ σ δὴ προσλαμβάνεται· δημοσθένει, δημοσθένεσιν· ὅτι δεῖ καὶ τὸ υ ὡς ἐφ᾽ ὧν ἡ εὐθεῖα εἰς ους ἀπαθὲς, ἢ εἰς ευς· βοΐ, βουσί· πηλέϊ, πηλεῦσιν· εἰ δὲ μὴ καθαρὸν, εἰ μὲν τὸ τ, ἢ τὸ θ, ἢ τὸ δ, ἢ τὸ ν συνέζευκται, τρέπεται εἰς σ· καὶ τὸ ν ἐκβάλλεται, εἰ πρὸ τοῦ τ κεῖται· αἴαντι, αἴασιν· ὅτι δεῖ καὶ τὸ υ ἀντιλαμβάνεται· ὡς ἐφ᾽ ὧν ἡ εὐθεῖα εἰς ων· λέοντι, λέουσιν· εἰ δέ τι ἕτερον ἢ ἀμετάβολον, ἢ ψιλὸν, ἢ δασὺ, ἢ μέσον παρὰ τὰ εἰρημένα, τὸ σ πάλιν προσλαμβάνεται· ἁλὶ, ἁλσί· πτέρυγι, πτέρυξι· βηχὶ, βηξί· μάστιγι, μάστιξι· πλὴν ὅσον τὸ δασὺ καὶ μέσον εἰς τὸ ἀντίστοιχον ψιλὸν τρέπεται καὶ μεταλαμβάνεται τὸ διπλοῦν. Ἔτι τὸ τὴν αἰτιατικὴν τῶν ἑνικῶν προσλήψει τοῦ σ γίνεσθαι αἰτιατικὴν τῶν πληθυντικῶν. Ἴδια δὲ τῆς πέμπτης, καὶ τὰ κατὰ συναίρεσιν πάθη τῶν ὀνομάτων, σχεδόν τι ἅπαντα :~

## ΠΕΡΙ ΣΥΝΗΙΡΗΜΕΝΩΝ

Εἰς ὀκτὼ δὲ μάλιστα διῄρηνται αἱ συναιρέσεις τῶν ἰδικῶν ὀνομάτων· κοινὸν μὲν ἁπάντων ἓν, ἴδια δὲ ἑπτά. Τῶν δὲ ι καὶ ε καὶ πρὸ τοῦ υ κοινὸν τὸ τὰς τέσσαρας μόνας συναιρεῖσθαι εἰς ει· οἷον τὴν δοτικὴν τῶν ἑνικῶν· καὶ τὴν εὐθεῖαν, καὶ αἰτιατικὴν καὶ κλητικὴν τῶν πληθυντικῶν, πλὴν τῶν οὐδετέρων. Κοινὸν δὲ τούτων, καὶ εἰς μακρὸν τὸ τῆς γενικῆς βραχὺ ο, μεταβάλλειν ἀττικῶς, πλὴν τῶν πρὸ τοῦ υ· καθόλου γὰρ οἱ ἀττικοὶ τὰς εἰς ος καθαρὸν λήγουσας πλαγίοις τε καὶ ὀρθαῖς τροπῇ τοῦ βραχέος ο εἰς τὸ μακρὸν, καὶ τοῦ παραλήγοντος φωνήεντος α ἢ ι, εἰς ε, προφέρειν εἰώθασι, μενέλαος, μενέλεως· ὄφιος ὄφεως. Τῶν δὲ η, ε, ο καὶ α, κοινὸν μὲν γ᾽, τὸ δυϊκὸν συναιρεῖσθαι· πλὴν εἴπου τὸ οὐδέτερον κωλύει· καὶ τὸ τὰς γενικὰς τῶν πληθυντικῶν συναιρεῖσθαι εἰς ων. Διαφέρει δ᾽ ὅτι τὰ μὲν η, ε, ο συναιρεῖται εἰς ου, ει, η, οι. Τὰ δὲ α, εἰς αυ, α. Ἴδιον δὲ τῶν ω, τὸ τὰ ἑνικὰ μόνον συναιρεῖσθαι· τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ ἀσυναίρετα κλίνεσθαι κατὰ τὴν τρίτην. Τῆς αὐτῆς δὲ πάθος, καὶ τὸ τὴν ἑνικὴν αἰτιατικὴν τῶν συγκριτικῶν, συναιρεῖσθαι εἰς ω

αἰτιατικῇ· ἀμείνονα, ἀμείνω· ἐξαιρέσει δηλονότι τοῦ ν, καὶ κράσει τοῦ ο καὶ α· καὶ ἔτι τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν, εἰς ους· ἀμείνονες, ἀμείνους· ἀμείνονας, ἀμείνους. Καὶ τὰ εἰς ια τῶν εἰς ις τῶν δευτέρων κλινομένων· ὧν τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν, συναιρεῖσθαι· φθοΐδες, φθοῖς· φθοΐδας, φθοῖς· οΐδες, οἶς· οΐδας, οἶς· ἀττικὸν δὲ καὶ τοῦτο. Καὶ ἔτι τὰς ἀπὸ τῶν εἰς εύς, καὶ εἰς ύς καθαρὰς αἰτιατικάς, συναιρεῖν εἰς ᾶ· ὑγιέα, ὑγιᾶ· πειραιέα, πειραιᾶ· ἰωνικὴ δὲ ἡ περὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ἐξαίρεσις τοῦ δ· θέτιδος· θέτιος. Καὶ ἡ περὶ τὰ οὐδέτερα τῶν κλινομένων ἐξαίρεσις τοῦ τ· κρέατος, κρέαος. Καὶ τὸ περὶ τὸ ι, καὶ υ, κλίνεσθαι διὰ τοῦ ε καὶ η· πόλιος· βασιλῆος· τῶν αὐτῶν δὲ τούτων ὀνομάτων καὶ τὸ τὴν ἑνικὴν αἰτιατικήν, ἀφαιρέσει τοῦ ἐσχάτου, καὶ μεταλήψει τοῦ ν εἰς δ· πάριδα, πάριν· μήνιδα, μῆνιν. Καὶ ἔτι τῶν καλουμένων τὸ ὄφια ὄφιν· καὶ τῶν εἰς υ ἑκατέρων· ἡδέα, ἡδύν· βότρυα, βότρυν.

## Περὶ τῶν συγκοπτομένων.

Πάσχει δὲ καὶ τῶν εἰς ηρ ἔνια συγκοπήν· οἷον τὸ ἀνήρ, πατήρ· μήτηρ· ἀνέρος γὰρ καὶ ἀνδρός· πατέρος καὶ πατρός· μητέρος καὶ μητρός· κἀπὶ τῶν ἄλλων ὡσαύτως πτώσεων, εἰ μή τι κωλύοι. Καὶ ἡ τοῦ πληθυντικοῦ δὲ δοτικὴ τούτων γίνεται μὲν ἀπὸ τῆς τῶν ἑνικῶν, καθάπερ καὶ ἡ τῶν ἄλλων· ἤτοι δὲ ἀπὸ πεπονθυίας ἤδη προσθέσει τοῦ α, οἷον πατρὶ πατράσιν· ἢ ἀπὸ ἀπαθοῦς ἔτι, μεταθέσει καὶ τροπῇ τοῦ ε· πατέρι, πατράσιν· καὶ ἀνέρι, ἀνδράσιν· εὕρηται δὲ τῷ ποιητῇ καὶ ἄνδρεσι. Τὸ μέντοι πλοῦς καὶ νοῦς καὶ τὰ τοιαῦτα, οὐ πάθη τῆς πέμπτης, ἀλλὰ τῆς τρίτης· ἀπὸ γὰρ τοῦ πλόος καὶ νόος· διὸ καὶ βέλτιον κλίνειν κατὰ τὴν τρίτην· νοῦς, νοῦ.

## ΠΕΡῚ ἙΤΕΡΟΚΛΊΤΩΝ.

Ἔστι δὲ καὶ ἃ τῶν ὀνομάτων, οὐ τὸ οἰκεῖον καὶ ὁμαλὸν φυλάττει τῆς κλίσεως· ἀλλ᾽ ἑτεροίως κλίνεται· ὅθεν καὶ ἑτερόκλιτα καλεῖται· οἷον τὸ ζεύς· οὐ γὰρ ζέος· ἀλλὰ διός, μεθαρμοζόμενον κλίνεται· καὶ τὸ μέγας, οὐ γὰρ μέγαντος, ἀλλὰ μεγάλου· καὶ τὸ πολύς· οὐ γὰρ πολέος, ἐν τῷ πεζῷ λόγῳ, ἀλλὰ πολλοῦ· καὶ τὰ ἀπὸ τούτων οὐδέτερα· μέγα, μεγάλου, πολύ, πολλοῦ. Ἔτι τὸ φρέαρ· καὶ ἧπαρ· καὶ

δέλεαρ καὶ ὕδωρ. οὐ γὰρ φρέαρος, ἥπαρος, δελέαρος, ὕδαρος· ἀλλὰ φρέατος, ἥπατος, δελέατος, ὕδατος. τὸ μὲν δὲ ἐπὶ τούτων οἷον κανόνα οὐδένα ἐστὶ λαβεῖν· ἀλλὰ μόνον τῇ χρήσει παρατηρητέον. ἕτερα δὲ αὖ κατὰ ἀποκοπὴν, ἢ ἕτερόν τι πεπονθότα πάθος, ἄκλιτά ἐστιν· οἷον τὸ δῶ, καὶ κρῖ, καὶ λίπα, καὶ κρῆς. ἀπαθῆ δὲ ἄκλιτα, τὸ σέβας· ὄφελος· ὄναρ· δέμας. καὶ ὅλως τὰ εἰς ας οὐδέτερα μὴ καθαρὸν ἔχοντα τὸ ας· σέλας, δέπας, βρέτας:~

## ΠΕΡῚ ῬΗ͂ΜΑΤΟΣ.

Τὸ δὲ ῥῆμα, εἴρηται μὲν πρότερον, καὶ ἅττα παρεπόμενα ἔχει, διώρισται:~

## ΚΟΙΝᾺ τῶν τεσσάρων συζυγιῶν.

Κλίσεων δὲ πέντε καὶ τῶνδε οὐσῶν, ἃς δὴ καὶ συζυγίας καλοῦμεν· τεσσάρων μὲν τῶν εἰς ω λεγόντων ῥημάτων, μιᾶς δὲ τῶν εἰς μι:~

## ΣΧΗΜΑΤΙΣΜΟῚ ἐνεργητικῶν χρόνων.

Κοινὸν τῶν τεσσάρων πρώτων ἐστὶ, τὸ ἐπὶ τοῦ ὁριστικοῦ ἐνεργητικοῦ, τὸν παρατατικὸν γίνεσθαι ἀπὸ τοῦ ἐνεστῶτος μεταποιήσει τῆς ἐσχάτης εἰς ον, καὶ αὐξήσει ἤτοι συλλαβικῇ ἢ χρονικῇ. Καθόλου γὰρ εἰ μὲν ἀπὸ συμφώνου τὸ ῥῆμα ἄρχεται, αὔξησις γίνεται συλλαβικὴ, προσλήψει τοῦ ε κατὰ τὴν ἀρχήν· οἷον τύπτω, ἔτυπτον. Εἰ δὲ ἀπὸ φωνήεντος, χρονικῇ μεταβολῇ τοῦ βραχέως ἀρκτικοῦ φωνήεντος εἰς μακρὸν, ἅπαξ ἁπάντων· εἰ μὴ ἄρα τὸ κατέαξα συλλαβικῇ ἐσχημάτισται αὐξήσει, καὶ ἐάγην, καὶ ἑάλων, καὶ τὰ τοιαῦτα· ταῦτα δὲ οὐδ᾽ ἂν τοῦ τοῦ εἴη καθόλου. μέλλων α. Ἔτι τὸν πρῶτον μέλλοντα εἰς σω λήγειν, καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι, καὶ πρὸ τοῦ ω ἔχειν τὸ σ ἤτοι ἐνεργείᾳ· ἀκούω, ἀκούσω· ἢ δυνάμει· τύπτω, τύψω. πλὴν τῶν τετάρτης ἐκ χρήσεως. ἐπεί γε πέφυκος καὶ αὐτὸ τὸ σ ἀεὶ δέχεσθαι. ὅθεν καὶ ὄρω, ὄρσω· καὶ ἔλω, ἔλσω, οἱ δωριεῖς λέγουσιν· οὐκοῦν καὶ μένω, μένσω· καὶ κείνω, κείνσω. ἀλλὰ διὰ τὸ δυσφθεγκτον, οὐκ ἐν χρήσει. Τὸ δὲ βαδιῶ, ἀττικὸν, τῶν γὰρ εἰς ίζω ὑπὲρ δισυλλάβων, τοὺς μέλλοντας ἐξαιρέσει τοῦ σ προφέρουσιν ἀθηναῖοι, βαδίσω, βαδιῶ· ἐλπίσω, ἐλπιῶ· τὸ δὲ αὔξω, καὶ ἕψω· καὶ ἀλέξω, ἐκ πάθους. ἀόριστος α.

Ἔτι τὸν πρῶτον ἀόριστον ἀπὸ τοῦ μέλλοντος γίνεσθαι, ἀμοιβῇ τοῦ ἐσχάτου ω εἰς α· καὶ αὐξήσει χρονικῇ ἢ συλλαβικῇ· ἀκούσω, ἤκου-

σα· τύψω, ἔτυψα· τὸ δὲ ἑλίλιξα, κατὰ ἀναδιπλασιασμόν:~

Ἔτι τὸ τὸν παρακείμενον ἀπὸ τοῦ μέλλοντος γίνεσθαι εἰς α· καὶ ἄρχουσαν τῆς αὐτῆς ἔχειν τῷ ἐνεστῶτι χρονικῆς αὔξησιν μὴ· ὁμιλήσω, ὡμίληκα· συλλαβικῶς δὲ τὸ τοῦ ἐνεστῶτος ἀρκτικὸν σύμφωνον προσλαμβάνειν· τύψω, τέτυφα· ἐφ' ὧν μὲν ἀρκτικὸν σύμφωνον διπλοῦν ἢ τὸ ρ, οὐδέποτε προσλαμβάνεται τὸ τοιοῦτον ὁ παρακείμενος, ἵνα μὴ δύσφωνον ᾖ· ἔψαλκα· ἔσπαρκα· ἔρριφα. Καὶ ἐφ' ὧν δὲ δασὺ οὐ τὸ αὐτὸ προσλαμβάνεται· ἀλλὰ τὸ παρακείμενον ψιλόν, διὰ τὴν αὐτὴν αἰτίαν· φράζω, πέφρακα· χωρίζω, κεχώρικα· θηρεύω, τεθήρευκα. Ἐφ' ὧν δὲ τὸ α, ἢ τὸ ε, ἢ τὸ ο, ἀρκτικὰ ἰδίου ἀττικοὶ παρακειμένου ποιοῦσι· τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος γράμματα, τῷ κοινῷ προστιθέντες· καὶ τὴν τρίτην συστέλλοντες συλλαβήν, οἷον ἐλεύθω, ἤλευκα, ἐλήλυκα· ἀκούω, ἤκουκα, ἀκήκοκα· ὀρύσσω, ὤρυχα, ὀρώρυχα· + ὅτι γε μὴν ἐφ' ὧν τῶν ἀπὸ τοῦ ο ἀρχομένων, οὐ τὰ ἀρκτικὰ προστιθέασιν· ἀλλ' ἀεὶ μόνον ὁμοίως τοῖς παρατατικοῖς τε καὶ ἀορίστοις· ὦσμαι, ἔωσμαι· ὤνημαι, ἐώνημαι· ὦρακα, ἑώρακα· ἀνῷγα, ἀνέῳγα· ὧν δὴ καὶ ὁ παρατατικὸς τὸ τοιοῦτον ἔχει· ἐωνούμην, ἑώρων· ὁμοίως δὲ τούτοις καὶ τὸ οἶκα, ἔοικα· τὸ δὲ ξυνίηκε, καὶ προσέτι ποιητικὰ καθ' ὁμοιότητα:~

Ἔτι τὸ ἀπὸ τοῦ παρακειμένου τὸν ὑπερσυντέλικον γίνεσθαι εἰς ειν· καὶ μετ' αὐξήσεως δὴ συλλαβικῆς, ἢν ἀπὸ τοῦ συμφώνου ὁ παρακείμενος ἄρχηται· τέτυφα, ἐτετύφειν:~

Ἔτι τὸ ἀπὸ τοῦ πρώτου ἀορίστου, τὸν δεύτερον γίνεσθαι εἰς ον βραχείᾳ παραλήγοντα, καὶ πρὸ τοῦ ον ἔχοντα τὸ ἐπὶ τοῦ ἐνεστῶτος δηλωτικὸν τῆς συζυγίας σύμφωνον· ἐὰν δὲ εἰς ω καθαρὸν λήγῃ ὁ ἐνεστώς, καθαρῶς γὰρ τὸ αὐτὸ προφερόμενον· ἔτυψα, ἔτυπον· ἤκουσα, ἤκοον βραχυπαραλήκτως· γὰρ εἰ τοῦ ε ὁπωσοῦν παραλήγοι ὁ ἐνεστὼς δισύλλαβος τυγχάνει ἀμεταβόλου δηλονότι, ἢ προηγουμένου ἢ ἐπιφερομένου, ὡς ἐπὶ τὸ πλεῖστον· μεταβολῇ τοῦ ε εἰς α· πέρθω, ἔπαρθον· δέρκω, ἔδαρκον· σπείρω, ἔσπαρον· φθείρω, ἔφθαρον· τὸ δὲ ἤγαγον, καὶ ἐπὶ πλεῖον· κατὰ ἀναδιπλασιασμόν· καὶ τὸ ἔσχον· παρενθέσει τοῦ σ ἰδιοσχηματίστως:~

Ἔτι τὸ ἀπὸ τοῦ δευτέρου ἀορίστου τὸν β μέλλοντα γίνεσθαι εἰς ω περισπώμενον, ἐκβολῇ τῆς αὐξήσεως· ἔτυπον, τυπῶ:~

## ΣΧΗΜΑΤΙΣΜΟΙ τῶν μέσων χρόνων.

ΕΠΙ δὲ τοῦ ὁριστικοῦ μέσου κοινοῦ, τὸ ἑκάστου τῶν χρόνων ἀφ' ἑκάστου τῶν ὁμωνύμων ἐνεργητικῶν, γίνεται ὧδε. Ἀπὸ τοῦ ἐνεστῶτος, τὸν ἐνεστῶτα μεταβολῇ τοῦ ω εἰς ο, καὶ προσλήψει τῆς μαι· βιάζω, βιάζομαι. Ἀπὸ τοῦ παρατατικοῦ τὸν παρατατικόν, προσθέσει τῆς μην· ἐβίαζον, ἐβιαζόμην. Ἀπὸ τοῦ πρώτου μέλλοντος, τὸν α´ μέλλοντα μεταβολῇ τοῦ ω εἰς ο, καὶ προσλήψει τῆς μαι· τύψω, τύψομαι. Ἰδίᾳ γε μὴν ἐπὶ τῆς τετάρτης καὶ τὸ υ προσλαμβάνεται· ψαλῶ, ψαλοῦμαι. Ἀπὸ τοῦ πρώτου ἀορίστου τὸν πρῶτον ἀόριστον καὶ ἀπὸ β´ τὸν β´, προσλήψει τῆς μην, ἔτυψα, ἐτυψάμην, ἔτυπον, ἐτυπόμην. Ἀπὸ τοῦ παρακειμένου τὸν παρακείμενον, ἔχοντα πρὸ τοῦ α τὸ τῆς συζυγίας χαρακτηριστικὸν σύμφωνον· ἢ μηδὲν τῶν συμφώνων ἔχοντα· ἐὰν εἰς ω καθαρὸν τὸ ῥῆμα· καλείσθω δὲ τὸ σύμπαν χαρακτηριστικόν· τέτυφα, τέτυπα· ἔψαλκα, ἔψαλα· ἤκουκα, ἤκουα· κἂν δύο σύμφωνα ἢ ἤτοι ἐνεργείᾳ ἢ δυνάμει διὰ τὸ διπλοῦν· τὸ μᾶλλον χαρακτηριστικὸν τῆς συζυγίας λαμβάνεσθαι· τύπτω, τέτυφα· φράζω, πέφραδα· πλήττω, πέπληγα· ἐάν τε ὁ μέλλων παραλήγῃ τὸ ε ἢ μόνῳ ἢ σὺν τῷ ι· μεταβολῇ τοῦ τοιούτου ε εἰς ο τὴν παραλήγουσαν γίνεται· πείσω, πέποιθα· φθερῶ, ἔφθορα· ἔλπω, ἔολπα· τοιοῦτον δὲ καὶ τὸ εἴωθα, καὶ εἶκα, καὶ ἔοικα. Ἀπὸ δὲ τοῦ ὑπερσυντελίκου τὸν ὑπερσυντέλικον μεταλαμβάνοντα τὸ χαρακτηριστικόν· ἐτετύφειν, ἐτετύπειν· ἠκούκειν, ἠκούειν· ἐψάλκειν, ἐψάλειν. Ἀπὸ δὲ τοῦ δευτέρου μέλλοντος τὸν δεύτερον μέλλοντα· μεταβολῇ τοῦ ω εἰς ου, καὶ προσλήψει τῆς μαι· τυπῶ, τυποῦμαι.

## ΣΧΗΜΑΤΙΣΜΟΙ τῶν παθητικῶν χρόνων.

ΕΠΙ δὲ τοῦ ὁριστικοῦ παθητικοῦ κοινοῦ, τὸν μὲν ἐνεστῶτα καὶ παρατατικὸν ἀπὸ τῶν ὁμωνύμων γίνεσθαι ἐνεργητικῶν, ὁμοίως τοῖς μέσοις· γράφω, γράφομαι, ἔγραφον, ἐγραφόμην. Καὶ τὸν παρακείμενον ἀπὸ τοῦ παρακειμένου τροπῇ τῆς ἐσχάτης εἰς μαι· τέτυφα, τέτυμμαι· πεποίηκα, πεποίημαι. Καὶ ἔτι τὸν β´ ἀόριστον ἀπὸ τοῦ τοιούτου· μεταβολῇ τῆς ἐσχάτης εἰς ην· ἔτυπον, ἐτύπην. Τὸν δὲ ὑπερσυντέλικον ἀπὸ τοῦ συστοίχου παρακειμένου μεταβολῇ τῆς ἐσχάτης εἰς μην.

καὶ σὺν αὐξήσει συλλαβικῇ γὰρ ἀπὸ συμφώνου τυγχάνει ἀρχόμενος·
τέτυμμαι, ἐτετύμμην· ὅλως τε αὔξησις ὅσ' ἐστι δεικτικός· κἂν ἀ-
πὸ φωνήεντος εἴη ὁ παρατατικός, τὴν μέσην αὐξάνεται, εἰ δυνατὸν χρή· ἔοι-
κα, ἐῴκειν· ἔολπα, ἐώλπειν. Ἀόριστος α΄. Καὶ τὸν πρῶτον δὲ ἀόριστον
ἀπὸ τοῦ αὐτοῦ παρακειμένου μεταβολῇ τῆς ἐσχάτης εἰς θην, καὶ ἀποβολῇ τῆς
συλλαβικῆς αὐξήσεως· ἐν οἷς δῆλον ὅτι ὑπάρχει· ἀεὶ δὲ σὺν αὐξήσει
ἤτοι συλλαβικῇ ἢ χρονικῇ· τέτυπται, ἐτύφθην· ὤρισται, ὡρίσθην· γί-
νοιτο δ' ἂν καὶ ἀπὸ τοῦ πρώτου τῶν ἐνεργητικῶν καθόλου, εἰ τὸ σ ἐν
παντὶ μέλλοντι· μεταβολῇ γὰρ τῆς σα εἰς θην καὶ τοῦ ὑπάρχοντος ψι-
λοῦ εἰς τὸ οἰκεῖον δασύ· ἔτυψα, ἐτύφθην· ἔψαλα, ἐψάλθην.
Μετ' ὀλίγον μέλλων. Καὶ ἔτι τὸν μετ' ὀλίγον μέλλοντα ἀπὸ τοῦ β΄ προσώπου
ἐπενθέσει τοῦ ο, μαι· τέτυψαι, τετύψομαι· πέπλεξαι, πεπλέξομαι.
Μέλλων α΄ καὶ β΄. Τὸν δὲ πρῶτον καὶ δεύτερον μέλλοντα ἀπὸ τῶν συ-
στοίχων ἀορίστων προσλήψει τοῦ σομαι, καὶ ἀφαιρέσει τῆς αὐξήσε-
ως· ἐτύφθην, τυφθήσομαι· ἐτύπην, τυπήσομαι.

## ΚΟΙΝΟΝ Πρώτης καὶ Δευτέρας.

Τῆς δὲ πρώτης καὶ δευτέρας κοινὸν, τὸ μὲν τοῦ ἐνεργητικοῦ μέλλοντος διὰ
μὲν ἔχειν τὸ σ ἐν τῷ διπλῷ· καὶ ἐπὶ τοῦ παρακειμένου τὸ ληκτικὸν
α ἔχειν συλλαβιζόμενον τῷ δασεῖ τῷ ἀντιστοιχοῦντι τῷ τοῦ μέλλον-
τος ληκτικῷ διπλῷ· ὡς δηλαδὴ τὸ ψιλὸν ὄντι· τύψω, τέτυφα·
λέξω, λέλεχα. Καὶ ἐπὶ τοῦ παθητικοῦ παρακειμένου πρὸ τοῦ ληκτικοῦ μαι,
μεταβάλλειν τὸ τοῦ ἐνεργητικοῦ ἐκεῖνο δασύ, εἰς τὸ οἰκεῖον μέσον· τέτυ-
φα, τέτυβμαι· διὰ δὲ τὸ ἑπόμενον μ, τέτυμμαι· λέλεχα, λέλεγμαι.
Καὶ ἐπὶ τοῦ ἀορίστου πάλιν τὸ μέσον εἰς τὸ οἰκεῖον δασύ· τέτυβμαι, ἐτύφθην·
λέλεγμαι, ἐλέχθην. Διαφέρουσι δὲ αὗται, τῆς μὲν πρώτης τὰ ψ. β. φ.
τύψω, τέτυφα, τέτυβμαι, ἐτύφθην· τῆς δὲ δευτέρας τὰ ξ. χ. γ. λέ-
ξω, λέλεχα, λέλεγμαι, ἐλέχθην. ΚΟΙΝΟΝ τρίτης καὶ τετάρτης.
Τῆς δὲ τρίτης καὶ τετάρτης κοινὸν, τὸ τὸν ἐνεργητικὸν παρακείμενον πρὸ
τοῦ ληκτικοῦ α ἔχειν τὸ κ συλλαβιζόμενον· βεβασίλευκα, ἔψαλ-
κα. διαφέρουσι δὲ, ὅτι ἡ μὲν τρίτη αὐτὸ ἔχει πρὸ τοῦ σ, βασιλεύ-
σω, βεβασίλευκα· ἡ δὲ τετάρτη, προσθέσει· ψαλῶ, ἔψαλκα.

Τρέπεται δὲ ἐπὶ τῆς τρίτης, ὅτε τὸ πρὸ τοῦ ληφθέντος συμβαῖνον ν εἰς γ, διὰ τὸ ἐπαγόμενον κ, ῥαίνω, ἔρραγκα· καὶ τὸ παθητικὸν ἔρραμμαι διὰ τὸ ἐπαγόμενον μ. ὁ μέντοι ἀόριστος πάλιν τὸ ν ἔχει, ἐρράνθην. Ἴδιον δὲ τῆς τρίτης καὶ τὸ ἐπὶ τοῦ ἐνεργητικοῦ μέλλοντος ἐνδεῖα ἔχειν τὸ σ· ἔνθα αἱ πρότεραι δυνάμει τὸ αὐτὸ ἔχουσιν· ἀκούσω, ποιήσω· καὶ ὅλως δὲ ἐφ' ὧν ταῖς προτέραις ἡ τοῦ διπλοῦ μεταβολὴ εἰς τὰ δασέα καὶ μέσα, ἐνταῦθα τὸ σ ἢ τὸ αὐτὸ ὂν φυλάττεται, ἢ εἰς κ μεταβάλλει, ἢ παντελῶς ἐκλείπει. Μεταβάλλει μὲν οὖν ἐπὶ τοῦ ἐνεργητικοῦ παρακειμένου εἰς κ ἀεὶ, ἤνυκα. Ἐκλείπει δὲ καὶ φυλάττεται ἐπὶ τοῦ παθητικοῦ παρακειμένου, πεποίημαι· ἤνυσμαι. εἰ μέντοι γε τὸ τελικὸν ω τοῦ ἰδίου ἐνεστῶτος καθαρὸν ᾖ, ὡς ἐπὶ τὸ πλεῖστον ἐκλείπει· βοάω, βεβόημαι· τοξεύω, τετόξευμαι· ἐπὶ ἐνίων μέντοι καὶ σώζεται· ἑλκύω, εἵλκυσμαι· ἀκούω, ἤκουσμαι. καὶ ἐπὶ τῶν α ἀπὸ ε, ἐφ' ὧν τὸ λ τὴν παραλήγουσαν συλλαβὴν· γελάω, γεγέλασμαι· τελέω, τετέλεσμαι. Σκεπτέον δὲ βέλτιον. εἰ δὲ μὴ καθαρὸν τὸ πρὸ τοῦ ω, ἀεὶ τὸ σ φυλάττεται· ᾄδω, ᾖσμαι· πείθω, πέπεισμαι· πλάττω, πέπλασμαι· φράζω, πέφρασμαι. Ἀναγκαῖον δὲ ἄρα καὶ τὸν ἀόριστον ἔχειν μὲν τὸ σ ἐφ' ὧν καὶ ὁ παρακείμενος ἔχει, ἤκουσμαι, ἠκούσθην· μὴ ἔχειν δέ, ἐφ' ὧν οὐδὲ ὁ παρακείμενος, πεποίημαι, ἐποιήθην. Ἴδιον δὲ ἔστι ταύτης καὶ τὸ τοὺς μέλλοντας τῶν α. ε. ο ῥημάτων, τὸ μὲν τρέπειν τὸ ε, καὶ τὸ α εἰς η, καὶ τοῦ ο, εἰς ω προφέρεσθαι· ποιέω, ποιήσω· βοάω, βοήσω· χρυσόω, χρυσώσω· πλὴν τοῦ καλέω, τελέω, ἐπαινέω, φορέω, ξέω, ἀκέομαι· καὶ γελάω, ἐλάω, σπάω, περάω, ἀμιάω, ἰάομαι, κλάω, πτέω, κεράω, αἰνέω, ἀρόω, ὀμόω, ὀνόω, ἐμέω, βόω. ἀπὸ ἐπαινήσω μέντοι καὶ φορήσω· ἀπὸ περήσω· καὶ πειρήσω· ἀπὸ ἰήσομαι. Παρὰ ποιητῇ εἴρηται ἰωνικῶς:~

## ΙΔΙΑ ΤΗΣ ΤΕΤΑΡΤΗΣ.

ΤΗΣ Δὲ τετάρτης ἴδιον· τὸ τὸν ἐνεργητικὸν μέλλοντα πρὸ τοῦ ληκτικοῦ ω τὸ σύμφωνον ἔχειν τοῦ ἐνεστῶτος· καὶ βραχυπαραληκτεῖν, σπείρω, σπερῶ· καὶ φύρω, εἶτα φύρσω· ἀπὸ ὄρω, ὄρσω· καὶ φθείρω, φθέρσω· λεγόμενα εὕρηται δωρικῶς. Ἴδιον δὲ ἔτι καὶ τὸ τὸν α· ἀόριστον τῇ ει μὲν παραλήγεσθαι, εἰ τῷ ε ὁ μέλλων· τῷ η δέ, εἰ τὸ α· μενῶ, ἔμεινα· ψαλῶ, ἔψηλα. Καὶ τὸ τῶν

τοῦ ἐνεργητικοῦ πρώτου, καὶ δευτέρου ἀορίστου, μεταβάλλειν εἰς ᾱ
τὸ ε̄ τοῦ μέλλοντος παραληκτικὸν ε̄· σπερῶ, ἔσπαρκα· φθερῶ, ἔφθαρ-
κα· κτενῶ, ἔκτακα· καὶ τό, τὸν μέσον παρακείμενον τρέπειν τὴν αι
παραλήγουσαν εἰς η̄· χαίνω, κέχηνα· φαίνω, πέφηνα. Καὶ τὸ ἐ-
πὶ τῶν ληγόντων μὲν εἰς νω̄· παραληγόντων δὲ τῇ ει διφθόγ-
γῳ· μὴ τρέπειν τὸ ν̄, ἀλλ᾽ ἀποβάλλειν· κείνω, κέκεικα· τείνω, τέτα-
κα. Ἐφ᾽ ὧν δὴ καὶ ὁ παθητικὸς πρῶτος ἀκολούθως οὐκ ἔχει αὐτὸ τε-
τραμμένον· κέκειμαι· ἐδόθη ὁ πρῶτος ἄτρεπτον, ἐκείθη· διὰ τὸ δύσφθεγκτον.

## ἼΔΙΑ ΤΗ͂Σ ΠΈΜΠΤΗΣ.

Ἡ δὲ πέμπτη ὅτι μὲν τῶν μι ῥημάτων ἐστὶν ἀπὸ τῆς τρίτης· ᾱ· ε̄·
ο̄· ῡ· παραγομένων· καὶ ὅτι οὐ πάντας ἔχει τοὺς χρόνους, εἴρηται
πρότερον. Ἴδιον δ᾽ ἔχει τὸ ἀπὸ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος τὸν πα-
ρατατικὸν γίνεσθαι· ἐξαιρέσει τοῦ ῑ καὶ τροπῇ τοῦ μ̄ εἰς ν̄. Τίθη-
μι, ἐτίθην, ἵστημι, ἵστην· δίδωμι, ἐδίδων, ζεύγνυμι, ἐζεύγνυν. Ἔτι
τὸ τὸν πρῶτον ἀόριστον πρὸ τοῦ ληκτικοῦ ᾱ τὸ κ̄ ἔχειν συλλαβιζό-
μενον· πλὴν οὐκ ἐπὶ πάντων, ἀλλ᾽ ἐπὶ τῶν ἀπὸ τοῦ ε̄ καὶ ο̄ παρηγμα-
τισμένων. Τιθέω, τίθημι· ἔθηκα· διδόω, δίδωμι, ἔδωκα.
Εἴρηται δὲ πρότερον καὶ ὅτι τὰ εἰς μι ῥήματα ἐπὶ τῶν παθητικῶν τε
καὶ μέσων καὶ δυϊκῶν καὶ πληθυντικῶν συστέλλεται· καίτοι μὴ καθό-
λου ὂν μηδὲ τοῦτο, τίθημαι γὰρ ὡς ἀκάχημαι, καὶ δίζημαι ὥσπερ ἐν τῇ εἴρη-
ται· καὶ ἐκίχημεν· καὶ βῆτην, στῆτον, συναντήτην· ὥστε πλὴν τῶν δυϊ-
κῶν, καὶ πληθυντικῶν, τῶν ἀπὸ τοῦ πρώτου δευτέρου ἀορίστων λεκτέ-
ον· ἔστημεν γάρ, καὶ ἔστητον, καὶ ἔβημεν, ἔβητην. Κοινόν γε μὴν σχε-
δόν τι ἁπάντων ἐστὶ τὸ τρίτον τοῦτο· ἡ συστολὴ δὴ αὕτη ἀναλόγως· ὃ γὰρ
τοῖς εἰς ω̄, ο̄· ἡ εἰς ε̄, ε̄· τοῦτο τοῖς εἰς μι· η̄, ε̄· ἢ η̄ ᾱ· ἢ ω̄ ο̄· ἢ ῡ ῠ· διὸ καὶ
εἰς ἕκαστα τῶν βραχέων τούτων ἡ συστολὴ ἑκάστοις δηλονότι εἰς τὸ βρα-
χὺ τῆς ἰδίας ἀρχῆς φωνῆεν, ὅθεν παρῆκται μηκυνόμενον· τιθέω, τί-
θημι, τίθεμαι· ἱστάω, ἵστημι, ἵσταμαι· διδόω, δίδωμι, δίδομαι· ζευγνύω,
ζεύγνυμι, ζεύγνυμαι.

## ΠΑΘΗΤΙΚΩ͂Ν καὶ μέσων ἐνεστώς.

ΓΙ´ΝΕΤΑΙ μὲν οὖν ἐπὶ τούτων ὁ τῶν παθητικῶν τε καὶ μέσων ἐνεστώς, ἀ-
πὸ τοῦ ἐνεργητικοῦ παρεντιθεμένου τοῦ ᾱ, τῶν ληκτικῶν ῑ, καὶ συστελ-

λομένης τῆς παραληγούσης, τίθημι, τίθεμαι. Ὁ δὲ παρατατικὸς, ἀπὸ τοῦ παρατατικοῦ ὁμοίως τῷ ἐπὶ τῶν ἄλλων συζυγιῶν· ἐτίθην, ἐτιθέμην. Ὡσαύτως δὲ καὶ ὁ τῶν μέσων πρῶτος, ὁ δεύτερος ἀόριστος ἀπὸ τοῦ συζύγου· ἔθηκα, ἐθηκάμην· ἔθην, ἐθέμην. Ὁ δὲ τῶν παθητικῶν ἐνεστὼς ἀπὸ τοῦ συνδιαθέτου ἐνεστῶτος, τροπῇ τοῦ περὶ τὸν ἀναδιπλασιασμὸν ῑ εἰς ε̄· τίθεμαι, τίθεμεν· δίδομεν, δίδομαι· ἵσταμεν, ἵσταμαι.
Ὁ δὲ ἀόριστος, ἀπὸ τοῦ παρακειμένου ὡς ἐπὶ τῆς τρίτης· δέδομαι, ἐδόθην· τέθειμαι, ἐθέθην· ἐτέθην δὲ, διὰ τὸ δύσφθεγκτον.

## ΚΛΙΣΙΣ ΠΡΟΣΩΠΙΚΗ ΤΩΝ ΕΙΣ Ω ΕΝΕΡΓΗΤΙΚΩΝ.

ΤΗΣ δὲ προσωπικῆς κλίσεως, ὁ τρόπος μὲν ὁ αὐτὸς περὶ τὰς τέσσαρας τῶν εἰς ω ῥημάτων συζυγιῶν· διαφορὰ δὲ κατὰ τοὺς χρόνους. οἱ μὲν γὰρ, ὁμοίως προσωποκλιτοῦνται· οἱ δὲ διαφόρως. τὸ μὲν τοίνυν ὅθεν ἅπασι τὸ αὐτὸ καθ᾽ ἑκάστην διάθεσιν. Κοινὸν μὲν οὖν ἐνεστῶτος καὶ μέλλοντος πρώτου τῆς ὁριστικῆς, τῶν ἐνεργητικῶν ἐγκλίσεως, τὸ, τὸ μὲν δεύτερον τῶν ἑνικῶν προσώπων, γίνεσθαι ἀπὸ τοῦ πρώτου, μεταποιήσει τῆς ἐσχάτης εἰς εις· τύπτω, τύπτεις· τύψω, τύψεις. τὸ δὲ τρίτον, ἀπὸ τοῦ β΄, ἐξαιρέσει τοῦ σ̄, τύπτει τύψει. Τῶν δὲ δυϊκῶν τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς τον· τύπτεις, τύπτετον· τύψεις, τύψετον· τὸ γὰρ πρῶτον ἀπόδημος τῆς ἐνεργητικῆς, εἴρηται. Τὸ δὲ τρίτον ὁμοφώνως τῷ δευτέρῳ. Τῶν πληθυντικῶν τὸ μὲν πρῶτον, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, τροπῇ τοῦ ω εἰς ο, καὶ προσθέσει τῆς μεν· τύπτω, τύπτομεν. Τὸ δὲ δεύτερον, ἀπὸ τοῦ β΄ τῶν δυϊκῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς τε· τύπτετον, τύπτετε. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς ουσι, τύπτετον τύπτουσι· ἐφέλκεται δὲ ἀεὶ καὶ τὸ ν̄· τύπτουσιν. καθόλου γὰρ τὰ εἰς ῑ ἢ εἰς ε̄ λήγοντα τρίτα πρόσωπα, ἐφέλκεται τὸ ν̄ ἀττικῶς· τοῦ φωνήεντος τοῦ συμφώνου ἐπιφερομένου· Ἴωνες δὲ ἀεὶ τὸ ν̄ προφέρουσι. σημεῖον δὲ τὸ ἠτίμησαν γῆρας· καὶ ἔθεντο. Κοινὰ δὲ ταῦτα καὶ πρὸς τὸν β΄ μέλλοντα· πλὴν ὅσον ἐπ᾽ ἐκείνου ἐξαίρεσις τοῦ ι, οὐ γίνεται τοῦ δευτέρου τῶν ἑνικῶν, ἀλλὰ τοῦ τρίτου τῶν δυϊκῶν· ἤτοι ἐξαίρεσις ἢ μετάθεσις· τυπεῖς γὰρ τυπεῖτον, τυποῦσιν.

## ΠΑΡΑΤΑΤΙΚῸΣ ΚΑῚ β΄ ἀόριστος.

Τοῦ δὲ παρατατικοῦ καὶ δευτέρου ἀορίστου, τὸ μὲν δεύτερον τῶν ἑνικῶν, ἀπὸ τοῦ πρώτου προσώπου· τροπῇ τοῦ ον εἰς ες· ἔτυπτον, ἔτυπτες· τὸ δὲ τρίτον, ἀπὸ τοῦ δευτέρου ὡς εἴρηται. Τῶν δὲ δυϊκῶν, τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· μεταποιήσει τῆς ἐσχάτης εἰς τον. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου· προσθέσει τῆς την. Τῶν δὲ πληθυντικῶν, τὸ μὲν πρῶτον, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν· παρενθέσει τῆς με· ἔτυπτον ἐτύπτομεν. Τὸ δὲ δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν ὁμοίως, ὡς καὶ ἐπὶ τοῦ ἐνεστῶτος. Τὸ δὲ τρίτον, ὁμοφώνως τῷ πρώτῳ τῶν ἑνικῶν. Τὸ ἤλθοσαν, καὶ ἐμάθοσαν χαλκιδικῆς διαλέκτου ἐστὶ παρεσχηματισμένα, πρὸς τὸ ἔδοσαν.

## ΚΟΙΝᾺ ΠΡΏΤΟΥ ἀορίστου καὶ παρακειμένου.

Τοῦ δὲ πρώτου ἀορίστου καὶ παρακειμένου κοινόν, τὸ τὸ μὲν δεύτερον τῶν ἑνικῶν, ἀπὸ τοῦ πρώτου γίνεσθαι, προσθέσει τοῦ σ· ἔτυψα, ἔτυψας· τέτυφα, τέτυφας. Τὸ δὲ τρίτον, ἐξαιρέσει τοῦ σ, καὶ τροπῇ τοῦ α εἰς ε· ἔτυψε· τέτυφε. Τῶν δὲ δυϊκῶν, τὸ μὲν δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· μεταποιήσει τῆς ἐσχάτης εἰς ατον· ἔτυψας, ἐτύψατον· τέτυφας· τετύφατον. Τὸ δὲ τρίτον οὐκέτι κοινόν· ἀλλὰ τὸ μὲν παρακειμένου ὁμόφωνον τῷ ἰδίῳ δευτέρῳ. Τὸ δὲ ἀορίστου ἀπὸ τοῦ ἰδίου δευτέρου, μεταποιήσει τῆς ἐσχάτης εἰς την· ἐτύψατον, ἐτυψάτην. Τῶν δὲ πληθυντικῶν, τὸ μὲν πρῶτον κοινὸν ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν· προσθέσει τῆς μεν· ἔτυψα, ἐτύψαμεν· τέτυφα, τετύφαμεν. Τὸ δὲ δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, ὁμοίως ὡς καὶ ἐπὶ τοῦ ἐνεστῶτος. Τὸ δὲ τρίτον, οὐκέτι κοινόν· ἀλλὰ τὸ μὲν παρακειμένου, ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν, μεταβολῇ τῆς ἐσχάτης εἰς σιν· τετύφατον, τετύφασιν. Τὸ δὲ ἀορίστου, ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν· προσθέσει τοῦ ν· ἔτυψα, ἔτυψαν. Τοῦ δὲ ὑπερσυντελίκου, τὸ μὲν β΄ ἀπὸ τοῦ πρώτου· τροπῇ τοῦ ν εἰς ς, ἐτετύφειν, ἐτετύφεις. Τὰ δ' ἄλλα πάντα ὁμοίως τοῖς τοῦ δευτέρου ἀορίστου· πλὴν τοῦ μηδὲν ἐνταῦθα μεταβάλλειν τῶν φωνηέντων, καὶ τῶν πληθυντικῶν τὸ τρίτον γίνεσθαι ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν· προσθέσει τῆς σαν ἐτετύφει, ἐτετύφεισαν.

Δῆλον οὖν ὅτι τοῦ ἐνεστῶτος, καὶ ἀμφοῖν τοῖν μελλόντοιν, καὶ τοῦ παρακειμένου τῶν ἐνεργητικῶν, ἴδιον πρὸς τοὺς αὐτοὺς χρόνους, τὸ τὰ β΄ καὶ τρίτα τῶν δυϊκῶν ἀλλήλοις ὁμοφωνεῖν. διὸ καὶ λείπεται ὡς ἐὰν μὲν εἰς σι λήγῃ τὰ τρίτα τῶν πληθυντικῶν, ὁμοφωνεῖν τὰ δεύτερα καὶ τρίτα τῶν δυϊκῶν. συμβαίνει δὲ καὶ ἰσοσύλλαβα καὶ ὁμόφωνα εἶναι τὰ τρίτα τῶν πληθυντικῶν τοῖς πρώτοις τῶν ἑνικῶν τοῦ παρατατικοῦ καὶ ἀμφοτέρων τῶν ἀορίστων. Καθόλου δὲ τῶν ἐνεργητικῶν παρῳχημένων, οἷς ἡ μετοχὴ οὐκ εἰς σι ὀξυτονουμένον λήγει, τούτοις τὰ τρίτα τῶν πληθυντικῶν ληκτικὴν ἔχει τὴν τῆς μετοχῆς γενικῆς παραληκτικὴν συλλαβήν. οἷον, ὁ τύπτων, τοῦ τύπτοντος, ἔτυπτον. ὁ τύψας, τοῦ τύψαντος, ἔτυψαν.

## ΤΩ͂Ν ΜΕΣΩΝ

Τῶν δὲ μέσων ὁριστικῶν, ὁ μὲν παρακείμενος καὶ ὁ ὑπερσυντέλικος, συμφέρονται τοῖς ἐνεργητικοῖς ὁμωνύμοις.

## ἘΝΕΣΤΩ͂Σ ΚΑῚ ΜΕΛΛΩΝ.

Ἐνεστῶτος δὲ καὶ μέλλοντος κοινῶν, τὸ δεύτερον τῶν ἑνικῶν γίνεται ἀπὸ τοῦ α΄ ἐξαιρέσει τοῦ μ, καὶ τροπῇ τοῦ ο εἰς ε, καὶ κράσει τοῦ ε καὶ αι εἰς η. τύπτομαι, τύπτῃ. πλὴν τοῦ οἴομαι, βούλομαι, ὄψομαι. τούτων γὰρ τὸ δεύτερον, ἐξαιρέσει τοῦ α καὶ συναιρέσει τοῦ ἐκ μεταβολῆς ε καὶ τοῦ ι εἰς ει. οἴει, βούλει, ὄψει. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ δευτέρου ἀναλύσει τῶν κεκραμένων καὶ παρενθέσει τοῦ τ. τύπτεαι, τύπτεται. Τῶν δυϊκῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, μεταποιήσει τῆς ληγούσης, εἰς μεθον. τύπτομαι, τυπτόμεθον. Τὸ δὲ βον καὶ τρίτον ὁμοφωνεῖτον. καὶ ἀπὸ τοῦ τρίτου γίνεσθον μεταποιήσει τῆς ἐσχάτης εἰς σθον. τύπτεται, τύπτεσθον. Τῶν δὲ πληθυντικῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ α΄ τῶν δυϊκῶν μεταποιήσει τῆς ληγούσης εἰς θα. τυπτόμεθον, τυπτόμεθα. Τὸ δὲ δεύτερον ἀπὸ τοῦ β΄ μεταποιήσει τῆς ἐσχάτης εἰς σθε. τύπτεσθον, τύπτεσθε. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν, τροπῇ τοῦ παραλήγοντος ε, εἰς ο, καὶ προσλήψει τοῦ ν. τύπτεται, τύπτονται. Κοινὰ δὲ ταῦτα καὶ πρὸς τὸν δεύτερον μέλλοντα. πλὴν ὅσον ἐπὶ τούτου τὸ δεύτερον τῶν ἑνικῶν καὶ ἐξαιρέσει τοῦ υ γίνεται. τυποῦμαι, τυπέεαι, τυπῇ. μαχοῦμαι, μαχέεαι, μαχῇ. καὶ τὸ τρίτον, προσλήψει τοῦ ι εἰς δίφθογγον. τυπέεται, τυπεῖται. καὶ ἔτι τὸ τρίτον τῶν πληθυντικῶν τροπῇ τῆς ει διφθόγγου

d δ

ρου εἰς ου̅· τυπτῶμαι. Τοῦ δὲ παρατατικοῦ καὶ β΄ πρόσωπον κοινόν, τὸ δεύτερον τῶν ἑνικῶν γίνεται ἀπὸ τοῦ α΄· ἐξαιρέσει τοῦ μ̄ καὶ ν̄· καὶ τροπῇ τοῦ η̄ εἰς ε̄, καὶ διφθογγώσει τοῦ ο̄ καὶ ε̄ εἰς ου̅· ἐτυπτόμην, ἐτύπτου. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου διαλύσει τῆς ου̅, εἰς εο, καὶ προσθέσει τοῦ τ̄· ἐτύπτεο, ἐτύπτετο. Τὰ δὲ ἄλλα ὁμοίως καὶ τὰ τοῦ ἐνεστῶτος. πλὴν ὅσον τῶν δυϊκῶν τὸ δεύτερον καὶ γ΄ οὐχ ὁμοφωνοῦσιν· ἀλλὰ τὸ τρίτον, ἀπὸ τοῦ γ΄ τῶν ἑνικῶν· μεταποιήσει τῆς ληγούσης εἰς σθην· ἢ ἀπὸ τοῦ ἰδίου δευτέρου· ἐτύπτετο, ἐτύπτεσθον· ἐτυπτέσθην.

Τοῦ δὲ πρώτου ἀορίστου, τὸ μὲν β΄ τῶν ἑνικῶν, ἀπὸ τοῦ α΄ ἐξαιρέσει τοῦ μ̄ καὶ ν̄, καὶ μεταβολῇ τοῦ η̄ εἰς ε̄, καὶ τούτου πάλιν εἰς ο̄, καὶ συναιρέσει τοῦ ᾱ καὶ ο̄ εἰς ω̄, ἐτυψάμην, ἐτύψαο, ἐτύψω. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου ἀναλύσει τῶν συνῃρημένων, καὶ προσθέσει τοῦ τ̄· ἐτύψαο, ἐτύψατο. Τὰ δὲ ἄλλα ὁμοίως τῷ δευτέρῳ ἀορίστῳ. πλὴν ὅσον ἐκεῖ μὲν τὸ παραλῆγον ο̄ μεταβάλλει εἰς ε̄· καὶ τὸ ε̄ πάλιν εἰς ο̄· ἐνταῦθα δὲ τὸ ᾱ ἀμετάβλητον τηρεῖ πάντα:~

## ΠΑΘΗΤΙΚΩΝ.

Τῶν δὲ παθητικῶν ὁ μὲν ἐνεστώς, καὶ οἱ μέλλοντες ἄμφω, τῷ ἐνεστῶτι τῶν μέσων συμφέρονται· ὁ δὲ παρατατικὸς τῷ παρατατικῷ· οἱ δὲ ἀόριστοι τῶν ἀορίστων· ὁ δὲ παρακείμενος καὶ ὑπερσυντέλικος ἰδίαν εἰλήχασι κατατομήν. Τοῦ μὲν γὰρ παρακειμένου τὸ β΄ ἀπὸ τοῦ α΄· τροπῇ τοῦ ληκτικοῦ μ̄ εἰς σ̄· ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει· ὧν γὰρ ὁ μέλλων διὰ τοῦ ψ̄· ἢ ξ̄, τούτων ὁ σχηματισμὸς τῷ αὐτῷ διπλῷ γίνεται· πέπλεγμαι, πέπλεξαι· τέτυμμαι, τέτυψαι. Τὸ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ̄ εἰς τ̄· ὅπως ἂν ἔχῃ, εἴτε ἐνεργείᾳ· εἴτε δυνάμει· συνίστι δ᾽ ἐνεργείᾳ καὶ τὰ πρότερον δυνάμει σὺν αὐτῷ θεωρούμενα ἐν τῷ διπλῷ· οἷον τὸ π̄ ἢ κ̄· τέτυψαι, τέτυπται· πέπλεξαι, πέπλεκται· ἔσπαρσαι, ἔσπαρται· ἐν τὸ σ̄ δὲ προσλαμβάνεται κἀν λόγῳ· ἂν τοῦ πρώτου ἡ λήγουσα τῷ σῖγμα συμβιβάζηται· ἤκουσμαι· ἤκουσαι· ἤκουσται.

Τῶν δυϊκῶν τὸ πρῶτον, ἀπὸ τοῦ α΄ τῶν ἑνικῶν, ὁμοίως τῷ ἐνεστῶτι, καὶ τὸ β΄ καὶ τρίτον ὁμοφώνως ἀπὸ τοῦ β΄ μεταποιήσει τῆς ληγούσης εἰς σθον· ἐν οἷς δηλονότι τὸ σ̄ ἐνεργείᾳ· ἤκουσαι, ἤκουσθον· ἐν οἷς δὲ δυνάμει οὐ τὸ σ̄, ἀλλ᾽ ἢ τὸ φ̄ πρὸ τοῦ θ̄ συμβιβαστέον· ἐὰν τὸ ψ̄ ᾖ· τέτυ-

ψαι, τέτυφθον· ἢ τὸ χ ἐὰν τὸ ξ· πεπλέξαι, πεπλέχθον. Τῶν πληθυντικῶν, τὸ πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μετατρεπομένου τοῦ ἐσχάτου εἰς θα ὁμοίως τῷ ἐνεστῶτι· τετύμμεθον, τετύμμεθα· τὸ δὲ δεύτερον, ἀπὸ τοῦ δευτέρου ἐκβολῇ τοῦ μ, καὶ τροπῇ τοῦ ο εἰς ε· τέτυφθον, τέτυφθε. Τὸ τρίτον κοινῶς μὲν γίνεσθαι, ἔχοι ὄντι ἔνθα τὸ τρίτον τῶν ἑνικῶν, συλλαβῇ λήγει δισυμφώνῳ· ἰωνικῶς δὲ ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν, τροπῇ τοῦ ψιλοῦ ἐν οἷς ἂν ᾖ, εἰς δασύ, καὶ προσθέσει τοῦ α· τέτυπται, τετύφαται· πέπλεκται, πεπλέχαται. Καὶ τὰ τοῦ ὑπερσυντελίκου δὲ ὁμοίως τοῖς τοῦ παρακειμένου γίνεται· πλὴν ὅσον φωνῆεν κἀνταῦθα ληκτικὸν τὸ ο· ἔνθα ἐπὶ ἐκείνου, τὸ αι· χρηματιστέον δὲ ἑτέρα καὶ τὸ τρίτον τῶν δυϊκῶν, τρέπεται εἰς θην ἀπὸ τοῦ β. καθόλου γὰρ τηνικαῦτα μόνον τὸ δεύτερον καὶ τρίτον τῶν δυϊκῶν, ἀλλήλοις ὁμοφωνεῖ τὸν ἡνίκα τὸ τρίτον τῶν πληθυντικῶν, εἰς ι ἢ εἰς αι λήγει:~

Ἴδιον δὲ τῆς πέμπτης. Ἐνεργητικῶν ἐνεστώς.

Ἴδιον δὲ τῆς πέμπτης τὸ ἐπὶ τῶν ὁριστικῶν, ἐνεργητικῶν τὸ μὲν δεύτερον πρόσωπον τοῦ ἐνεστῶτος γίνεσθαι ἀπὸ τοῦ α ἀφαιρέσει τοῦ ι· καὶ τροπῇ τοῦ μ εἰς σ· τίθημι, τίθης. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, προσθέσει τοῦ ι, τίθης, τίθησι. Τῶν δὲ δυϊκῶν, τὸ δεύτερον καὶ τρίτον, ἀπὸ τοῦ β τῶν ἑνικῶν, τροπῇ τοῦ σ εἰς τ· καὶ προσθέσει τοῦ ον· καὶ μεταβολῇ τῆς παραληγούσης εἰς τὸ παραλῆγον φωνῆεν τοῦ ῥήματος, ὅθεν αὐτὸ παρεσχημάτισται τὸ εἰς μι· τιθέω, τίθημι· τίθης, τίθετον· ἱστάω, ἵστημι, ἵστης, ἵστατον· διδόω, δίδωμι, δίδως, δίδοτον. Τῶν δὲ πληθυντικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ α τῶν ἑνικῶν, μετατρεπομένης τῆς ληγούσης εἰς μεν· καὶ μεταβολῇ τῆς παραληγούσης ὡς εἴρηται· τίθημι, τίθεμεν. Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, ἐξαιρέσει τοῦ ν καὶ τροπῇ τοῦ ο, εἰς ε, τίθετον, τίθετε. Τὸ τρίτον ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν, ἐξαιρέσει τοῦ ν· καὶ μετατρέψει τῆς τ εἰς σι, καὶ παρενθέσει τοῦ α· τίθετον, τιθέασι· δίδοτον, διδόασι· τὸ δὲ ἱστᾶσι, καὶ ἱᾶσι, καὶ τὰ ὅμοια, ἐκ συναιρέσεως.

Τοῦ δὲ παρατατικοῦ καὶ β ἀορίστου, ὁμοίως τοῖς παρατατικοῖς, καὶ δευτέροις ἀορίστοις τῶν εἰς ω ῥημάτων· ἐτίθην, ἐτίθης· ἔθην, ἔθης· πλὴν ὅσον ἐνταῦθα ἡ τῶν ἑνικῶν παραλήγουσα συστέλλεται ἐπὶ τῶν δυϊκῶν καὶ πλη-

d δ ii

θυντικῶν ὡς ἔφην. Αὐτῶν δὲ τῶν εἰς μι σχηματισμὸς ὡς ἁπλῶς εἰπεῖν κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ ἀρκτικοῦ συμφώνου, καὶ τοῦ ι. εἰ μὴ τὸ τῆς προφορᾶς δύσφθεγκτον κωλύοι. δῶ, δίδωμι. θῶ. τίθημι. στῶ μὲν γὰρ ἵστημι. διὰ τὸ δύσφθεγκτον.

## ΜΕΣΑ ΚΑΙ ΠΑΘΗΤΙΚΑ.

Ἐπὶ δὲ τῶν μέσων τε καὶ παθητικῶν, ὁριστικοῦ, τὸ μὲν τοῦ ἐνεστῶτος καὶ παρακειμένου β΄ πρόσωπον τοῦ α΄ μεταβολῇ τῆς μαι εἰς σαι. τίθεμαι. τίθεσαι. τέθειμαι. τέθεισαι.

Τὸ δὲ τοῦ παρατατικοῦ καὶ β΄ ἀορίστου μεταποιήσει τῆς λεγούσης εἰς σο. ἐτιθέμην, ἐτίθεσο. Τὰ δὲ ἄλλα πάντα κοινὰ πρὸς τὰ βαρύτονα. Ἔστι δὲ καὶ εἰς ου προφέρειν τὸ β΄ τοῦ ἐνεστῶτος, τὰ ἀπὸ τοῦ ε καὶ α. τίθεμαι, τίθη. ἵσταμαι, ἵστη.

## ΚΛΙΣΙΣ ἐγκλιτικὴ συζυγητική.

Τῆς δὲ ἐγκλιτικῆς κλίσεως ἀρχὴ μὲν ἡ ὁριστικὴ ἔγκλισις· αἱ δὲ ἄλλαι πᾶσαι ἀπ' αὐτῆς ὧδε. Τὸ ὁριστικὸν τύπτω. παρατατικὸς ἔτυπτον. Τὸ προστακτικὸν, τύπτε. Τὸ εὐκτικὸν τύπτοιμι. Τὸ ὑποτακτικὸν ἐὰν τύπτω. Τὸ ἀπαρέμφατον, τύπτειν. μέλλων α΄. Τὸ ὁριστικὸν τύψω. Τὸ εὐκτικὸν, τύψοιμι. Τὸ ἀπαρέμφατον, τύψειν. ἀόριστος α΄. Τὸ ὁριστικὸν, ἔτυψα. Τὸ προστακτικὸν, τύψον. Τὸ εὐκτικὸν τύψαιμι. Τὸ ὑποτακτικὸν ἐὰν τύψω. Τὸ ἀπαρέμφατον, τύψαι. παρακείμενος. Τὸ ὁριστικὸν, τέτυφα. ὑπερσυντέλικος. ἐτετύφειν. Τὸ προστακτικὸν, τέτυφε. Τὸ εὐκτικὸν, τετύφοιμι. Τὸ ὑποτακτικὸν, ἐὰν τετύφω. Τὸ ἀπαρέμφατον, τετυφέναι. ἀόριστος β΄. Τὸ ὁριστικὸν ἔτυπον. Τὸ προστακτικὸν, τύπε. Τὸ εὐκτικὸν, τύποιμι. Τὸ ὑποτακτικὸν, ἐὰν τύπω. Τὸ ἀπαρέμφατον, τυπεῖν. μέλλων β΄. Τὸ ὁριστικὸν, τυπῶ. Τὸ εὐκτικὸν, τυποῖμι. Τὸ ἀπαρέμφατον, τυπεῖν.

## ΕΝΕΣΤΩΣ ΜΕΣΩΝ.

Τὸ ὁριστικὸν, τύπτομαι. παρατατικὸς ἐτυπτόμην. Τὸ προστακτικὸν, τύπτου. Τὸ εὐκτικὸν, τυπτοίμην. Τὸ ὑποτακτικὸν, ἐὰν τύπτωμαι. Τὸ ἀπαρέμφατον, τύπτεσθαι. μέλλων α΄. Τὸ ὁριστικὸν, τύψομαι. Τὸ εὐκτικὸν, τυψοίμην. Τὸ ἀπαρέμφατον, τύψεσθαι. ἀόριστος α΄. Τὸ ὁριστικὸν, ἐτυψάμην. Τὸ προστακτικὸν, τύψαι. Τὸ εὐκτικὸν, τυψαίμην. Τὸ ὑποτακτικὸν, ἐὰν τύψωμαι.

Τὸ ἀπαρέμφατον, τύψασθαι. παρακείμενος. Τὸ ὁριστικὸν, τέτυπα. ὑπερσυντέλικος. ἐτετύπειν. Τὸ προστακτικὸν, τέτυπε. Τὸ εὐκτικὸν, τετύποιμι. Τὸ ὑποτακτικὸν, ἐὰν τετύπω. Τὸ ἀπαρέμφατον, τετυπέναι. ἀόριστος β'. Τὸ ὁριστικὸν, ἐτυπόμην. Τὸ προστακτικὸν, τυποῦ. Τὸ εὐκτικὸν, τυποίμην. Τὸ ὑποτακτικὸν, ἐὰν τύπωμαι. Τὸ ἀπαρέμφατον, τυπέσθαι. μέλλων β'. Τὸ ὁριστικὸν, τυποῦμαι. Τὸ εὐκτικὸν, τυποίμην. Τὸ ἀπαρέμφατον, τυπεῖσθαι.

## ἘΝΕΣΤῺΣ ΠΑΘΗΤΙΚΩ͂Ν.

Τὸ ὁριστικὸν, τύπτομαι καὶ τὰ λοιπὰ ὡς εἴρηται. παρακείμενος. Τὸ ὁριστικὸν, τέτυμμαι. ὑπερσυντέλικος. ἐτετύμμην. Τὸ προστακτικὸν, τέτυψο. Τὸ ἀπαρέμφατον, τετύφθαι. ἀόριστος α'. Τὸ ὁριστικὸν, ἐτύφθην. Τὸ προστακτικὸν, τύφθητι. Τὸ εὐκτικὸν, τυφθείην. Τὸ ὑποτακτικὸν, ἐὰν τυφθῶ. Τὸ ἀπαρέμφατον, τυφθῆναι. ἀόριστος β'. Τὸ ὁριστικὸν, ἐτύπην. Τὸ προστακτικὸν, τύπηθι. Τὸ εὐκτικὸν, τυπείην. τὸ ὑποτακτικὸν, ἐὰν τυπῶ. Τὸ ἀπαρέμφατον, τυπῆναι. μέλλων α'. Τὸ ὁριστικὸν, τυφθήσομαι. Τὸ εὐκτικὸν, τυφθησοίμην. Τὸ ἀπαρέμφατον, τυφθήσεσθαι. μέλλων β'. Τὸ ὁριστικὸν τυπήσομαι. Τὸ εὐκτικὸν, τυπησοίμην. Τὸ ἀπαρέμφατον, τυπήσεσθαι. μετ' ὀλίγον μέλλων. Τὸ ὁριστικὸν, τετύψομαι. Τὸ εὐκτικὸν τετυψοίμην. Τὸ ἀπαρέμφατον, τετύψεσθαι.

## ἘΝΕΡΓΗΤΙΚᾺ ἘΝΕΣΤΩ͂Σ.

Τὸ ὁριστικὸν, τίθημι. παρατατικός. ἐτίθην. Τὸ προστακτικὸν, τίθετι. Τὸ εὐκτικὸν, τιθείην. Τὸ ὑποτακτικὸν, ἐὰν τιθῶ. Τὸ ἀπαρέμφατον, τιθέναι. ἀόριστος α'. Τὸ ὁριστικὸν, ἔθηκα. τὰ δὲ ἄλλα ὡς τοῦ ἔτυψα. ἀόριστος β'. Τὸ ὁριστικὸν, ἔθην. Τὸ προστακτικὸν, θέτι καὶ θές. Τὸ εὐκτικὸν, θείην. Τὸ ὑποτακτικὸν, ἐὰν θῶ. Τὸ ἀπαρέμφατον, θεῖναι.

Μέσα ἢ παθητικὰ ἐνεστῶτος. Τὸ ὁριστικὸν, τίθεμαι. παρατατικός. ἐτιθέμην. τὸ προστακτικὸν, τίθεσο ἢ τίθου. Τὸ εὐκτικὸν, τιθείμην. Τὸ ὑποτακτικὸν ἐὰν τιθῶμαι. Τὸ ἀπαρέμφατον τίθεσθαι. ἀόριστος β'. Τὸ ὁριστικὸν, ἐθέμην. Τὸ προστακτικὸν, θέσο ἢ θοῦ. Τὸ εὐκτικὸν, θείμην. Τὸ ὑποτακτικὸν, ἐὰν θῶμαι. Τὸ ἀπαρέμφατον, θέσθαι. παρακείμενος. Τὸ ὁριστικὸν, τέθειμαι. ὑπερσυντέλικος. ἐτεθείμην. Τὸ προστακτικὸν, τέθεισο. Τὸ εὐκτικὸν τεθείμην. Τὸ ὑποτακτικὸν, ἐὰν τεθῶμαι. Τὸ ἀπαρέμφατον, τεθεῖσθαι.

d · δ iii

Παρατατικοῦ α. Τὸ ὁριστικὸν, ἐτίθην. Τὸ προστακτικὸν, τίθητι. Τὸ εὐκτικὸν, τιθείην. Τὸ ὑποτακτικὸν, ἐὰν τιθῶ. Τὸ ἀπαρέμφατον, τιθέναι. Μέλλων α. Τὸ ὁριστικὸν, τιθήσομαι. Τὸ εὐκτικὸν, τιθησοίμην. Τὸ ἀπαρέμφατον, τιθήσεσθαι. Μετοχὴ μέλλοντος. Τὸ ὁριστικὸν, τιθέσομαι. Καὶ τὰ λοιπὰ ὡς ἐπὶ τοῦ τετύψομαι. Κοινὰ ἁπασῶν τῶν ἐγκλίσεων.

Κοινὸν δὲ πασῶν τῶν ἐγκλίσεων, τὸ τὴν αὔξησιν τῶν ἀρχῶν ἐξαιρεῖσθαι. Παρὰ τοῖς παρακειμένοις· ἔτυπτον, τύπτε, ἔτυψα, τύψον. τύψαιμι. ἐὰν τύψω. τύψαι. Τέτυφα εἰμί. τέτυφε. τετύφοιμι. ἐὰν τετύφω. τετυφέναι. Ὁ δὲ παρατατικὸς τῷ ἐνεστῶτι συνέζευκται. καὶ ὁ ὑπερσυντέλικος τῷ παρακειμένῳ ὥστε τοὺς ἀπὸ θατέρων τοῦ σχηματισμοὺς κοινοὺς καὶ πρὸς θάτερον ἔχειν τὴν σημασίαν. Δῆλον δὲ ὅτι καὶ ὁ μέλλοντος παρασχηματισμὸς, οὔτε προστακτικός ἐστιν οὔτε ὑποτακτικός. Σημασία δὲ τούτου ἐνεστῶτος ἀπὸ τοῦ ὁριστικοῦ. ΣΧΗματισμοὶ τῶν προστακτικῶν, εὐκτικῶν.

Γίνεται δὲ τῶν εἰς ω εὐκτικῶν, τὸ μὲν προστακτικὸν ἀπὸ τοῦ τρίτου προσώπου τῶν οἰκείων ἀρχῶν· ἔτυπτε, τύπτε. τέτυφε. τέτυφε, ὁ ἡμὶ πρῶτον, παρατατικοῦ καὶ τῶν ἐσχάτων μεταποιήσει εἰς ον γίνεται ἔτυψε. τύψον. ΕΥΚΤΙΚΩΝ.

Τὰ δὲ εὐκτικὰ ἀπὸ τῶν μετοχῶν γενικῶν μεταποιήσει τῶν ἐσχάτων εἰς μι. καὶ ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ προσλήψει τοῦ ι εἰς δίφθογγον, ἢ καὶ τροπῇ τοῦ ο εἰς οι, ἐν οἷς παραλήγουσα ὑπάρχει· τύπτοντος, τύπτοιμι. τύψαντος, τύψαιμι. τετυφότος, τετύφοιμι. τυπέντος, τυποίμι. τυποῦντος, τυποῖμι. Τῶν δὲ συνηρημένων τὰ εὐκτικὰ, καὶ τροπῇ τοῦ μι εἰς ην αἰολικῶς λέγεται· ὡς εἴρηται πρότερον· ἀξιοῖμι, ἀξιοίην. τὸ δὲ ἀξιῴην, καὶ βιῴην, δωρικόν, τροπῇ τοῦ οι εἰς ω. αἰολικὸν δὲ καὶ τὸ τύψαις. τύψειε. τύψειαν. ΤΩΝ ΥΠΟΤΑΚΤΙΚΩΝ.

Τὰ δὲ ὑποτακτικὰ, ἀπὸ τοῦ α προσώπου τῶν ἰδίων ἀρχῶν μεταποιήσει τῶν ἐσχάτων εἰς ω, ἔτυπτον, ἐὰν τύπτω. ἔτυψα, ἐὰν τύψω. τέτυφα, ἐὰν τετύφω. ΤΩΝ ΑΠΑΡΕΜΦΑΤΩΝ. Τὰ δὲ ἀπαρέμφατα, ἐνεστῶτος μὲν ὄντος καὶ μέλλοντος α, ἀπὸ τοῦ γ προσώπου τῆς ἀρχῆς προσθέσει τοῦ ν. τύπτει. τύπτειν. τύψει. τύψειν. καὶ παρακειμένου ἀπὸ τοῦ αὐτοῦ προσθέσει τῆς ναι. τέτυφε, τετυφέναι. Ἀορίστου δὲ πρώτου ἀπὸ τοῦ α προσθέσει τοῦ ι. ἔτυψα. τύψαι. καὶ δευτέρου δὲ ἀπὸ τοῦ αὐτοῦ μεταποιή

σει τῆς ἐσχάτης εἰς εν· ἔτυπον, τύπε· ὁ αὐτὸς δὲ χαρακτὴρ καὶ τοῦ δευτέρου μέλλοντος· μεταποιήσει τῆς ἐσχάτης εἰς εν· τυπῶ, τυπεῖ. Τῶν μέσων.

Τὰ δὲ μέσα προστακτικά, τοῦ μὲν ἐνεστῶτος καὶ παρατατικοῦ καὶ δευτέρου ἀορίστου, ἀπὸ τοῦ β' τῆς ἀρχῆς· ἐτύπτου, τύπτου· ἐτύπου, τυποῦ. Τοῦ δὲ πρώτου ἀορίστου, ἀπὸ τοῦ α' ἀφαιρέσει τῆς μην καὶ προσθέσει τοῦ ι· ἐτυψάμην, τύψαι· ἢ ὅπως ἂν ἄλλως ἐντεῦθεν γίνοιτο οἰκειότερον. Τοῦ δὲ παρακειμένου, ὁμοίως τῶν ἐνεργητικῶν.

ΕΥΚΤΙΚΩΝ. Τὰ δὲ εὐκτικά, ἀπὸ τοῦ α' τῆς ἀρχῆς, τροπῇ τῆς ἐσχάτης εἰς μην, καὶ πρὸ τῆς μην τοῦ ι, εἰς δίφθογγον προσλαμβανομένου· τύπτομαι, τυπτοίμην· ἐτυψάμην, τυψαίμην· πλὴν τοῦ παρακειμένου· ὅδε γὰρ ὁμοίως τῶν ἐνεργητικῶν.

ΥΠΟΤΑΚΤΙΚΩΝ. Τὰ δὲ ὑποτακτικά, ἀπὸ τοῦ α' εἰς μαι τῆς παραληγούσης τῆς ἀρχῆς φωνήεντος μὲν κλιτικοῦ μεταβαλλομένου εἰς ω· τύπτομαι, ἐὰν τύπτωμαι· ἐτυψάμην, ἐὰν τύψωμαι.

ΑΠΑΡΕΜΦΑΤΩΝ. Τὰ δὲ ἀπαρέμφατα, ἀπὸ τοῦ γ' τῆς ἀρχῆς μεταποιήσει τῆς ἐσχάτης εἰς σθαι· τύπτεται, τύπτεσθαι· ἐτύψατο, τύψασθαι· πλὴν τοῦ παρακειμένου· ὅδε γὰρ ὁμοίως τῶν ἐνεργητικῶν.

ΠΑΘΗΤΙΚΩΝ ΠΡΟΣΤΑΚΤΙΚΩΝ.

Τὰ δὲ παθητικά, τοῦ μὲν ἐνεστῶτος ὁμοίως καὶ τῶν μέσων. τῶν δὲ ἀορίστων ἀμφοτέρων, ἀπὸ τοῦ γ' προσλήψει τοῦ θι· ἐτύπη, τύπηθι· ἐφ' ὧν εἰ μὴν τὸ αὐτὸ δασὺ εἴρηται, οὐ τὸ θ, ἀλλὰ τὸ τ προσλαμβάνεσθαι συμβαίνει· ἐτύφθη, τύφθητι, διὰ τὸ δύσφωνον. Τοῦ δὲ ὑπερσυντελικοῦ ἀπὸ τοῦ δευτέρου, ἐτέτυψο.

ΕΥΚΤΙΚΩΝ. Τὰ δὲ εὐκτικὰ ἐνεστῶτος μὲν καὶ μέλλοντος ὁμοίως καὶ τῶν μέσων. παρακειμένου δὲ οὐκ ἔστιν ἐὰν σύμφωνον ᾖ πρὸ τοῦ μ. μὴ ὄντος δὲ καὶ διφθόγγου μηδεμιᾶς κωλυούσης, προσλήψει τοῦ ι εἰς ἀποδιφθόγγωσιν τοῦ παραλήγοντος φωνήεντος, τὸ εὐκτικὸν γίνεται· πεποιήμην· μεμνήμην. Ἀορίστου δὲ ἀπὸ τῆς μετοχικῆς γενικῆς μεταποιήσει τῆς ληγούσης εἰς ην, καὶ ἀφαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταλήψει τοῦ ι εἰς δίφθογγον· τυφθέντος, τυφθείην.

ΥΠΟΤΑΚΤΙΚΩΝ. Τὰ δὲ ὑποτακτικά, ἐνεστῶτος μὲν τοῖς μέσοις ὁμοίως· ἀορίστων δὲ ἀπὸ τοῦ γ' τῆς ἀρχῆς, μεταποιήσει τοῦ ληκτικοῦ φωνήεντος εἰς ω· ἐτύφθη, ἐὰν τυφθῶ. καὶ παρακειμένου δὲ ὑποτακτικὸν γίνοιτ' ἄν, ἐὰν τὸ μ καθαρὸν ἔχῃ ὡς εἴρηται καὶ δίφθογγον

κας οὐ κωλύει. ἐκτροπῇ τοῦ παραλήγοντος φωνήεντος εἰς ω. πεποίημαι, πεποιῶμαι. μέμνημαι, μεμνῶμαι. ἈΠΑΡΕΜΦΑΤΩΝ. Τὰ δὲ ἀπαρέμφατα ἐνεστῶτος καὶ μέλλοντος ὁμοίως καὶ τῶν μέσων. Καὶ παρακειμένου ὁμοίως τῷ σχηματισμῷ. πλὴν ὅσων τὸ σ οὐ προσλαμβάνει. τέτυπται, τετύφθαι. μεταβολῇ δηλονότι καὶ τῶν ἡγουμένων ψιλῶν εἰς δασύ. καθόλου γὰρ τὰ μὲν ψιλὰ ἡγεῖται ψιλῶν, τὰ δὲ δασέα, δασέων. Ἀορίστων δὲ ἀπὸ τοῦ α´ τῆς ἀρχῆς προσθέσει τοῦ αι τελικοῦ. ἐτύφθην, τυφθῆναι.

## ΤΩ͂Ν ΕἸΣ ΜΙ ἐνεργητικῶν προστακτικῶν.

Τῶν δὲ εἰς μι, τὰ μὲν ἐνεργητικὰ προστακτικὰ, ἀπὸ τῆς μετοχῆς γενικῆς. ἀφαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς θι. τιθέντος, τίθετι. ἱστάντος, ἵσταθι. διδόντος, δίδοθι. ἢ ἀπὸ τοῦ β´ τῶν ὁριστικῶν, τροπῇ τοῦ τῆς ληγούσης φωνήεντος εἰς τὸ παραληκτικὸν τῆς ἀρχῆς. θέω, ἔθης, θές. δῶ, ἔδως, δός.

## ὙΠΟΤΑΚΤΙΚΩ͂Ν.

Τὰ δὲ ὑποτακτικὰ, ὁμοίως τοῖς τῶν παθητικῶν ἀορίστοις τῶν εἰς ω. ἐτέθη, ἐὰν τιθῶ. τὸ δὲ δῶσιν ἐπὶ τοῦ τρίτου, ἢ δώησι, ποιητικά. πρὸς παράδειγμα τοῦ τρίτου τῶν ἑνικῶν. τοιαῦτα δὲ καὶ τὰ θείω. στήω. δώω. μονοσύλλαβα ὄντα καὶ περισπώμενα τὰ θῶ. στῶ. δῶ. δισύλλαβα καὶ βαρύτονα ποιηταὶ ποιοῦσι. παρεντιθέντες οἰκείας τὰς τοιαύτας τῶν συλλαβῶν. ἑκάστῳ γὰρ τὸ ἴδιον ἀρχικὸν αὐξάνοντες προστιθέασι:~

## ἘΥΚΤΙΚΩΝ.

Καὶ τὰ εὐκτικὰ δὲ ὁμοίως, τοῖς τῶν αὐτῶν ὑποτακτικοῖς.

## ἈΠΑΡΕΜΦΑΤΩΝ.

Τὰ δὲ ἀπαρέμφατα, ἐνεστῶτος μὲν ἀπὸ τῆς μετοχῆς γενικῆς καὶ ταῦτα. ἀφαιρέσει τοῦ κλιτικοῦ ν. καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς ναι. τιθέντος, τιθέναι. διδόντος, διδόναι. τὸ δὲ διδοῦναι κατὰ ποιητικὴν ἄδειαν.

## ΠΡΟΣΤΑΚΤΙΚΩΝ ἘΝΕΡΓΗΤΙΚΩ͂Ν

Τὰ δὲ μέσα τε καὶ παθητικὰ, ὁμοίως καὶ ἐπὶ τῶν εἰς ω.

Τόποι δὲ σχηματιστικοὶ κλίσεως προσωπικῆς τῆς ἐγκλίσεως τούτων, τοιοῦτοι.

Τῶν προστακτικῶν ἐνεργητικῶν. τὸ τρίτον τῶν ἑνικῶν ἀπὸ τοῦ

ἰδίου δευτέρου προσθέσει τοῦ τω· τύπτε, τυπτέτω. πλὴν τῶν εἰς θι· ταῦτα γὰρ οὐ προσθέσει, ἀλλὰ μεταποιήσει τῆς ἐσχάτης, τὸν αὐτὸν ἔχει παρασχηματισμόν· τίθετι, τιθέτω· τύφθητι, τυφθήτω. Τοῦ δὲ α' ἀορίστου καὶ μεταποιήσει τοῦ ι τῆς ληγούσης ὑποτακτικοῦ εἰς α πανταχοῦ· τύψον· τυψάτω. Τῶν δὲ δυϊκῶν τὸ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· προσλήψει τοῦ τον· τύπτε, τύπτετον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου προσλήψει τοῦ ν, τύπτε, τυπτέτω· τυπτέτων.

Τῶν πληθυντικῶν, τὸ μὲν δεύτερον, ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν· προσλήψει τῆς τε· τύπτε, τύπτετε· τύψον, τύψατε· ἢ μεταποιήσει ὡς εἴρηται. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ τρίτου, προσθέσει τῆς σαν· τυπτέτω, τυπτέτωσαν. Τὸ δὲ τυπτόντων, ἀντὶ τοῦ τυπτέτωσαν, κατὰ συγκοπὴν ἔοικε γεγονέναι, καὶ μεταβολὴν τῆς παραληγούσης εἰς μακράν· ὅτι τὰ τρίτα τῶν πληθυντικῶν ἰσοσυλλαβοῦντα τῷ τ̄, μακρᾷ ὁπωσοῦν παραλήγει· ἐξαιρείσθω τὸ ἰωνικὸν τετύφαται· ὡσαύτως δὲ καὶ τὸ τυπτέσθων· ἀντὶ τοῦ τυπτέσθωσαν ὁ σχηματισμὸς ἂν εἴη:~

## ΜΕΣΩΝ ΚΑΙ ΠΑΘΗΤΙΚΩΝ.

ΤΩΝ δὲ μέσων τε καὶ παθητικῶν, τὸ μὲν τρίτον τῶν ἑνικῶν ἐξαιρέσει τοῦ διφθόγγου ὑποτακτικοῦ φωνήεντος· καὶ τροπῇ τοῦ ο εἰς ε, ἐὰν ὑπάρχῃ· καὶ προσλήψει τοῦ σθω· τύπτου, τυπτέσθω· πλὴν τῶν εἰς θι ἀορίστων· ταῦτα γὰρ διόλου τοῖς εἰς θι ἐνεργητικοῖς ὁμοιοῦνται. Τῶν δυϊκῶν, τὸ β' ἀπὸ τοῦ γ' τῶν ἑνικῶν μεταποιήσει τῆς ἐσχάτης εἰς σθον· τυπτέσθω, τύπτεσθον· καὶ τὸ τρίτον δὲ ἀπὸ τοῦ αὐτοῦ προσθέσει τοῦ ν· τυπτέσθω, τυπτέσθων. Τῶν δὲ πληθυντικῶν· τὸ μὲν β', ἀπὸ τοῦ β' τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης, εἰς σθε· τύπτεσθον, τύπτεσθε. Τὸ δὲ τρίτον ἀπὸ τοῦ γ'· προσθέσει τῆς σαν, τυπτέσθω· τυπτέσθωσαν· τὸ τυπτέσθων ἀντὶ τοῦ τυπτέσθωσαν· ὡς περὶ τοῦ τυπτόντων εἰρήκαμεν:~

## ΕΥΚΤΙΚΩΝ ΜΙ.

ΤΩΝ δὲ εὐκτικῶν ληγόντων μὲν εἰς μι· τὸ β' τῶν ἑνικῶν ἀπὸ τοῦ α' ἐξαιρέσει τοῦ ι καὶ τροπῇ τοῦ μ εἰς σ· τύπτοιμι· τύπτοις. Τὸ δὲ τρίτον ἀπὸ τοῦ β' ἐκβολῇ τοῦ σ· τύπτοις, τύπτοι. Τῶν δὲ δυϊκῶν τὸ μὲν β' ἀπὸ τοῦ β' τῶν ἑνικῶν μεταβολῇ τοῦ σ εἰς τ καὶ προσλήψει τῆς

ον· τύπτοις· τύπτοιτον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ ἰδίου β΄ μεταποιήσει τῆς ἐσχάτης εἰς την· τύπτοιτον, τυπτοίτην. Τῶν δὲ πληθυντικῶν τὸ μὲν πρῶτον, ἀπὸ τοῦ α΄ τῶν ἑνικῶν· μεταποιήσει τῆς ἐσχάτης εἰς μεν· τύπτοιμι, τύπτοιμεν.

Τὸ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης εἰς τε· τύπτοιτον, τύπτοιτε. Τὸ δὲ τρίτον, ἀπὸ τοῦ ἰδίου α΄ ἐξαιρέσει τοῦ κλιτικοῦ μ· τύπτοιμι, τύπτοιεν. Ληγόντων δὲ εἰς ην, τὸ μὲν β΄ τῶν ἑνικῶν, ἀπὸ τοῦ α΄ τροπῇ τοῦ ληκτικοῦ ν εἰς σ· τυφθείην· τυφθείης. τὰ δὲ ἄλλα πάντα, ὁμοίως τοῖς εἰς μι· πλὴν ὅσον τὸ τρίτον τῶν πληθυντικῶν καὶ εἰς σαν σχηματίζεται· τυφθείησαν. ὅτε εἰς εν δέ, ἀποβάλλοντα τὸ πρὸ τέλους η· τυφθεῖεν. Ληγόντων δὲ εἰς μην, τὸ μὲν β΄ τῶν ἑνικῶν ἀπὸ τοῦ α΄ μεταποιήσει τῆς ἐσχάτης εἰς ο· τυπτοίμην, τύπτοιο. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, παρενθέσει τοῦ τ· τύπτοιο, τύπτοιτο. τῶν δυϊκῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ α΄ τῶν ἑνικῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς μεθον· τυπτοίμην, τυπτοίμεθον. Τὸ δὲ β΄ ἀπὸ τοῦ β΄, μεταποιήσει τῆς ἐσχάτης εἰς σθον· τύπτοιο, τύπτοισθον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ ἰδίου β΄ μεταποιήσει τῆς ἐσχάτης εἰς σθην· τύπτοισθον, τυπτοίσθην. Τῶν δὲ πληθυντικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ α΄ τῶν δυϊκῶν· μεταποιήσει τῆς ἐσχάτης εἰς θα· τυπτοίμεθον, τυπτοίμεθα. Τὸ δὲ β΄ ἀπὸ τοῦ β΄ μεταποιήσει τῆς ἐσχάτης εἰς σθε· τύπτοισθον, τύπτοισθε. Τὸ τρίτον, ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν· παρενθέσει τοῦ ν· τύπτοιτο, τύπτοιντο.

## ΥΠΟΤΑΤΚΤΙΚΩΝ.

ΤΩΝ ΔΕ ὑποτακτικῶν πάντα, ὁμοίως τοῖς τῶν ὁριστικῶν ἐνεστῶσι· πλὴν ὅσον ἔνθα μὲν ἐκεῖνα τὸ ε ἐκλιτικὸν ἔχει, ἐνταῦθα τὸ η· τύπτεις, ἐὰν τύπτῃς· τύπτεται, ἐὰν τύπτηται. ἔνθα δὲ ἐκεῖ τὸ ο, ἐνταῦθα τὸ ω· τύπτομαι, ἐὰν τύπτωμαι. πλὴν τῶν τῆς πέμπτης παραληγόντων τῷ ω· δίδωμι· ἐν τούτοις γὰρ ἀεὶ τὸ αὐτὸ φυλάττεται· ἐὰν διδῶ, διδῷς διδῷ. Ανάγεται δὲ εἰς τὴν πέμπτην συζυγίαν καὶ τὸ εἰμὶ ὑπαρκτικὸν ῥῆμα· καὶ ὅλως οὐδὲν ἂν εἴη ἔξω τῶν εἰρημένων. Τὰ δὲ τῆς πέμπτης παραλήγοντα τῷ υ· οἷον ζεύγνυμι· παρατατικὸν μόνον εὑρίσκεται ἔχοντα· καὶ ἀόριστον δεύτερον ἔφυν· ἔδυν. περὶ δὲ τὰ ἄλλα τὰ περὶ τοὺς χρόνους ἐοίκει τοῖς συζύγοις ὁμοίως· οὔτε μὴν ἔγκλισιν ὑποτακτικὴν ἔχει, ἡ δὲ εὐκτικὴν εἰ μή τις

ζευγνύη λέγοι, καὶ ζευγνύμην διφθόγγῳ παραληγομένῃ χρῶμαι τῇ η· οἷον, καὶ τὸ μεμνήμην· καὶ πεποιημένων, καὶ τεθειμένην λέγειν ἂν ταύτῃ ὀρθῇ:~

## ΠΕΡΙ ΤΩΝ ΣΥΝΗΡΗΜΕΝΩΝ.

ΟΣΑ δὲ τῶν ῥημάτων λήγοντα εἰς ω καθαρὸν τῷ α ἢ τῷ ε ἢ τῷ ο· παραλήγεται· ὅτι μὲν συναιρεῖται ταῦτα εἴρηται πρότερον· ὅτι δὲ περὶ τὸν ἐνεστῶτα καὶ παρατατικὸν μόνον συμβαίνει. Κοινὸν μὲν οὖν τὸ, ἡγουμένου ὁτινοσοῦν τῶν α· ε· ο· ἑπομένου δὲ τοῦ ω, ἀεὶ τὴν συναίρεσιν εἰς ω γίνεσθαι. Ἰδίᾳ δὲ τὸ, ἡγουμένου τοῦ α, ἑπομένου δὲ τοῦ ο, εἴτε καθ᾽ αὑτὸ εἴτε ἐν διφθόγγῳ, ἀεὶ τὴν συναίρεσιν γίνεσθαι εἰς ω· οἷον βοάομεν· βοῶμεν· βοάου· βοῶ· βοάοιμι· βοῷμι· ἑπομένου δὲ τοῦ ε ἢ τοῦ η, εἴτε ἐν διφθόγγῳ, εἴτε καθ᾽ αὑτὸ, ἀεὶ εἰς α· βοάεις· βοᾷς· βόαε· βόα· βοάῃ· βοᾷ· ὅθεν δὴ καὶ τὰ ὑποτακτικὰ ταῦτα. Τὸ ὅλως τὰ ἐκ συναιρέσεως συμβαίνειν μὴ ὑποκεῖσθαι τοῖς λεχθεῖσι περὶ τῶν ἀπαθῶν. Ἐπὶ ἡγουμένου τοῦ ε, ἑπομένου μὲν τοῦ ο, εἴτε καθ᾽ αὑτὸ, εἴτε ὡς ἐν διφθόγγῳ τῇ ου, ἀεὶ ἡ συναίρεσις εἰς ου· ποιέομεν· ποιοῦμεν· ποιέου· ποιοῦ. Ἑπομένου δὲ τοῦ ε, εἴτε καθ᾽ αὑτὸ, εἴτε ἐν διφθόγγῳ, ἀεὶ ἡ συναίρεσις εἰς ει· ποιέεις· ποιεῖς· ποίεε· ποίει. Ἑπομένου δὲ η, εἴτε καθ᾽ αὑτὸ, εἴτε ἐν διφθόγγῳ, ἡ συναίρεσις εἰς η· ἐὰν ποιέῃς· ἐὰν ποιῇς· ἐὰν ποιέηται· ἐὰν ποιῆται. Ἑπομένου δὲ τοῦ ο, ὡς ἐν διφθόγγῳ τῇ οι, ἡ συναίρεσις εἰς οι· ποιέοιμι· ποιοῖμι. Τὰ μέντοι δισύλλαβα ὄντα, τὸ πρῶτον οὐ συναιρεῖται πρόσωπον· πλέω· νέω· ῥέω· πλεῖς δὲ καὶ πλεῖ, καὶ τὰ λοιπὰ ὁμοίως. Ἐπὶ ἡγουμένου τοῦ ο, ἑπομένου μὲν τοῦ ο, εἴτε καθ᾽ αὑτὸ, εἴτε ἐν διφθόγγῳ, πλὴν τῆς οι, ἡ συναίρεσις εἰς ου· χρυσόομεν· χρυσοῦμεν· ὡσαύτως δὲ, καὶ ἑπομένου τοῦ ε· χρυσόε· χρύσου· ἑπομένου δὲ τοῦ η, εἰς ω· ἢ εἰς ου· ἐὰν χρυσόηται· ἐὰν χρυσῶται· ἢ χρυσοῦται. Ἑπομένου δὲ τοῦ ι ὡς ἐν διφθόγγῳ δηλονότι· ἡ συναίρεσις εἰς οι· χρυσόεις· χρυσοῖς· ἐὰν χρυσόῃς· πλὴν τῆς τοῦ ἀπαρεμφάτου· χρυσόειν γὰρ χρυσοῦν.

Κοινὸν δὲ τούτων ἁπάντων, τὸ τὰ εὐκτικὰ προφέρεσθαι δὴ, καὶ μεταπίπτειν ἐκ τῶν εἰς μι εἰς ην ἔθει αἰολέων· ποιοῖμι, ποιοίην· βοῷμι, βοῴην· καὶ ἔτι εἰς τὴν τῶν εἰς ην ληγόντων εὐκτικῶν κλίσιν μεταβαίνειν δοκεῖ:~

## ΠΕΡΙ ΡΗΜΑΤΩΝ ΕΤΕΡΟΚΛΙΤΩΝ.

ΩΣΠΕΡ δὲ ὀνόματα τὰ μὲν, ἑτερόκλιτα· τὰ δὲ, ἄκλιτα διὰ πάθος τι

καὶ ἑτέρως. οὕτω καὶ ῥήματα ἑτερόκλιτα ἂν λέγοιτο· πέττω, πέψω, τίκτω· τέξω· πίπτω, πεσοῦμαι, ἁλίσκω, ἁλώσω, ἔρχομαι, ἐλεύσομαι· πολλὰ δὲ τὰ τοιαῦτα· καὶ τὴν χρῆσιν δὲ παρατηρητέον ἐνταῦθα. Ὡς καθόλου μέντοι εἰπεῖν τὰ εἰς δύο σύμφωνα διάφορα ἐκ παραγωγῆς λήγοντα· κλίσιν οὐδὲ μίαν ἔχει οἰκείαν· σχηματισμὸς δὲ τῶν τοιούτων τῷ τ̄ ἢ τῷ συγγενεῖ σ̄· πλὴν τῶν τετραζύγων· ῥέπω, ῥίπτω· τίκω, τίκτω· ἔχω, ἴσχω· ἕπω, ἴσπω· πέτω, πίπτω· ἕστακα, στάσκω· βέβοκα, βόσκω· τετέλεκα, τελέσκω· βούλεται δὲ προσλαμβάνειν ἐκ σχηματισμοῦ σύμφωνον ἢ τοῦ δευτέρου ἢ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου· διὸ καὶ ἐν τισὶ παροξυτόνοις ἐκ τοῦ μένω ἐσχημάτισται μίμνω, ὡς τοῦ μὲν σ̄ ἀσυντάκτου ὄντος· τοῦ δὲ ν̄, ἀσυμβάτως μὲν τῷ αὐτοῦ ἔχοντος· οἰκείως δὲ μεταβάλλοντος εἰς τὸ μ̄· διαφερέτω δέ σε μηδέν, κἂν εἴ τις μὴ ἐκ μεταβολῆς εἶναι τὸ μ̄ ἀξιοῖ, ἀλλ' ἀπὸ τοῦ πρώτου μεταλαμβάνεσθαι· μέμνημαι, μίμνω· καλέθω δὲ πλεοναστικά. ΣΥΝηρημένα. Ἄκλιτα δὲ τὰ συνηρημένα πάντα· ποιῶ· βοῶ· ὡς πεποιθότα. ἘΦΕτικά. Καὶ μὴν δὴ καὶ ἀπαθῆ ἄκλιτα τὰ ἐφετικὰ πάντα· μαθητιῶ, τομῶ, βασιλειῶ, πολεμησείω, ὀψείω· τούτοις δὲ μὴ συντάττειν οἰκεῖον καὶ ὅσα τῶν ῥημάτων, τύπον μὲν ἔχει τρίτου προσώπου· ἔστι δὲ οὐδενός· ὅθεν δὴ καὶ ἀπρόσωπα ὀνομάζεται· οἷον, τὸ δεῖ, καὶ χρή, καὶ δοκεῖ τῷ συμβαίνει· καὶ μέλλει, καὶ ἔξεστι καὶ ὅλως τὰ μηδὲν ἐμφαίνοντα πρόσωπον· τούτων δὲ τὰ μὲν ἐνεργητικοῦ προφορὰν ἔχοντα· οὐ πολλὰ δὲ τὸν ἀριθμόν. Τὰ δὲ παθητικοῦ πλεῖστα· ὁπόσα δὴ τῷ τὰ προσωπικὰ τῶν παθητικῶν· τὸ δὲ ἐνικὸν ἑκάστου τρίτον τῶν χρόνων, εἰς ἓν πρόσωπον μεταλαμβανόμενον σημασίαν, οὔτε πρῶτον, οὔτε δεύτερον ἔχει πρόσωπον· ταύτῃ ἂν θεωροῖτο· οἷον, λέγεται· εἴρηται· γέγραπται· εἰρήσθω· πεποιήσθω.

## ΠΕΡῚ ΜΕΤΟΧΩ͂Ν.

ΤΩ͂Ν δὲ μετοχῶν οἱ σχηματισμοὶ ἀφ' ἑκάστων γίνονται χρόνων πλὴν τοῦ παρατατικοῦ καὶ ὑπερσυντελικοῦ· οὗτοι δὲ συνεζευγμένοι ὡς εἴρηται ὄντες, ὁ μὲν, τῷ ἐνεστῶτι· ὁ δὲ, τῷ παρακειμένῳ· κοινὰς δὴ ἔχουσι καὶ τὰς παρ' αὐτῶν μετοχάς. Κοινὸν δὲ κἀνταῦθα τῶν παρῳχημέ-

νων ἁπάντων ἡ τῆς αὐξήσεως ἀποβολὴ πλὴν τοῦ παρακειμένου:~

## ἘΝΕΡΓΗΤΙΚΑὶ· ἘΝΕΣΤῶΣ, ΜΈΛΛΩΝ.

ΓΊΝΕΤΑΙ Δὲ ὧν τῶν εἰς ω ἐνεργητικῶν, ἀπὸ μὲν τοῦ πρώτου τῶν ὁριστικῶν ἐνεστῶτος καὶ μέλλοντος ἑκατέρου μετοχὴ· προσλήψει τοῦ ν· τύπτω, ὁ τύπτων· τύψω, ὁ τύψων. Θηλυκὸν δὲ ἀπὸ τῆς τοῦ ἀρσενικοῦ εὐθείας· τροπῇ τῆς ληγούσης ω, εἰς ου. τοῦ ν, εἰς σ· καὶ προσλήψει τοῦ α ληκτικοῦ· ὁ τύπτων, ἡ τύπτουσα· ὁ τύψων, ἡ τύψουσα· ὁ λυπῶν ἡ λυποῦσα. Τὸ δὲ οὐδέτερον ἀπὸ τῆς γενικῆς ἀποκοπῇ τῆς ἐσχάτης τοῦ τύπτοντος· τὸ τύπτον. τοῦ τύψοντος, τὸ τύψον. τοῦ τυποῦντος, τὸ τυποῦν. Ἔστι δὲ τούτων καὶ τὰ τοῦ β' ἀορίστου· τὸ μὲν γὰρ ἀρσενικόν, μεταβολῇ τῆς τελευταίας τῆς ἐσχάτης τοῦ ο εἰς ω· ἔτυπον, ὁ τυπών· τὸ δὲ θηλυκόν, καὶ οὐδέτερον, ὡς εἴρηται. Ἀπὸ δὲ τοῦ πρώτου ἀορίστου, τὸ μὲν ἀρσενικὸν προσλήψει τοῦ σ· ἔτυψα, ὁ τύψας· τὸ δὲ θηλυκὸν καὶ οὐδέτερον, ὡς εἴρηται· πλὴν ὅσον ἐνταῦθα ἡ παραλήγουσα μηκύνεται· μηδενὸς ἔξωθεν προσλαμβανομένου φωνήεντος· ὁ τύψας, ἡ τύψασα, τὸ τύψαν. Ἀπὸ δὲ τοῦ παρακειμένου τὸ μὲν ἀρσενικόν, μεταβολῇ τοῦ τελικοῦ α, εἰς ω. καὶ προσλήψει τοῦ σ· τέτυφα, ὁ τετυφώς. Τὸ δὲ θηλυκόν, ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, ἀποκοπῇ τῆς ἐσχάτης, καὶ μεταλήψει τοῦ α. καὶ ἐξαιρέσει μὲν τοῦ παραλήγοντος ο· μεταλήψει δὲ τῆς διφθόγγου υι· τοῦ τετυφότος, ἡ τετυφυῖα. Καὶ τὸ οὐδέτερον δὲ αὖ τόθεν ἐξαιρέσει τῆς τος. Τὸ δὲ γεγαὼς καὶ βεβαὼς, καὶ ἑστῶσα καὶ τὰ τοιαῦτα ποιητῶν· συγκοπὴν γὰρ ποιοῦντες μετασχηματίζουσι καὶ τὸ θηλυκὸν πρὸς τὸ πάθος· ἀπὸ μὲν γὰρ τοῦ γέγαα, ὅθεν τὸ γεγαυῖα· τὸ γεγώς· ὅθεν τὸ ἑστῶσα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· οἷς δὴ ἠκολούθησε καὶ τό, τεθνεῶσα· καίτοι ἀπὸ τοῦ τέθνεκα ἀπαθοῦς ὄν:~

## ΜΈΣΑ καὶ παθητικά.

ἘΠΙ δὲ τῶν μέσων καὶ παθητικῶν, καθόλου τοῖς μὲν ἔχουσι τὸ μ κλιτικόν, μεταποιήσει τῆς ἐσχάτης εἰς μενος, ἡ τοῦ ἀρσενικοῦ μετοχὴ γίνεται· τύπτομαι, ὁ τυπτόμενος· ἐτυψάμην ὁ τυψάμενος. Τοῖς δὲ μὴ ἔχουσιν ἀλλὰ εἰς ην λήγουσι, μεταβολῇ τῆς ἐσχάτης εἰς εις, ὁ σχηματισμός· ἐτύπην· ὁ τυπείς. Τὸ θηλυκὸν καὶ οὐδέτερον, ἔνθα μὲν τὸ μ κλιτικὸν ἀπὸ τοῦ ἀρσενικοῦ μεταποιήσει τῆς ἐσχάτης εἰς η καὶ

νου· ὁ τυπτόμενος, ἡ τυπτομένη, τὸ τυπτόμενον· ἔνθα δὲ μή, ὁμοίως καὶ ἐπὶ τῶν ἐνεργητικῶν, ἀπολλυμένου τοῦ λήγοντος αὐτοῦ φωνήεντος, ὡς ἔχει ὁ τυφθείς· ἡ τυφθεῖσα· τὸ τυφθέν· Τά γε μὴν τοῦ μέσου παρακειμένου ὁμοίως παντάπασι τοῖς τοῦ ἐνεργητικοῦ· τέτυπα, ὁ τετυπὼς τοῦ τετυπότος, ἡ τετυπυῖα, τὸ τετυπός:~

## ΜΕΣΑ ΚΑΙ ΠΑΘΗΤΙΚΑ.

ΤΩΝ ΔΕ εἰς μι τὰ μὲν παθητικὰ καὶ μέσα ὡς εἴρηται, τίθεμαι· ὁ τιθέμενος· ἐθέμην, ὁ θέμενος· ἐτέθην ὁ τεθείς. Τὰ δ' ἐνεργητικά, ἀορίστοις μὲν πρώτοις, ὁμοίως τοῖς τῶν εἰς ω ληγόντων σχηματιστέον. Δευτέροις δὲ καὶ παρατατικοῖς, εἰς σ μὲν ὀξυτονούμενον πᾶσιν ὁ σχηματισμός· οὐκ εἰς συλλαβὴν δὲ τὴν αὐτήν, ἀλλ' ἢ ἀναλόγως· τὸ γὰρ ἴδιον ἑκάστοις ἀρχικὸν φωνῆεν ἐπαναλαμβάνει· τὸ δὲ ἤτοι δίχρονον ἢ βραχύ, τὸ δίχρονον μὲν ὄν, μακροκαταληκτεῖται· βραχὺ δὲ ἀποδιφθογγοῦται, προσλήψει τοῦ ι ἢ τοῦ υ· ἵστην, ὁ ἱστάς· ἐζεύγνυν· ὁ ζευγνύς· ἐδίδων, ὁ διδούς· ἐτίθην ὁ τιθείς. Τὸ δὲ θηλυκὸν καὶ οὐδέτερον ὁμοίως τοῖς ἀπὸ τῶν εἰς ην παθητικοῖς· ὁ τιθείς· ἡ τιθεῖσα· τοῦ τιθέντος· τὸ τιθέν· ὁ ἱστάς, ἡ ἱστᾶσα, τοῦ ἱστάντος· τὸ ἱστάν· ὁ διδούς, ἡ διδοῦσα· τοῦ διδόντος· τὸ διδόν· ὁ ζευγνύς· ἡ ζευγνῦσα· τοῦ ζευγνύντος· τὸ ζευγνύν:~

## ΑΠΡΟΣΩΠΟΙ ΜΕΤΟΧΑΙ.

ΕΙΣΙ ΔΕ καὶ τῶν ἀπροσώπων μετοχαὶ ἀπρόσωποι· καὶ αὗται δηλονότι τῷ γένει οὐδέτεραι· δέον· προσῆκον· δοκοῦν· καὶ δόξαν· συμβάν· ἀκουσθέν· γνωσθέν· ἀποδειχθέν· καὶ τὰ τοιαῦτα· ἃ δὲ πῶς σχηματιστέα οὐκ ἄδηλον· κατὰ ταῦτα γὰρ τοῖς τῶν προσωπικῶν οὐδετέροις· αἱ δὲ τῶν προσωπικῶν ἅπασαι τρίτου προσώπου εἰσίν· ὡς καὶ τὰ ὀνόματα:~

## ΠΕΡΙ ΑΡΘΡΩΝ.

ΤΑ ΔΕ ἄρθρα διῄρηται μὲν πρότερον εἰς τὰ προτακτικὰ καὶ ὑποτακτικά· κωλύει δὲ οὐδὲν καὶ τῷ ὑποτακτικῷ ὅσα συνάπτονται, τὸ προτακτικὸν τοῦ, καὶ τῷ, καὶ τόν, προφέρειν· ὅτου ἐπὶ γενικῆς, καὶ ὅτῳ ἐπὶ δοτικῆς ἑνικοῦ· καὶ ὅτων ἐπὶ γενικῆς πληθυντικῶν· ὃν δὲ τρόπον καὶ τὸ τὶς ὄνομα προστιθέμενον κλίνεται· σχηματιζόμενον ἀεὶ τῇ τοῦ ἄρθρου πτώσει· οἷον, ὅστις οὗτινος· ᾧτινι· καὶ πάλ-

λαὼς αὐτῶς· τοιοῦτο δὲ καὶ τὰ ἄλλα. Λαμβάνεται δὲ τὰ ἄρθρα ἀντὶ ἀντωνυμιῶν· ὁ ἀντὶ τοῦ οὗτος· καὶ τὸ ἀντὶ τοῦ τοῦτον. Ταῦτα δὲ τὸν παρεμφαίνει καὶ ὑπὸ δὲ συνδέσμων ἐπιπλέκονται· οἷον. ὁ δέ· ἡ δέ· τὸ δέ· ἀντωνυμικὰ δὲ ταῦτα. Τὰ δὲ προτακτικὰ καὶ προτασσόμενα τῶν ἐπιρρημάτων κατὰ πᾶσαν πτῶσιν καὶ ἀριθμὸν ἀντὶ ἐπιθέτων λαμβάνεται ὀνομάτων· φυλαττομένου τοῦ τῶν ἐπιρρημάτων ἀκλίτου· ὁ πάλαι, τοῦ πάλαι· ἡ πάλαι, τῆς πάλαι· ὁ πάλαι· ὁ πάνυ· ὁ ἄνω:~

## ΠΕΡΙ ΤΩΝ ΑΝΤΩΝΥΜΙΩΝ.

ΤΩΝ δὲ ἀντωνυμιῶν· ἡ ἐγὼ τὸν γε προσλαβοῦσα σύνδεσμον, ἔγωγε ὑβρισμῷ τοῦ τόνου προφέρεται· καὶ οὐ μόνον μείωσιν τινὰ ταύτῃ διὰ τὸ τοῦ συνδέσμου μειωτικὸν δηλοῖ, ἀλλὰ καὶ κατάφασιν ἐνίοτε. οἷον, τὸ ναί. Ταύτης δὲ ἡ σύζυγος γενικὴ ἐμοῦ· καὶ δοτικὴ, ἐμοί· καὶ αἰτιατικὴ, ἐμέ· ἐγκλινόμεναι ἀποβάλλουσι τὸ ε· οἷον, τοῦ γάρ μου σκόπει. τῷ γάρ μοι λέγε· τοῦ τό με δίδασκε. Τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ συνῃρημένως μὲν εἴρηται πρότερον· ἀσυναιρέτως δ' ὧδε λέγομεν· νῶϊ, νῶϊν. ἡμέες· ἡμέων· ἡμέας· ἡμῖν δὲ δοτικὴ μοναχῶς πανταχοῦ. ὡσαύτως δὲ καὶ τοῦ β' προσώπου· σφῶϊ, σφῶϊν· ὑμέες· ὑμέων· ὑμέας. Καὶ τὰ τοῦ τρίτου· σφῶε, ἐπὶ αἰτιατικῆς μόνως· ὡς καὶ σφῖν ἐπὶ δοτικῆς· σφέες· σφέων· σφέας:~

## ΜΟΝΑΔΙΚΑΙ κτητικαί.

Ἡ Δὲ μίν, καὶ νίν, καὶ σφὶ μοναδικαὶ τῶν φωνῶν· αἱ δὲ ἀπὸ τοῦ γ' κτητικαί· οἷον ὁ ἑός· ἡ ἑή· τὸ ἑόν· καὶ χωρὶς τοῦ ε λέγονται ὅς· ἥ· ὅν· κλίσις δὲ τῶν πρωτοτύπων αὐτῶν κατὰ τοῦ δὲ μίαν πτωτικὴν ἀναλογίαν συμβαίνει, ἀλλὰ θετικῶς. Ὡσαύτως δὲ καὶ ὁ κατ' αὐτὰς ἀριθμός:~

## ΣΥΝΘΕΤΟΙ.

ΤΩΝ δὲ συνθέτων ἑαυτοῦ, καὶ χωρὶς τοῦ ε μεταλαμβάνοντος τὴν δασεῖαν τοῦ αὑτοῦ:~

## ΚΤΗΤΙΚΑΙ.

ΚΑΘΟΛΟΥ δὲ αἱ κτητικαὶ ὁμοίως τοῖς εἰς ος τριγενέσιν ἁπλοῖς ὀνόμασι παρασχηματίζονται· ὡς γὰρ ἐκεῖνα μετὰ μὲν ἄλλου τοῦ συμφώνου, τὸ θηλυκὸν παράγεται εἰς η· ἔρημος· ἐρήμη· φρόνιμος. φρονίμη· μέσος, μέση· μέθυσος, μεθύση· μετὰ δὲ τοῦ ρ εἰς α· λαμπρός, λαμπρά· σοφώτερος, σοφωτέρα· οὕτω καὶ αὗται. ὁ ἐμός, ἡ ἐμή· ὁ σός, ἡ σή· ὑμέτερος, ἡμετέρα· σφέτερος, σφε-

πέρα· τὸ δὲ ἡμετέρη· καὶ σφετέρη· ἰωνικά·

Τῶν δὲ δεικτικῶν ἡ ἐκεῖνος· ἐκείνη· ἐκεῖνο· καὶ ἀντὶ τοῦ ε λέγεται αἰολίων ἔθος. Τῆς δὲ τοῦ β΄ προσώπου δεικτικῆς, καὶ τὸ ι ἐνίοτε προστιθέντες τελικόν, ἐφ᾽ ἑκάστης τῇ θέσει ἐν ἀριθμοῦ τε ἐν γένους λέγομεν· οὑτοσί· τουτονί· ὥσπερ ἀμέλει καὶ τοὺς καταστατικὴν συνδέσμου ἄρθρεικαῖς ἀντωνυμίαις· ὁδὶ ἐκφαμὲν καὶ τοδί. Λέγεται δὲ γενικὴ τῆς δευτεροπροσωπούσης τὸ πρωτοτύπων ἐν σέο· καὶ σέθεν· ἐν σοῦ· ὥσπερ ἄρα καὶ ἐπὶ τοῦ πρώτου προσώπου ἐμέο· καὶ ἐμεῖο· καὶ ἐμέθεν· καὶ ἐμοῦ· κατὰ τὰς τῶν διαλέκτων διαφοράς· τὸ μὲν τοι περὶ τούτων διωρίσασθαι τῇ παρούσῃ προθέσει οἰκεῖον.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΝ.

ΤΩΝ δὲ προθέσεων, ἡ μὲν ἐν ἑνὶ εὕρηται ἐν τοῖς ῥήμασι κατὰ τὴν πτῶσιν λεγομένη· ὡς ἡ μὲν τοι μεταθέσει τοῦ τόνου, οὐκέτι πρόθεσις ἀλλ᾽ ἐπιρρηματικὸν μεταβαίνει· ὥσπερ ἀμέλει καὶ ἡ πάρα· πάρα ἐστὶ ἀντὶ τοῦ πάρεστι· ἐν ἔπι ἀντὶ τοῦ ἔπεστιν· ἡ δὲ εἰς, καὶ ἐς λέγεται αἰολικῶς· ἐν ἡ πρός, ποτί, καὶ προτὶ δωρικῶς· ἐν ἡ ὑπό, ὑπαί· καὶ ἡ ἀπό, ἀπαί.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ.

Τῶν δὲ ἐπιρρημάτων σχηματισμοὶ ἀπὸ πάντων τῶν τοῦ λόγου μερῶν γίνοιτ᾽ ἄν, ἀπὸ μὲν τοῦ φρονίμων ὀνόματος, φρονίμως· ἀπὸ δὲ τοῦ αἴρω ῥήματος, τὸ ἄρδην· ἀπὸ δὲ τῶν εἰδότων μετοχῆς, εἰδότως· ἀπὸ τοῦ τῆς ἄρθρου τῇδε· ἀπὸ δὲ τῆς τούτων ἀντωνυμίας, οὕτως· ἀπὸ δὲ τῆς ἀνὰ προθέσεως, ἄνω· ἀπὸ δὲ τοῦ ἐγγὺς ἐπιρρήματος, ἐγγύθεν· ἀπὸ δὲ τοῦ δὴ καὶ ποῦ ἐν θὴν συνδέσμου, δήπουθεν· εἴη δ᾽ ἂν καὶ θεματικὰ ἄττα· οἷον τὸ εἶτα καὶ χαμαί. Ἔστι δὲ χρόνου σημαντικὰ καὶ τὸ ἄφαρ· ἔτι· πάλιν· μέχρι· τόπου δὲ καὶ τὸ ἵνα· καὶ ἀπαντικρύ· σχέσεις δὲ τῶν τοπικῶν, τρεῖς ἐν τόπῳ· ἐκ τόπου· εἰς τόπον· οἷον, οἴκοι· οἴκαδε· οἴκοθεν. Ὁμοιώσεως δὲ ἠύ· ἠύτε. Ἀθροίσεως δὲ διωρισμένου τοῦ· καὶ τὸ πανδημεί, καὶ πασσυδί, καὶ πανοικί. Παρακελεύσεως δὲ καὶ τὸ εἶα, καὶ ἴθι. Καὶ ἐκπληκτικὸν ἔτι τὸ ἰά, καλείσθω δὲ καί τι παραστατικὸν ἐπίρρημα· οἷον τὸ χρονίως καὶ ἐκποδών. Καὶ διαιρετικὸν ὥς εἰ μὴ· ἀκοντί, ἀπονητί, ἀμελητί. Καὶ ἀοριστῶς· αἰνῶ, ἀτὰρ. Καὶ

ἐξαιρετικὸν, τὸ πλήν. Καὶ ἀποστατικὸν τὸ ὥστε. Καὶ διακωλυτικὸν τὸ
ἐμπεδῶν. Καὶ ἐπικρυπτικὸν τὸ λάθρα. Καὶ ἐμφατικὸν, τὸ διαρρή-
δην ἀναφανδόν. ἀλλ' οὐ τὸ πρὸς τὸ σημαινόμενον ὀνομάζειν ἕκα-
στον ἄπειρόν τε καὶ ὀνοματοθετεῖν ἀνάγκη. διὸ δὴ καὶ ἄμεινον ἴ-
σως δέκα ἐς τὰ τῶν ἐπιρρημάτων συνθέσθαι ἐκεῖνα. οὐσίαν ποιόν.
ποσόν. πρός τι. ποῦ. ποτέ. ποιεῖν. πάσχειν. κεῖσθαι. ἔχειν. Καὶ ἕκαστα τῶν
τι τούτων πειρᾶσθαι ἀνάγειν. Οἷον, οὐσιωδῶς· ἐμψύχως· φυσικῶς·
ἀναφέρεται ἐπὶ τὴν οὐσίαν. Εὖ· ἡδέως· ῥᾳδίως κυνηδὸν
ὡσπερεί· ὥστε· λίαν· πάνυ· ἠρέμα· πάντως· ἦ· δηλαδή· νή· μά· ἥκιστα· οὐ·
μή· μάλιστα· ἰδού· ὦ· ἀναγνωστέον· εἴθε· ἦ τοι· φεῦ· ἆ· δεῦρο ἄγε· ἀναφέρεται
ἐπὶ τὸ ποιόν. Ἅπαξ· δίς, τρίς, ἀναφέρεται ἐπὶ τὸ ποσόν. Διαστα-
τικῶς· δυϊκῶς· ἴσως· ὁμοίως· πολλάκις, ὀλιγάκις· μεγάλως· μᾶλ-
λον· ἧττον· ἅμα· ἀναφέρεται ἐπὶ τὸ πρός τι. Ἄνω, κάτω· ὧδε· ἐκεῖ·
ἐνθάδε· πόρρω· ἐγγύς· χωρὶς ἔξω· ἔσω· ἐναντίον· χαμαί· ἄντα· ὅθεν· ἔν-
θα· ἐπέκεινα· πέραν· μεταξύ· ἔνθεν· ὅθι· ἵνα· ἀναφέρεται ἐπὶ τὸ ποῦ.
Νῦν· πότε· αὖθις τέως· ἡνίκα· ἔπειτα· σήμερον· αὔριον· πάλιν· εὐθὺς· ὕστε-
ρον· παραχρῆμα· ἐξαίφνης· αὐτίκα· ὄφρα· τόφρα· ἀναφέρεται
ἐπὶ τὸ ποτέ. Δραστικῶς· θεωρητικῶς· τμήδην· ἀναφέρεται
ἐπὶ τὸ ποιεῖν. Παθητικῶς· πεποιημένως· ἀναφέρεται ἐπὶ τὸ πά-
σχειν. Συλλήβδην· ἀθρόως· ἀνέδην· χωρὶς· ἐφεξῆς· μίγδην· ἀνα-
φέρεται ἐπὶ τὸ κεῖσθαι. Ὡπλισμένως· ὑποδεδεμένως· περι-
εκτικῶς· στεφανοφόρως· δαφνοφόρως· ἀναφέρεται ἐπὶ τὸ ἔ-
χειν. Σκεπτέον δὲ βέλτιον τὰς διαφοράς:~

## ΠΕΡῚ ΣΥΝΔΕΣΜΩΝ.

Σύνδεσμοι μὲν συμπλεκτικοὶ, καὶ ἢ μὲν· ἠδέ· ἀτάρ· αὐτάρ· ἤτοι.
Διαζευκτικοὶ δὲ, καὶ ἠέ. Αἰτιολογικοὶ δὲ, καὶ ὄφρα· ἕνεκα· οὕ-
νεκα. Παραπληρωματικοὶ δὲ, καὶ ὁ νύ· ὃς καὶ νῦν λέγεται
καὶ θήν· ἄν· ἄρ· κέν. Ἐναντιωματικοὶ δὲ, καὶ ὁ ἔμπης· καὶ
ὁ πλήν· καὶ πολλοὶ δὲ οἱ αὐτοὶ πολλασήμως λέγονται. οἷον, ὁ μὲν
ἀλλὰ καὶ συμπλεκτικὸς καὶ συλλογιστικός· ὁ δὲ γε, παραπλη-
ρωματικὸς καὶ ἐναντιωματικὸς καὶ αἰτιολογικός. Ὁ γὰρ ἂν παραπληρω-

e ii

ματικὴ καὶ συλλογιστικὴ ἢ παραγραφική. Ὁ δέ περ ἢ ἐναντιωματικὴ ἢ μειωτική. Ὁ δ' ὅτι ἢ αἰτιολογικὴ, ἢ ἐπιβεβαιωτικῶς. Ὁ δὲ ἢ συμπλεκτικῶς καὶ συλλογιστικὴ καὶ παραγραφική. Καὶ περὶ μὲν τῶν ὀκτὼ τοῦ λόγου μερῶν, ταῦτά τε εἰς κλίσιν τε καὶ σχηματισμὸν συμμέτρως εἰρήσθω καὶ ἱκανῶς, ὡς ἐνδεεστέρῳ εἰσαγομένῳ.

ΤΕΛΟΣ·

## ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ ΤΡΙΤΟΝ·

Ἐφεξῆς δὲ κατὰ τὸ αὐτὸ περὶ προσῳδίας καὶ συλλαβῆς ποσότητός τε καὶ ὀρθογραφίας λεκτέον· ἵνα μὴ τὸ περὶ λέξιν ἁμάρτημα ὁ βαρβαρισμὸς συμβαίνῃ· βαρβαρίζων γάρ τις ἐλέγχεται· ἢ ἐνδείᾳ, δημοσθένου· ἢ πλεονασμῷ, αἰγίνους· ἢ ἐναλλαγῇ, αἰνεία, ἢ χρόνῳ, ἢ προσῳδίᾳ, ἢ γραφῇ, νίκος τῷ ἰδίον τῇ εἰ. Καὶ εἰς μὲν τὸ ὀρθὸν, ἀρκεῖ ἔνδειαν καὶ πλεονασμὸν καὶ ἐναλλαγὴν, οἰκεῖα τὰ ἔμπροσθεν περὶ κλίσεως ἢ σχηματισμοῦ εἰρημένα· περὶ δὲ τῶν λοιπῶν, νῦν λεκτέον· διαιροῦντας ἕκαστα πρότερον καὶ ὁριζομένους.

### ΟΡΟΣ ΠΡΟΣΩΔΙΑΣ·

Προσῳδία μὲν οὖν ἐστι τάσις ποιά τις φωνῆς ἐγγραμμάτου πρὸς συμφωνίαν τοῦ ὅλου λόγου. Ἔστι δὲ πρὸς ταῖς πρότερον εἰρημέναις ὀκτώ, καὶ μακρά τις ἢ βραχεῖα, οὕτω γραφόμεναι· — ˘ Χρόνοι δ' αὗται καλοῦνται, ὅτι ἐπὶ τῶν φωνηέντων τιθέμεναι θάτερον ἐμφαίνουσι τοῖν χρόνοιν, ἤτοι τὸν μακρὸν ἢ βραχὺν ὄντων. Τοῦ δὲ διορίζομεν, τὸ δὲ

γράμματα ἀμφότερα ὄντα· ἦν μὲν οὖν πάλαι ἴσως οὐ μόνον τὸ ε καὶ ο τύπος τοῖς γνωρίμοις σημείοις, ἀλλὰ καὶ τὸ α καὶ ι καὶ υ· νῦν δὲ ἐπὶ μὲν τοῦ ε καὶ ο παρῆλθε· τὸ δὲ η καὶ ω, μεταλαμβάνοντες, γράφομεν· ἐπὶ δὲ τῶν καλουμένων διχρόνων χρῆσις οὐκ ἔστιν αὐτῶν οὐδεμία· ὥστε μόνῳ ἂν τῷ μετρικῷ εἶεν ἐν χρήσει. ἔστω μὲν οὖν ἡ προσῳδία εἰς τέτταρα, διαιροῖτ' ἄν· οἷον εἰς τόνον· χρόνον, πνεῦμα· πάθος. Ἔστι δὲ τόνος, ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν εὐφωνίαν ἔχουσα· ἡ μὲν γὰρ ὀξεῖα, τὸ ἐπιτεταμένον ἔχει τοῦ φθόγγου, ἡ δὲ βαρεῖα τὸ ἀνειμένον· ἡ δὲ περισπωμένη τὸ μέσον. Χρόνος δὲ ἔκτασις ἢ συστολὴ φωνήεντος· ἐκτείνεται μὲν γὰρ τῇ μακρᾷ· συστέλλεται δὲ τῇ βραχείᾳ.

Πνεῦμα δὲ ποιότης ἐκπνευστικὴ συμφώνων ἤτοι εἰς δασὺ ἢ εἰς ψιλόν· τῇ μὲν γὰρ δασείᾳ τὸ ψιλὸν τρέπεται εἰς δασὺ ἐν τῇ συνθέσει ἐφ' ἡμῶν, καθ' ἡμῶν· τῇ δὲ ψιλῇ φυλάττεται· ὁρωτῶ· ἐπερωτῶ.

Πάθος δέ, ποιότης φωνῆς περιγενομένης ἤτοι διὰ ἀφαίρεσιν φωνήεντος ἢ διὰ σύνθεσιν λέξεως ἢ διὰ ὑποδιαστολήν. Ἡ μὲν γὰρ ἀπόστροφος ἀφαίρεσίς ἐστι φωνήεντος τοῦ τέλους, ἢ φωνηέντων βουλομένων· ἀφαιρεῖται δὲ τό, τε α καὶ ι βραχέα ὄντα· ἄρα οὗτος· ἆρ' οὗτος· ἐπὶ ἡμῖν ἐφ' ἡμῖν· καὶ τὸ ο καὶ ε τοῦτο ἐμόν· τοῦτ' ἐμόν· φέρε εἰπέ· φέρ' εἰπέ.

Ἡ δὲ ὑφὲν συνάφεια δυοῖν λέξεών ἐστιν· οἷον, ὁποσοῦν· ἡ δὲ ὑποδιαστολή, τὸ ἔμπαλιν διαίρεσις γάρ τις δυοῖν· οἷον, ὅς, τις.

Τοιαύτῃ μὲν δὴ ποιὰ τάσει τῶν συλλαβῶν, ἐπὶ τὸ εὐφωνότερον· τὰ μέν, μηκυνόμενα ἔχει· τὰ δέ, συστελλόμενα· καὶ τὰ μέν, ὀξυνόμενα· τὰ δέ, βαρυνόμενα· τὰ δέ, περισπώμενα· ὥσπερ ἂν πάλιν· τὰ μέν, δασυνόμενα· τὰ δέ, ψιλούμενα:~

## ΠΕΡΙ ΣΥΛΛΑΒΗΣ.

Συλλαβαὶ τὸ ταῦτα, ὅθεν αἱ λέξεις, μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου· ὥστε καὶ εἴη ἂν συλλαβὴ σύλληψις μὲν τοὐλάχιστον δύο γραμμάτων, πρώτως δ' ὑποκειμένη προσῳδίας· λέγεται μέντοι καταχρηστικῶς καὶ τὸ μονογράμματον συλλαβή· οἷον, α· ε· γίνεται δὲ πολλαχῶς κατὰ λόγον τὸν πολλῶν τε καὶ διαφόρων ἐπιπλοκῶν τῶν γραμμάτων. καὶ ἔστιν αὐτῆς τὸ μέν,

e ii

μακρόν· τὸ δέ, βραχὺ· τὸ δέ, κοινόν. Μακρὸν μὲν, τὸ ἔχον φύσει μακρὸν φωνῆεν· ἢ μίαν τινὰ τῶν διφθόγγων· αἱ γὰρ δίφθογγοι πᾶσαι μακραί εἰσι· φύσει μὲν τριχῶς· ἤτοι γὰρ φθόγγῳ μακροῦ φωνήεντος· οἷον, ἥρως· ἢ ἐκτάσει διχρόνου· οἷον, καλός· ἢ διφθόγγῳ· οἷον, αἴας· θέσει δέ, μοναχῶς· δυοῖν ἐπιφερομένοιν συμφώνοιν, ἤτοι ἐν [illegible]· ἄρτος· ἢ δυνάμει· ἄξω· τύψω.

Βραχὺ δέ, τὸ ἔχον ἤτοι φύσει βραχὺ φωνῆεν· οἷον, λόγος· ἢ δίχρονον συστελλόμενον· οἷον, φιλία. Κοινὸν δὲ τὸ δυνάμενον τὸ αὐτὸ μακρόν τε λαμβάνεσθαι καὶ βραχύ· τριχῶς δὲ τὸ τοιοῦτο· καὶ τὸ περὶ τούτων εἰπεῖν θεωρείας ἑτέρας.

## ΤΌΓΟΙ ΤΗ͂Σ ΟΞΕΊΑΣ.

Τριῶν δὲ ὄντων τόπων τῇ ὀξείᾳ, λήγοντος· παραλήγοντος· προπαραλήγοντος· ὀξύνεται μὲν ἡ λήγουσα, ἀεὶ οὖσα βραχεῖα, ἀγαθός· ἐπάνω γὰρ βραχείας, περισπωμένη οὐ τίθεται· μακρὰ δὲ οὐκ ἀεί· ἡ παραλήγουσα δέ, ὅταν ἡ αὐτή τε βραχεῖα ᾖ, καὶ ἡ λήγουσα· λόγος· ἢ αὐτή τε μακρὰ ἐστὶν ἡ λήγουσα· ἥρως· μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται· ἢ αὐτὴ μὲν βραχεῖα, ἡ λήγουσα δὲ μακρά, ἔρως· ἡ προπαραλήγουσα δέ, ἢν μὴ ἡ λήγουσα μακρὰ οὖσα κωλύῃ, ἥρωος· μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις κοινή.

## ΤΌΠΟΙ ΓΕΡΙΣΠΩΜΈΝΗΣ.

Τῇ δὲ περισπωμένῃ τόπων δύο ὄντων ληγούσης καὶ παραληγούσης· πρὸ δ' ἔτι δυοῖν συλλαβῶν περισπωμένη οὐ τίθεται· ἡ μὲν παραλήγουσα περισπᾶται, ὅταν αὐτή τε ᾖ φύσει μακρά, καὶ ἡ λήγουσα φύσει βραχεῖα· δῆμος· ἐπὶ γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται· διὸ καὶ λέγεται ὅτι πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐστιν, ἐν μέρει λόγου οὖσα, εἰ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται· ἡ δὲ λήγουσα βραχεῖα μὲν οὖσα, οὐδέποτε· μακρὰ δέ, ἐκ συναιρέσεως ἀεί· εἰ δ' ἄλλως φύσει οὐκ ἀεί.

## ΤΌΠΟΙ ΓΝΕΥΜΆΤΩΝ.

Ἡ δὲ δασεῖα ἐστὶν ἡ ψιλὴ κατ' ἀρχὰς τῶν λέξεων ὡς προείρηται τίθενται ἐπὶ τῶν φωνηέντων, ἕκαστον γὰρ τῶν φωνηέντων ἀρκτικὸν ὂν ἢ δασύνεται ἢ ψιλοῦται.

ὧν τίνων δὲ πρότερον, ὕστερον ἐροῦμεν:~

## ΠΕΡῚ ΧΡΉΣΕΩΣ ΤΌΝΩΝ ἐφ' ἑκάστης τῶν πτώσεων.

Νῦν δὲ τὴν τῶν τόνων καὶ χρόνων χρῆσιν ὅπως ἔχει περὶ τὰ διῃρημένα μέρη τοῦ λόγου θεωρῶμεν· λαβόντες πάλιν τῶν ὀνομάτων τὰ μὲν, πρωτόκλιτα· τὰ δὲ, δευτερόκλιτα· τὰ δὲ, τριτόκλιτα· τὰ δὲ, τεταρτόκλιτα· τὰ δὲ, πεμπτόκλιτα. καὶ τῶν ῥημάτων δὲ ὁμοίως· τὰ μὲν, πρωτόζυγα· τὰ δὲ, δευτερόζυγα· τὰ δὲ, τριτόζυγα· τὰ δὲ, τετράζυγα· τὰ δὲ, πεμπτόζυγα. καὶ τὰ μὲν ὀνόματα εἰς πτώσεις κλινόμενα, τὰ δὲ ῥήματα εἰς χρόνους καθάπερ διαιροῦντες ὀνομάζομεν πρότερον.

## ΕΥ̓ΘΕΙ͂Α ἘΝΙΚΩ͂Ν.

Κοινὸν μὲν οὖν τῶν ὀνομάτων ἁπάντων τὸ τὴν εὐθεῖαν μὴ ἐκ συναιρέσεως οὖσαν ὀξύνεσθαι· ἀφ' ὧν τῆς ἐσχάτης ὁ τόνος.

## ΠΡΩΤΌΚΛΙΤΑ.

Τῶν δὲ πρωτοκλίτων βαρυτόνων ἀεὶ ἡ εὐθεῖα παροξυνομένη, αἰνείας· χρύσης· πλὴν τῶν ἀπὸ παρακειμένου· ποιητής· κριτής· δικαστής.

## ΔΕΥΤΕΡΌΚΛΙΤΑ.

Τῶν δὲ δευτεροκλίτων, τὰ μὲν ὀξύτονα· ἀρετή· τὰ δὲ προπερισπώμενα ἢ παροξύτονα, μοῦσα· χώρα· καὶ προπαροξύτονα δὲ ἔνια τῶν συνθέτων· ἔμπουσα. Ληγόντων γε μὲν εἰς α, ὧν τῆς παραληγούσης ὁ τόνος ὥσπερ ἐπὶ τὸ πολὺ μακρᾶς οὔσης· μοῦσα· χώρα. Τὰ δὲ εἰς η καθαρὸν δισύλλαβα τῷ ο παραλήγοντα, οἷς προηγεῖται δασὺ, βαρύνεται, ὥσπερ ἐπὶ τὸ πλεῖστον· χνόη· φθόη· χλόη. καθόλου γε μὴν τοῖς ἀρσενικοῖς τὰ θηλυκὰ ἕπεται· ὥστε καὶ σκεπτέον ἔτι τῶν θηλυκῶν τριγενές· τὸ μὲν θεία βαρύτονον· ὅτι καὶ τὸ θεῖος· τὸ δὲ καλὴ καὶ ἀγαθὴ ὀξύτονον, ὅτι τὸ καλὸς καὶ ἀγαθός.

## ΤΡΙΤΌΚΛΙΤΑ.

Καὶ τῶν τριτοκλίτων δὲ τὰ μὲν, ὀξύτονα· χρηστός· τὰ δὲ, παροξύτονα, λόγος· τὰ δὲ προπαροξύτονα δίκαιος· οἷον, τῶν κτητικῶν, τὰ μὲν εἰς κὸν ὀξυτονοῦνται, ἀττικόν· τὰ δὲ, εἰς ειον προπαροξύτονα, αἰάντειον· καὶ τὰ ἀπὸ τόπων δὲ παρωνομασμένα εἰς ιον, προπαροξύτονα οὐράνιον· καὶ τῶν μετουσιαστικῶν, τὰ εἰς νον· λίθινον· καὶ τὰ ἀπὸ παρακειμένου παθητικοῦ τοῦ τεταρτοζύγου εἴτε κύρια, εἴτε ἐπίθετα, ἄφαντος· διόφαντος· ἄψαλτος· ἄσπαρτος· καὶ τὰ ὡς μετουσιαστικὰ συνθέσει τούτων λεγόμενα, ἔμμουσον· ἔμμετρον. καὶ ὅλως τὰ σύνθετα ὥσπερ ἐπὶ τὸ πολὺ ἔνθυμον· παραπλησίως καὶ ἁπλᾶ τὰ τροχαϊκὰ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τό-

μον· δοῦλος, ἄδουλος· ὥρα, πρόωρος· καὶ τὰ ἀπὸ τοῦ κτείνω σύνθετα παθητικὰ· ξιφόκτονος· λυκόκτονος· ἐνεργητικὰ δὲ παροξύνεται· ξιφοκτόνος· λυκοκτόνος· ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ξέφω· λαόξοφος μὲν· λαοξόφος δὲ παροξυτόνως· ὥσπερ ἄρα καὶ τὰ ἐκ τοῦ πωλῶ· μετὰ μὲν προθέσεως προπαροξύνεται· πρόπολος· ἀμφίπολος· μεθ' ἑτέρων δὲ παροξύνεται· ὀνειροπόλος· θυηπόλος· παροξύνεται δὲ τὰ πολλὰ τῶν δισυλλάβων προσηγορικῶν· λόγος· ὥσπερ ἄρα ὀξύτονα τὰ πολλὰ τῶν δισυλλάβων ἐπιθέτων· χρυσὸς· δεινὸς· τὰ μὲν δισύλλαβα τῶν ἐρωτηματικῶν, ποῖος· πόσος· καὶ ὁριστικὰ μὲν ὀξύνεται ποιὸς· ποσός· Καθόλου δὲ τὰ ἀπὸ παρακειμένου παθητικοῦ τῶν περισπωμένων, ὀξύνεται· ἐπαινετὸς· θεατός· ἀροτός· ξυστός· καὶ ἔτι δὲ τῶν ὀξυτονουμένων ἐκλείψει πάθοι, ὁ αὐτὸς τόνος φυλάττεται ἀναβιβαζόμενος διὰ δεῖν ἐπιπολή:~

## ΤΕΤΑΡΤΟΚΛΙΤΑ.

Τῶν δὲ τεταρτοκλίτων ἀττικῶν, ὑπερδισυλλάβων, προπαροξύνονται ἀεὶ ἡ εὐθεῖα· καὶ τριμακροκατάληκτοι οὖσα· ἀττικῶν δὲ τὸ τοιοῦτο· μενέλεως· ἀνώγεων· τὰ δὲ δωρικῶς ἀφαιρέσει τοῦ σ κλινόμενα διαφορεῖται· τὰ μὲν γὰρ βαρύτονα διώνδας· τὰ δὲ περισπώμενα· τοδῆς· ἀπὸ περισπωμένων ἢ γὰρ ἀλλᾶς:~

## ΠΕΜΠΤΟΚΛΙΤΑ.

Τῶν δὲ πεμπτοκλίτων τὰ μὲν εἰς αν ἁπλᾶ ὀξυτονεῖται ἐπὶ εὐθείας πάντα· παιὰν· πλὴν τοῦ ἀπὸ τοῦ πᾶς· πᾶν. Ἔτι τὰ εἰς ας θηλυκὰ καὶ ὅλως τῶν διακλινομένων· στιάς· ἀρκάς. Ἔτι τὰ εἰς αις καὶ αιξ μονοσύλλαβα ἀπαθῆ· δαΐς· παΐς· αἴξ. Ἔτι τὰ εἰς ης σ τῶν καθαρῶν κλινόμενα ἀπὸ θέματα· εὐγενής. Ἔτι τὰ εἰς ην· ὧν εἰ καὶ ἔστι παρασχηματισμὸς ἐν δευτέρῳ, τὰ πολλὰ ἁπλᾶ ὄντα· αὐχὴν· σωλήν.

Ἔτι τὰ εἰς ηρ ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν· σωτήρ· πατήρ· μήτηρ καὶ μὴν καὶ θυγάτηρ παροξυτόνως. Ἔτι τὰ εἰς ιν δικατάληκτα ἁπλᾶ ὄντα· ῥίν. Ἔτι τὰ εἰς ις πατρωνυμικά· πριαμίς· ἢ καὶ ἀπὸ τῶν εἰς ος τριγενῶν ὄντα· δμῶος· δμωΐς· αἰχμάλωτος· αἰχμαλωτίς· λάλος, λαλίς. Ἔτι τὰ εἰς υς τριγενῆ ἢ τῶν διακλινομένων ἢ μακροκατάληκτα· ἰθύς· χλαμύς· πληθύς· τὰ ἄλλα δὲ παροξυτόνως.

Ἔτι τὰ εἰς ων περιεκτικὰ ἢ ὡς περιεκτικά· κοιτών· ἀπτετιών.

Ἔτι τὰ εἰς ω καὶ εἰς ως θηλυκά· λητώ· αἰδώς. Ἔτι τὰ εἰς ως ἀχλ-

λῆς· Πηλῆς· Δωριεῖς μέντοι, καὶ ταῦτα παροξύνουσιν Ἀχίλλης· Πήλης. Τὰ δὲ εἰς ᾶν σύνθετα παροξύνονται· ἑρμόπαν. Ἔτι τὰ εἰς ας δισύλλαβα· αἴας· κάλχας· ἄτλας. Ἔτι τὰ εἰς ας οὐδέτερα· κρέας· κέρας. Ἔτι τὰ εἰς αξ, καὶ ὅλως τὰ εἰς ξ λήγοντα ἁπλᾶ ὑπὲρ μίαν συλλαβὴν· ἅρπαξ· πέρδιξ. Ἔτι τὰ εἰς ιν σύνθετα ὧν τὸ δεύτερον παρασχηματισμοῦ εἰσιν· ἱεραύχην· εὔρριν. Ἔτι τὰ εἰς ης ἀπὸ τῶν εἰς ος οὐδετέρων σύνθετα κύρια· ἢ εἰς ις προσηγορικὰ καὶ κύρια ἁπλᾶ δισύλλαβα βραχυπαράληκτα· δημοσθένης· ὄφις· πάρις.
Ἔτι τῶν εἰς ων ἀπαθὲς τὰ κύρια καὶ σύνθετα καὶ ἐθνικά· θέων· εὐδαίμων· ἴων.
Τὰ δὲ εἰς ις ὑπὲρ δισύλλαβα τῷ διὰ κλινόμενα ἢ διὰ τοῦ τ, προπαροξύνεται· ἄδωνις· εὔπολις· εὔχαρις· ἔπηλις. καὶ ὅσα τὰ ἐκ δισυλλάβων παροξυτόνων βαρυτόνων σύνθετα ἀναβιβάζει τὸν τόνον· μῆτις· πολύμητις.
Ἔτι τὰ ἐκ τῶν εἰς η θηλυκῶν συντιθέμενα ἀναβιβάζοντα τὸν τόνον, προπαροξύνεται· ἀλκή, ἄναλκις· κνήμη, εὔκνημις. Τά γε μὴν ἀπὸ τῶν εἰς της προκειμένων θηλυκὰ εἰς ις τῷ διὰ κλινόμενα, ὧν παρὰ τὴν αὐτὴν φυλάσσει τὸν τόνον, ἐφ᾽ ἧς τὸ ἀρσενικὸν ἔχει· στρατιώτης, στρατιῶτις.
Ἔτι τὰ πολλὰ τῶν ἀπὸ τῶν εἰς ης, εἰς εια, προπαροξύνεται· ἀληθής, ἀλήθεια.
Τὰ δὲ εἰς ας ἢ εἰς υς ἢ εἰς ους μονοσύλλαβα, ἢ ὅλως τὰ εἰς υς ἁπλᾶ, περισπᾶται· πᾶς· μῦς· σῦς· δρῦς· βοῦς. τούτοις δὲ ἀκολουθήσει ἢ τὸ ἰχθῦς καὶ ὀφρῦς· καὶ διοφρῦς· ἢ ὀσφῦς· καὶ ὀφρῦς. ἐξαιρείσθω τὸ τις καὶ ὀδούς.
Ἔτι ὅσα τῶν οὐδετέρων μονοσύλλαβα· πῦρ· πᾶν· σκῶρ. καὶ ὅσα εἰς ων συνῃρημένα· ποσειδῶν· ξενοφῶν· ἢ ὅλως τὰ ἐκ συναιρέσεως· παῖς· ῥοῦς· φθοῖς· πᾶσαι γὰρ αἱ συναιρέσεις ὀξεῖαι καὶ βαρεῖαι περισπώμεναι ποιεῖ· ἑρμέας, ἑρμῆς· σιμόεις, σιμοῦς· ξενοφόων, ξενοφῶν· φάος, φῶς· βόαξ, βῶξ· κρέας, κρῆς. οἷον τινὲς καὶ τὸ ποδῆς εἶναι ἀξιοῦσι· ποδήεις γάρ, ποδῆς. διὸ καὶ αἱ τῶν περισπωμένων συναιρούμεναι πτώσεις, περισπῶνται πᾶσαι. ἣν ἐπεὶ τοῦ συνῃρημένου ὁ τόνος ἦ· λητόος, λητοῦς, πλὴν ἔνθα τὸ συναιρούμενον ἑτέρᾳ πτώσει ἀσυναιρέτῳ ὁμοφωνεῖ· οἷον τὴν λητόα καὶ λητώ· πᾶσα γὰρ πτῶσις ἑτέρᾳ ὁμοφωνοῦσα πτώσει, καὶ τὸν τόνον αὐτὸν ἔχει καὶ τὸν χρόνον· οὐκοῦν καὶ σαπφόα

e ε iiii

καὶ πατρῴῳ, ὀξυτόνων· ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ δὲ δημοσθένης ἔχει τὴν ἐξ ὀξείας καὶ βαρείας· τοιοῦτο δὲ καὶ τὸ πάνθους· καὶ ἀγήρως. Περὶ δὲ τοῦ χρυσοῦς, καὶ χαλκοῦς καὶ τῶν τοιούτων, σκεπτέον. πολυχρδὴς ἡμῖν καὶ ὅσου τὰ πολλὰ τῆς εὐθείας ὁ τόνος· καὶ ἥκιστα πάντων διακριβείας οἶμαί τι τόπους κοινοὺς, περὶ τούτου λαβεῖν· ὁπότε δὴ καὶ τὸ τὴν φωνὴν ταὐτὸ διαφόρως τονίσαι ὀξὺν, πρὸς σημασίαν διάφορον· οἷον, βίος, βιός· πονηρός, πόνηρος· λαοτρόφος, λαότροφος· ἁρπαγὴ, ἅρπαγη· γυναιτὴς, γυναίτης.

Ἡ δὲ γενικὴ ἀπαθὴς οὖσα, καὶ μὴ εἰς ος δισύλλαβος, ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα, εἰ μὴ μακρὰ λήγουσα κωλύοι· μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις· δίκαιος ἄρα δικαίου· λόγος δὲ λόγου· καὶ ἀγαθὸς, ἀγαθοῦ· ἐξαιρείσθω τὸ μητέρος καὶ θυγατέρος· καὶ γυναικός· αἱ γε μὴν εἰς ος δισύλλαβοι, ὀξύνονται· βοός· γραός· ἡ δὲ λᾶος, κατὰ συναίρεσιν ἐκ τρισυλλάβου τοῦ λάαος· καὶ ἡ κῆρος· καὶ ἦρ ὁμοίως ἐκ τοῦ κέαρος· καὶ ἔαρος· τὸ δὲ μιᾶς, ἰωνικὴν ἔχει τὴν τάσιν· ἐπὶ μέντοι τῶν μετοχῶν, καὶ αἱ εἰς ος δισύλλαβοι, βαρύνονται· βάντος· στάντος·

Ἡ δὲ δοτικὴ, καθόλου τὸν τῆς γενικῆς ἔχει τόνον, καὶ χρόνον· αἰνείου, αἰνείᾳ· μεταπεπλασμένη δὲ, ἀεὶ προπαροξύνεται· διχόμηνι· πολυπάταγι· μελίκρατι.

Ἡ δὲ αἰτιατικὴ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ᾽ ἧς καὶ ἡ γενικὴ· πλὴν τῶν πεμπτοκλίτων· ὧν ἡ γενικὴ· δισύλλαβος εἰς ος. Ἐπὶ τούτων γὰρ ἀνάγκη τὰς μὲν γενικὰς ὀξύνεσθαι διός· βοός· τὰς δὲ αἰτιατικὰς παροξύνεσθαι· τὸν βόα· τὸν δία· ἐξαιρείσθω τὸ θυγατέρα· πεπονθὸς γὰρ, καὶ τὸ ἄνδρα ὁμοίως· καὶ τὸ γυναῖκα· καὶ περισπῶνται δὲ αἱ μονοσύλλαβοι αἰτιατικαὶ εἰς ν λήγουσαι· κλεῖν· λῖν· μῆν· σῦν· Ἡ δὲ κλητικὴ, ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα· πλὴν τῶν πεμπτοκλίτων εἰς ης συνθέτων κυρίων βαρυτόνων, ἢ καὶ περισπωμένων ἐκ συναιρέ-

σεως· ἐπὶ τούτων γὰρ ἀναβιβάζεται ὁ τόνος· ὁ δημοσθένης, ὦ δημόσθενες· ὁ ἡρακλῆς, ὦ ἡράκλεες, ἡράκλεις καὶ συναιρέσει· τοῦτο ἐστὶ τὸ σοφοκλῆς, περικλῆς. Καὶ τὰ εἰς ων ὀξυνόμενα ἐὰν εἰς ον βραχὺ ἡ κλητικὴ, ἀναβιβάζει τὸν τόνον· ἀγάμεμνον· κακόδαιμον· πλὴν τῶν ἀπὸ φρὴν· ἐστὶ δὲ, ὦ δαΐφρον, καὶ περίφρον, παροξυτόνως. ἐξαιρείσθω τὸ λακεδαίμον, καὶ τὸ παλαίμον, προπερισπώμενα. Ἔτι τὰ εἰς ηρ, ὧν ἡ κλητικὴ εἰς ερ, ἀναβιβάζει· θύγατερ· εἴνατερ· δήμητερ· ἄνερ· σῶτερ. ἐξαιρείσθω δὲ τὸ δέσποτα· μητίετα· ἀκάκητα· εὐρύοπα. Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν, ἐπὶ μὲν αὐτῆς συλλαβῆς τῇ εὐθείᾳ τῶν ἑνικῶν ἔχει τὸν τόνον· αἴας, αἴαντε· πέρσης, πέρσα· ἵππος, ἵππω. Ἡ δὲ γενικὴ ἐπὶ τῶν πεμπτοκλίτων μόνων τῇ γενικῇ τῶν πληθυντικῶν ἕπεται· αἰάντοιν, αἰάντων· πλὴν τοῦ χεροῖν, παιδοῖν· μηκέοιν· ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων, τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ· αἰνεία, αἰνείαιν· τιμὰ, τιμαῖν· λόγω λόγοιν· μενέλεω, μενέλεων. Ἡ δὲ κλητικὴ τῇ εὐθείᾳ ὁμοίως.

Ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν ὁμοτόνως ἔχει τῇ εὐθείᾳ τῶν ἑνικῶν· λίθος, λίθοι· χρυσὸς, χρυσοί· πλὴν τῶν εὐθυλεκτουμένων θηλυκῶν παρεσχηματισμένων ἀρσενικοῖς· ταῦτα γὰρ τῷ ἀρσενικῷ ὁμοτονεῖ· λίθινος, λίθιναι· ὅθεν δὴ καὶ ἡμέραι μὲν, ἥμεραι δὲ προπαροξύτονον· ἀκολουθεῖ γὰρ ἀεὶ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς ὡς εἴρηται. Ἡ δὲ γενικὴ τῶν μὲν πρωτοκλίτων καὶ δευτεροκλίτων, περισπᾶται· ὀρέσται, ὀρεστῶν· τιμαὶ, τιμῶν· πλὴν τῶν ἀφύων, καὶ ἐπὶ τῶν πρωτοκλίτων· χρήστων· χλούνων· ἐτησίων. Τά γε μὴν παρεσχηματισμένα ἀρσενικοῖς τῶν δευτεροκλίτων ὁμοτονεῖ καὶ ταῦτα τῷ ἀρσενικῷ· ῥόδιος, ῥόδιαι, ῥοδίων· πλὴν τῶν ταχειῶν, ἐστὶ δ' ὅλως τῶν ἀπὸ τῶν εἰς ος ἀρσενικῶν παρεσχηματισμῶν· ἡ μὲν ἀγαθὰ καὶ μέλαιναι, μελαινῶν, ἡ μελαινῶν. ἐστὶ ὅλως τὰ ἀπ' ἀρσενικῶν πεμπτοκλίτων· καὶ ἡ τῶν πεμπτοκλίτων δὲ δισυλλάβων εὐθυλεκτουμένων περισπᾶται· μῆνες, μηνῶν· πλὴν τῶν δέκα ἐκείνων· πάντων· τρώων· δμώων· παίδων· φώτων· θώων· λάων· κράτων· δᾴδων· φῴδων.

Ὑπὲρ δύο δὲ συλλαβὰς ὄντα παροξύνεται· αἴαντες, αἰάντων· τὸ δὲ λίξεων· καὶ τὰ ὅμοια, ἀττικῶς. Ἡ δὲ τῶν τριτοκλίτων· καὶ τε-

ταρσοκλίτων, ὁμοφωνεῖ τῇ τῶν ἑνικῶν γενικῇ· καὶ περισπᾶται διὰ τὸ ἀπὸ
τῆς ληγούσης ἔχουσα τὸν τόνον. Καθόλου γὰρ πᾶσα γενικὴ μακρο-
καταλήκτος, ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον, περισπᾶται·
πλήν γε μὴν τῶν ἀττικῶν, λεὼ· νεὼ, ὀξύνεται. Τὸ δὲ ἰωτικὸν τηλικοῦ ω, πε-
ρισπᾶται διὰ τὸ ἐκθλίβεσθαι. Τὸ δὲ ποσειδῶ, εἰδρῶ, κυκεῶ, περισπᾶται· ὡς
ἐξ ἀποκοπῆς ὄντα. Ἡ δὲ δοτικὴ, τῇ ἑνικῇ δοτικῇ ὁμοτονεῖ· πλὴν
τῶν παισὶν· ἐφ' ὧν δὲ τὸ α πλεονάζει, ἐπὶ τῶν παραληγόντων ὁ τόνος· μη-
τράσι· θυγατράσιν. Αἱ δὲ μετὰ περισπωμένας τῶν δοτικῶν προπα-
ροξύνονται· πρόβασιν· ἄστρασιν· εἴκασιν. Τῇ δὲ αἰτιατικῇ ἐπὶ τῶν
αὐτῆς ὁ τόνος, ἐφ' ἧς καὶ τῇ εὐθείᾳ· πλὴν ἔνθα μακρὰ λήγουσα κωλύει·
ἐνταῦθα γὰρ ἐπὶ τῆς ἑπομένης ὁ τόνος· οἱ δίκαιοι τοὺς δικαίους.
Καὶ ἡ κλητικὴ, τῇ εὐθείᾳ ὁμοίως:~

## ΧΡΗ͂ΣΙΣ ΧΡΏΝΩΝ ἐφ' ἑκάστης τῶν πτώσεων.

ΛΗΠΤΕΌΝ δὲ μετὰ τοὺς τονικούς τε καὶ κλιτικοὺς τῶν χρόνων ὁμοίως ἐφ' ἑκά-
στης τῶν πτώσεών τε καὶ κλίσεων· ἐπὶ εὐθείας μὲν οὕτω ὧδε. Τὰ εἰς ας
ἀρσενικὰ βαρύτονα, ἐκτείνει τὸ α· αἴας· αἰνείας· πλὴν τοῦ ἰσμένας· καὶ λᾶας
Πᾶν θηλυκὸν εἰς α λῆγον, ὀξυνόμενον μὲν ἐκτείνει τὸ α· ἀρά· χαρά·
προπαροξυνόμενον δὲ ἢ προπερισπώμενον, συστέλλει· ὁμόνοια· μοῦσα·
εἰ δὲ ἀρσενικὸν ἔχει, τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ ὁμοχρονεῖ· θεῖ-
ος· θείου· θεία· ἡδὺς ἡδέος ἡδεῖα· πλὴν τοῦ δῖα. εἰ δὲ ἀπὸ τῶν εἰς ω ῥη-
μάτων γίνεται, μακροκαταληκτεῖ· πρεσβεύω· πρεσβεία· ὅσα δὲ κα-
θαρὸν ἔχοντα τὸ α, τῇ αι παραλήγει διφθόγγῳ· δισύλλαβα μὲν ὄντα
βραχυκατάληκτα· μαῖα· ὑπερδισύλλαβα δὲ, μακροκαταλη-
κτεῖ, σεληναία. λήγοντα δὲ εἰς ρα, εἰ μὲν μονοφθόγγῳ παραλήγει μα-
κροκαταληκτεῖ, πήρα· εἰ δὲ διφθόγγῳ, βραχυκαταληκτεῖ·
μοῖρα· πλὴν τοῦ φαίδρα, σαύρα· αὔρα. τὰ δὲ εἰς δα, καὶ εἰς θα,
μακροκαταληκτεῖ· λήδα· κισσαίθα· τὰ δὲ ἄλλα πάντα, βραχυ-
καταληκτεῖ.

Τὰ δὲ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ, καὶ τὰ εἰς ον οὐδέτερα, κοινὰ μὲν ὄν-
τα βραχυκαταληκτεῖ, ἀττικὰ δὲ μακροκαταληκτεῖ. Ἔτι τὰ εἰς μα
λήγοντα, οὐδέτερα ἀπαθῆ, βραχυκαταληκτεῖ· καὶ ὅλα τὰ δίχρονα καταλη-

κτα τοῦ δὲ πέρας συνεσταλμένον ἔχει τὸ δίχρονον. Ἔτι τὰ εἰς ᾶς τοῦ δὲ περισπώμενα βραχυκαταληκτεῖ. Ἔτι τὰ εἰς ας ὀξύτονα βραχυκαταληκτεῖ ἀρκάς, ἰθάς, πλὴν τοῦ ἱμὰς ἀνδριάς. καὶ ὅσα ἀπὸ τοῦ κέκραγα. Τὰ δὲ εἰς αξ ἀρσενικὰ μὲν ὄντα, μακροκαταληκτεῖ. θώραξ. πλὴν τοῦ ἱέραξ. ὄρτυξ. ὄνυξ. θηλυκὰ δὲ ὄντα βραχυκαταληκτεῖ. αὖλαξ. πίδαξ. κοινότερον δὲ τὰ εἰς ξ ὑπὲρ μίαν συλλαβὴν δίχρονον πρὸ τοῦ ξ ἔχοντα, ἀρσενικὰ μὲν ὄντα μακρὸν αὐτὸ ἔχει. θώραξ, φοῖνιξ, κῆρυξ, ἧλιξ. θηλυκὰ δὲ, βραχύ. αὖλαξ, κύλιξ, ὄλυξ. πέρδιξ. Τὰ δὲ μονοσύλλαβα, ἀεὶ συστέλλει. φρύξ. Τὰ δὲ εἰς ις βαρύτονα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ, βραχυκαταληκτεῖ. τὸ ὄρνις ἐκτείνουσιν οἱ ἀττικοὶ καὶ τὸ κνημίς, καὶ τὰ ὅμοια συνήθεια. καὶ ὀξύτονα δὲ θηλυκὰ ὄντα διὰ τοῦ δ κλινόμενα, βραχυκαταληκτεῖ. κεραμίς, πινακίς, θηΐς, ψηφίς, κρηπίς, αὐλητρίς. πριαμίς. Ἔτι τὰ εἰς σ λήγοντα μετὰ διχρόνου καὶ ἀποβολῇ τοῦ σ ποιοῦντα οὐδέτερον, συνεσταλμένον ἔχει τὸ δίχρονον. ἡδύς, ἡδύ. μέγας, μέγα. Ἔτι τὰ εἰς υς βαρύτονα εἴτε μονογενῆ εἴτε τριγενῆ βραχυκαταληκτεῖ. βότρυς. πῆχυς. δάκρυς. Τὰ δὲ εἰς υς μονοσύλλαβα καὶ μὴ, ἐὰν ὀξύτονα ᾖ, μακροκαταληκτεῖ. σῦς. μῦς. δρῦς. ὀφρῦς. Ἔτι πᾶν ἀρσενικὸν καὶ θηλυκὸν εἰς ἀμετάβολον λῆγον, μακροκαταληκτεῖ, πλὴν τοῦ μάκαρ. καὶ δάμαρ. ἔτι τὰ εἰς ψ λήγοντα μετὰ διχρόνου, μακροκαταληκτεῖ, μετά γε μὴν τοῦ ο, βραχυκαταληκτεῖ. πλὴν τῶν ἀπὸ τοῦ ὤπα τοῦ σημαίνοντος τὸν ὀφθαλμόν. οἷον κύκλωψ. ἐξαιρείσθω τὸ κέρκωψ. καὶ κώνωψ. καὶ σκώψ. Ἡ δὲ γενικὴ ἰσοσυλλαβοῦσα μὲν τῇ εὐθείᾳ μακροκαταληκτεῖ. περιττοσυλλαβοῦσα δὲ, βραχυκαταληκτεῖ. ἡ δὲ δοτικὴ τῶν μὲν ἰσοσυλλάβων ἀεὶ μακροκαταληκτεῖ. ἤτοι γὰρ παρὰ τῆς εὐθείας φωνήεντι προσφθεγγομένῳ. αἰνείας, αἰνείᾳ. ἢ ἐν μείζονι λόγου λόγῳ. τῶν δὲ περιττοσυλλάβων, ἀεὶ βραχυκαταληκτεῖ. τὸ δὲ θέτιδι μήτι, ἐκ συναιρέσεως. Ἡ δὲ αἰτιατικὴ τῶν μὲν ἰσοσυλλάβων, ὁμόχρονος τῇ εὐθείᾳ. αἰνείας, αἰνείαν. τῶν δὲ περιττοσυλλάβων, ὁμόχρονος τῇ γενικῇ. αἴαντος, αἴαντα. ὅθεν δῆλον ὅτι ἀθηναῖοι ὅτι τὸ ἀχιλλεῦ μακρογραφοῦσι, μακρὸν λαμβάνουσι τὸ α τῆς αἰτιατικῆς τῶν εἰς εὺς, ἵνα ἰσόχρονος τῇ γενικῇ ᾖ. καὶ μὲν δὴ ἀρκεῖ τοῦ δὲ τοῦ

λέα τέλεια. Κλητικὴ δὲ πᾶσα τὸν ἴσον χρόνον τῇ ἰδίᾳ εὐθείᾳ ἔχει. οὐ καὶ ἐλάττονα μείζω δὲ, οὐδέποτε. διὸ καὶ τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τὸ σ γενικῆς τὴν ἐσχάτην, ποιεῖ τὴν κλητικήν. νέστορος, νέστορ. ἄρσενος, ἄρσεν. μάχαονος, μάχαον. πλὴν τοῦ ἀπόλλων. πόσειδον. Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν καὶ πληθυντικῶν. τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ. τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ. Ἡ γενικὴ δὲ μακροκαταληκτεῖ. τῶν μὲν δυϊκῶν, τῇ αι ἢ τῇ οι διφθόγγῳ. τῶν δὲ πληθυντικῶν, τῷ ω. Ἡ δὲ πληθυντικὴ δοτική, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ τῇ διφθόγγῳ. τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ τῷ ι. ὅλως δὲ τὴν παραλήγουσαν ἰσοχρονεῖ ταῖς αἰτιατικαῖς πλαγίαις. ἐνίοτε δὲ καὶ μείζω ἔχει τὸν χρόνον. ὡς ἐπὶ τοῦ λέοντος, λέουσι. καὶ λέγοντος, λέγουσι. Ἡ δὲ αἰτιατικὴ τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ ἀεί. τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ, διὸ καὶ λέγεται, ὅτι αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ἐκτείνουσι τὸ α τῶν αἰτιατικῶν. αἱ δὲ εἰς ες, συστέλλουσιν.

Ἡ δὲ κλητική, ὡς εἴρηται. Ἔτι τοὺς ἀρκτικοὺς τῶν χρόνων καὶ παραλήγοντας καὶ ὅλως μεταξὺ ὄντας θεωρητέον. τοὺς ὁμοίως λεγομένους. ἔτι τὸ στερητικὸν α βραχύ. εἰ μὴ διὰ μέτρον μηκύνοιτο οἷον καὶ τὸ ἀθάνατος. Ἔτι τὸ α πρὸ τοῦ β ἢ μ, συστέλλεται. ἄβυδος. ἅμιλλα. πλὴν τοῦ ἀμνός. Καθόλου δὲ πᾶν δίχρονον ἐκ κράσεως ὄν, ἐκτείνεται. μάτι. ἱρόν. ἵρηξ. εὐκλεᾶ. τὸ δὲ δυσκλέα καὶ νηλέα, οὐ κατὰ κρᾶσιν, ἀλλ᾽ ἐξαιρέσει τοῦ ε. Ἔτι τὰ εἰς ος καθαρὸν ὀξύτονα, τῷ α παραλήγοντα, μακροπαραληκτεῖ. καὶ ὅλως τὰ δίχρονα παραλήγοντα, οὕτως. ναός, κειός. ἰός, πλὴν τοῦ βίος. Ἔτι τὰ εἰς μα καθαρὸν, οὐδέτερα φύσει μακρᾷ μάλιστα παραλήγεται, ἄλλως τε καὶ σύστοιχα ὄντα, τῶν ἀπὸ τοῦ παρακειμένου εἰς μος ἀρσενικῶν, οἷον θῦμα. ξῦμα. λῦμα. χῦμα. ἐξαιρείσθω τὰ ἀπὸ τῶν εἰς μι θέμα. δόμα. καὶ πρὸς τούτοις τὸ στόμα, αἷμα. τὰ δὲ εἰς μη καθαρόν. φύσει βραχέα ταῦτα. δόγμα. βρέγμα. Τὰ μὲν εἰς ον συγκριτικά, οὐδέποτε φύσει μακρῷ παραλήγεται διχρόνῳ. πλὴν τοῦ θᾶττον. Τὰ μέντοι εἰς ων καθαρὸν συγκριτικὰ μακρὰν ἔχει τὴν παραλήγουσαν. βελτίων.

Ἔτι τὰ εἰς ος δισύλλαβα οὐδέτερα τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ· χάος· φάος· πλὴν τοῦ φᾶρος. Ἔτι τὰ εἰς αριον ἐσχηματισμένα ὑποκοριστικὰ συνεσταλμένον ἔχει τὸ α· ἱππάριον· φυλλάριον· πλοιάριον. Ἔτι τὰ εἰς ρος καθαρὸν δισύλλαβα ἀρσενικὰ τῷ α παραλήγοντα, βραχυκαταληκτεῖ· ταρός, λαρός.

Ἔτι τὸ πρὸ τοῦ τ ἰῶτα βραχὺ ἀρκτικὸν ὄν· ἴτυς· ἰτέα· ἴξιον. Τά γε μὴν εἰς ιτης σχηματιζόμενα μεσοσυλλαβοῦντος τοῦ ι παραλήγοντος μακροπαραληκτεῖ· πλὴν τῶν ἀπὸ ὀξυτόνου συνθέτων· δικαιοκρίτης· ἔστι γὰρ βραχεῖ· ὅτι ἀπὸ τοῦ κριτής. Τὰ δὲ ἀπὸ ῥημάτων διφθογγογράφων γινόμενα διὰ τοῦ ι, βραχὺ τὸ ι ἔχει· εἰ δὲ σῖτος ἀπὸ τοῦ σείειν, οὐδὲ τοῦτο καθόλου· ἔστι γε μὴν ὡς ἐπὶ τὸ πλεῖστον τὰ ὀνόματα βραχύτερα τῶν ῥημάτων ἀφ' ὧν παράγονται· πείθω, πιθανός· λείχω, λιχανός. Ἔτι τὰ εἰς ιος, εἴτε παροξύτονα εἴτε προπαροξύτονα, βραχεῖ παραλήγει· πλὴν τοῦ δῖος· κῖος· χῖος· τῖος· ἐκ συναιρέσεων ὄντων. Ἔτι τὰ εἰς ιον οὐδέτερα ὑποκοριστικὰ εἴτε παροξύτονα εἴτε προπαροξύτονα, βραχεῖ παραλήγει· θηρίον· γραμμάτιον. Ἔτι εἰς ιας ἀρσενικὰ βαρύτονα τῷ ι παραλήγοντα βραχυπαραληκτεῖ· κοχλίας. Ἔτι τὰ εἰς ιμος παράγωγα ὑπερδισύλλαβα ἁπλᾶ συστέλλει τὸ ι· ἄνθιμος, ἄλκιμος· κύδιμος· πρόϊμος· τὸ δὲ ἄτιμος· βούλιμος· ἴφθιμος· σύνθετα. Ἔτι τὰ εἰς ινος ὑπερδισύλλαβα, ὀξύτονα, καιροῦ τι ὥρας ὀνομαστικά, βραχυπαραληκτεῖ· ἐαρινός, θερινός· νυκτερινός. Εὕρηται μέντοι καὶ ἐκτεινόμενα παρὰ ποιηταῖς ταῦτα.

Βαρύτονα δὲ ὄντα εἴτε δισύλλαβα εἴτε μή, μακρᾷ παραλήγει· πλὴν τοῦ κάρκινος, καὶ πίνος. Ἔτι τὰ εἰς ινη ὑπερδισύλλαβα, μακρᾷ παραλήγει· ἡρωΐνη· μολυβδίνη· πλὴν τοῦ ἐλατίνη· καὶ τῶν ἐπὶ πόλεων. Ἔτι τὰ εἰς λος· εἴτε τὸ ι εἴτε τῷ υ βραχεῖ παραλήγει.

Τά γε μὴν εἰς υλον οὐδέτερα μακροπαραληκτεῖ· σκῦλον· φῦλον· πλὴν τοῦ ξύλον. Ἔτι τὰ εἰς της εἴτε τῷ ι εἴτε τὸ υ, μακροπαραληκτεῖ· πολίτης· πρεσβύτης· πλὴν τοῦ κριτής· καὶ τῶν ἀπὸ τούτου.

Ἔτι τὰ εἰς μος καθαρὸν δισύλλαβα τῷ υ παραλήγοντα, μακροπαραληκτεῖ· χυμός· θυμός· ὅλως τι τὰ ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου ἀρσενικὰ, εἰς μος μακρὰν βούλεται ἔχειν τὴν παραλήγουσαν, ἤτοι φύσει ἢ θέσει· διὸ καὶ ὅσα μὲν οὐ προσλαμβάνοντα τὸ σ, μηκύνεται· δέδεμαι, δεσμός· ὅσα δ' οὖν αὐτὴν ἐκτείνει τὴν παραλήγουσαν ἐπὶ τὸ φύσει μακρόν· τέθυμαι, θυμός· λέλυμαι· λυμός· ἔρρυμαι, ῥυμός, κέχυμαι, χυμός.

Ἔτι τὰ εἰς υνος δισύλλαβα μακροπαραληκτεῖ· φρῦνος, θῦνος· πλὴν τοῦ πλυνός, καὶ ὑπὲρ δισύλλαβα δὲ ὄντα μακρᾷ παραλήγει· κίνδυνος, ἀνώδυνος, πάχυνος· διὸ καὶ τὸ βόθυνος ἀμαλόστως ἐκτείνουσιν οἱ ἀττικοί· τὸ δ' ἀνδρόγυνος, λάγυνος· καὶ τὰ ὅμοια, τὸν τοῦ γύνη ἔχει χρόνον. Ἔτι τὰ εἰς υνη δισύλλαβα μακροπαραληκτεῖ· μύνη, φρύνη· πλὴν τοῦ γύνη, τὰ δ' ὑπὲρ τὴν δισυλλαβίαν, συστέλλεται· δικαιοσύνη, βριθοσύνη, κορύνη. Ἐπὶ δὲ τῆς γενικῆς καὶ τῶν ἄλλων πλαγίων οὐκ αἰεὶ τὰ δίχρονα οἷα ἐπὶ τῆς εὐθείας· ἀλλ' ἔνια, μὲν μακρὰ ὄντα συστέλλεται, ἔνια δὲ ἀνάπαλιν· οἷον τὰ εἰς ιξ· ἅπαντα μακρᾷ παραλήγει· καίτοι διφορούμενα ἐπὶ εὐθείας, ὡς εἴρηται· φοίνικος· κήρυκος.

Ἔτι τὰ εἰς ις, ὀξύτονα θηλυκὰ δισύλλαβα τῷ δ κλινόμενα φύσει μακροπαράληκτα· καὶ μήτε ὑποκοριστικὰ, μήτε κύρια, ἐπὶ μὲν τῆς εὐθείας βραχὺ ἔχει τὸ ι, ἐπὶ δὲ τῆς γενικῆς φύσει μακρόν· κνημῖδος, κληῖδος, βαλβῖδος, ἀπὸ γὰρ τοῦ βηλοῦ· τοὐναντίον δὲ τὰ εἰς ψ, βραχεῖα γάρ, ἰπὶς, ἶπος· ὥσπερ αὖ καὶ τὰ μονοσύλλαβα· μυός, δρυός· πλὴν τῶν δικαταλήκτων· καὶ τὸ φόρκυν δὲ καὶ πόλτυν, πλαγιαζόμενα ἐκτείνεται· καὶ μὲν δὴ καὶ τὰ τῶν ἐπιθέτων τρισύλλαβα πάντα, βραχὺ τὸ ι σώζει· εἴτε μακρᾷ, εἴτε βραχείᾳ παραλήγουσαν τὴν εὐθεῖαν ἔχοντα· αὐλωπίδος· στρατηγίδος· τὰ δὲ μὴ παραλήγοντα ἅμα προπαραλήγοντα βραχείᾳ, ἐκτείνει ἐπὶ τῆς γενικῆς· ὡς τὸ πλοκαμῖδος· γίνεται δ' ὅμως τούτοις βραχὺ τὸ ι φυλάττουσιν· ἐπεντιθέντες τὸ η ποταμηίδος· παρασηίδος.

Καθόλου δὲ πρὸ ἀμεταβόλου τοῦ σ ἐπιφερομένου μα-

χρόνον τῶν διχρόνων οὐδὲν εὕρηται κείμενον. Τὸ δὲ ω. ὅσα μὲν τῶν εἰς ων ἀρσενικῶν βαρυτόνων παρώνυμα, μακρὸν τοῦτο φυλάττει καὶ ἐπὶ γενικῆς. καὶ ἐπὶ τῶν ἄλλων πλαγίων. θίων, θίωνος. Ὅσα δὲ ῥηματικὰ ἢ κοινὰ τοῦ γένους, μεταβάλλει εἰς τὸ βραχύ. φιλήμων. φιλήμονος. σώφρων σώφρονος. φυλάττει δὲ τὸ μακρὸν καὶ τὰ περιεκτικά. καὶ τὰ ὡς περιεκτικά. ἐλαιῶνος. ἀσκῶνος. Καὶ τὰ ἐκ συναιρέσεως. ποσειδῶνος ξενοφῶντος. ἔτι τὰ βαρύτονα θηλυκά. μήκων, μήκωνος. Καὶ ὀξύτονα δὲ πόλεων ὀνόματα ὄντα φυλάττει. σιδὼν, σιδῶνος. πλὴν τοῦ ἀνθηδόνος καὶ ὀλοσσόνος. Ἔτι τὰ εἰς τι τῶν μέσων συμφώνων ἔχοντα συλλαβὴν ὄντα. τρίβων. στράβων. κώθων. πλὴν τοῦ σηπεδὼν, καὶ μυκηδὼν, καὶ ὅλως τῶν ῥηματικῶν τε καὶ ἐθνικῶν, ἔτι κοινῶν τοῦ γένους. Ἔτι τὰ εἰς τι τῶν ψιλῶν, λάκων, στίλπων, πλάτων. πλὴν τοῦ πέπων. Ἔτι τὰ εἰς τι τῶν δασέων καθαρόν. κείθων. τρύφων, γλίχων. Ἔτι τὰ εἰς τι τῶν ἀμεταβόλων καθαρόν. ἄλων. σόλων, ἀπόλλων, ἄμμων, ζήνων, τρήρων. ἐξαιρείσθω τὰ συγκριτικὰ καὶ ῥηματικὰ καὶ κοινὰ τοῦ γένους. καὶ τὸ στήμων. καὶ τέλμων. καὶ στρυμών. Ἔτι τὰ εἰς σων, τὸ μακρὸν φυλάσσει. καύσων. βρύσων. πλὴν τοῦ ἰάσων καὶ αἴσων, ῥηματικὰ γάρ. Ἔτι τὰ τῷ αι ἢ τῷ ι παραλήγοντα καθαροκατάληκτα. αἰγαίων, ἀνδροτίων. πυγμαλίων. ἰών. πλὴν τοῦ ἰξίων, ἀμφίων, ὑπερίων. πανδίων. Καθόλου δὲ τὰ καθαροκατάληκτα ὀξύτονα, φυλάσσει. ἀπατεών. εἰ μὴ δ' ἂν ταῦτα καὶ ὡς περιεκτικὰ καὶ τὰ μονοσύλλαβα. πρών. Τὰ δὲ μὴν ἄλλως ὀξύτονα θηλυκὰ εἰς τὸ βραχὺ μεταβάλλει. τρυγὼν, τρυγόνος. Ἔτι τὰ εἰς ων καθαρὸν βαρύτονα τῷ α παραλήγοντα, συστέλλεται. ποσειδάονος. μαχάονος. καὶ ὅλως τὰ εἰς ων καθαροκατάληκτα, ἢν μακρῷ παραλήγῃ διχρόνῳ εἰς τὸ βραχὺ τρέπεται. ὁ ἰξίονος. καὶ περικτίων δὲ, καίτοι βραχεῖα παραλήγει. Καὶ τὰ συγκριτικὰ πάντα. κρείττονος. βελτίονος. τὰ δὲ βραχυπαραληκτοῦντα, τὸ μακρὸν σώζει. εὐρυτίωνος. Ἔτι τὰ εἰς ων παραλήγοντα τῷ υ, ὀξύτονα μὲν, συστέλλεται. ἀμφικτυών, ἀλεκτρυών. παροξύτονα δὲ, οὐ. ἀμφικτύων, ἠλεκτρύων.

Ἔτι τὰ παραλήγοντα τῷ η, εἴτε ὀξύτονα εἴτε παροξύτονα· σαρπηδών· πευκήνων. Καὶ τὰ ἐθνικά, πλὴν τοῦ καύκων· μάκων· λάκων· καὶ τὰ δύο σύμφωνα διάφορα ἔχοντα· λυκόφρων· ἐνοσίχθων. Ἔτι τῶν εἰς ωρ βαρυτόνων ὅσα μὲν ἔχει τὸ λ ἢ τὸ μ, ἐσχάτου συλλαβοῦ, μακρὸν αὐτὸ φυλάττει τὸ ω, καὶ ἐπὶ τῆς γενικῆς· ἕλωρος· τέκμωρος· ὅσα δὲ μή, εἰς τὸ βραχὺ τρέποντα κλίνεται· νέστορος. Ἔτι τὰ εἰς ως κλινόμενα, ἢ τῷ καθαρῷ ἢ τὸ τ, τὸ μακρὸν σώζει· ἥρωος, ἱδρῶτος. Τά γε μὴν εἰς ωψ ὡς ἐπὶ τῆς εὐθείας, οὕτω καὶ ἐπὶ τῆς γενικῆς ἔχει.

## ΤΟΝΟΣ ῬΗΜΑΤΟΣ ἘΝΕΣΤΩΣ.

ΤΩΝ δὲ εἰς ω ῥημάτων χρονικῶς μὲν κλινομένων, κοινὸν τὸ παροξύνεσθαι ἐπὶ ἐνεστῶτος ἀπαθῶν ὄντων· τὰ γὰρ συνῃρημένα περισπᾶται ὥσπερ καὶ τὰ ὀνόματα, ὅτι τὸ πᾶν ῥῆμα μακροκατάληκτον ἐπὶ τῆς μακρᾶς ἔχον τὸν τόνον περισπᾶται· πλὴν τοῦ χρή. ἴδιον δὲ τῶν πεμπτοζύγων· τὸ προπαροξύνεσθαι· ἵστημι· τίθημι, πλὴν τοῦ εἰμὶ καὶ φημὶ ὀξυτόνων, καὶ παθητικῶς δὲ διατιθέμενα καὶ ὥσπερ κλινόμενα, φυλάττει τὸν τόνον, ἔτι ἐπὶ τῆς αὐτῆς ἅπαντα· λέγω γε, λέγομαι· δίδωμι, δίδομαι. Ὁ δὲ παρατατικὸς, προπαροξύτονος ἀεὶ εἰ μή τι κωλύοι, διὸ καὶ συλλαβικῶς μὲν αὐξανομένῳ ἐπὶ τὸ προσληφθὲν ὁ τόνος ἀναβιβάζεται· τύπτω, ἔτυπτον· χρονικῶς δὲ, ἐπὶ τὸ αὐξανόμενον αὐτὸ ἀρκτικὸν φωνῆεν· ἀκούω, ἤκουον. Τῶν δὲ μελλόντων, ὁ μὲν ἐνεργητικὸς παροξυτόνως ὁ πρῶτος τύψω, περισπωμένως δέ τοι ὁ δεύτερος, τυπῶ· ὁ δὲ παθητικὸς προπαροξυτόνως, τυφθήσομαι· καὶ τῶν μέσων δὲ ὁ πρῶτος ὁμοίως τύψομαι· ὁ δεύτερος δὲ προπερισπωμένως· τυποῦμαι, ἐξαιρείσθω τὰ τεταρτόζυγα. Τούτων γὰρ ἴδιον τὸ τὸν μὲν ἐνεργητικὸν πρῶτον περισπᾶσθαι· ψαλῶ· τὸν δὲ μέσον πρῶτον προπερισπᾶσθαι· ψαλοῦμαι. Τῶν δὲ ἀορίστων, ὁ μὲν ἐνεργητικὸς προπαροξυτόνως, εἰ ἐγχωρεῖ· εἰ δὲ μή, παροξυτόνως γε· ἔτυψα· ἔθηκ, ὁ δὲ μέσος, καὶ ὁ παθητικὸς, παροξυτόνως· ἐτυψάμην, ἐτύφθην. Καθόλου δὲ ὁ μὲν παρακείμενος προπαροξυτόνως· ὁ δὲ ὑπερσυντέλικος παροξυτόνως. Ἐν δὲ συνθέσει τὰ τροχαϊκὰ προπερισπώμενα οὐκ ἀναβιβάζει τὸν τόνον, καθάπερ

καὶ τὰ ὀνόματα ἀναβιβάζει· εἶπε, κάτειπε, ἔχε, κάτεχε. πλὴν τῶν οἶδα· ἔνιοι δὲ οὐ προπαροξυτόνως· ἀλλ' οἶδα, σύνοιδα. καὶ κεῖμαι, πρόσκειμαι. ἔγκειται γὰρ τὸ κεῖσθαι ἀναβιβάζει· προσκεῖσθαι οὐ προπερισπωμένως.

Προσωπικῶς δὲ κλινομένων, κοινὸν ἅπαντα τὸ ἐπὶ τῆς αὐτῆς φυλάττει δὲ διόλου· εἰ μὴ τι παρὰ συλλαβία ἢ μακρὰ ἐστί τι κωλύοι. οὕτω γὰρ ἀεὶ ἐπὶ τῆς ἐν μήκει ὁ τόνος. τύπτομαι, τυπτόμεθα. ἐτύπτεσθον. ἐτυπτέσθην. Ἐγκλιτικῶς δὲ κλινομένων, τὸ μὲν προστακτικόν, προπαροξυτόνως, ἔνθα ἂν ἐγχωρῇ· μὴ ἐγχωροῦν δέ, παροξυτόνως· τύπτε, τέτυφε. πλὴν τοῦ δευτέρου τοῦ μέσου ἀορίστου· περισπωμένου· τυποῦ. ἐξαιρείσθω καὶ τὸ εἰπέ. λαβέ. ἐλθέ. εὑρέ. ἰδέ. ὀξυτόνως γάρ.

Τὸ δὲ εὐκτικὸν καὶ ὑποτακτικὸν καὶ ἀπαρέμφατον ἐπὶ τῆς αὐτῆς τονιστέον, ἐφ' ἧς καὶ τὸ ἀρχικὸν ῥῆμα τυγχάνει ἔχον τὴν τάσιν, ἢν μηδὲν κωλύῃ. πλὴν τῶν εἰς ναι ἀπαρεμφάτων. ταῦτα γὰρ ἐπὶ τῆς παραληγούσης· τυπῆναι. καὶ πλὴν τοῦ δευτέρου ἀορίστου καὶ μέλλοντος· περισπῶνται γάρ· τυπεῖν. καὶ τοῦ μέσου· τυπεῖσθαι οὐ· καὶ τυπέσθαι.

## ΧΡΟΝΟΣ ῬΗΜΑΤΟΣ ΛΗΚΤΙΚΟΣ.

Χρόνος δὲ ῥημάτων τοιοῦτος· πᾶν ῥῆμα εἰς ω μὲν λῆγον, μακροκαταληκτεῖ· εἰς ον δὲ, βραχυκαταληκτεῖ. εἰ μὴ συνῃρημένων εἴη· οἷον, τὸ ἐβόων. ἐτίμων. ἐξαιρείσθω ὁ δεύτερος ἀόριστος τῶν ο πεμπτοζύγων· ἔδων. ἔγνων. Τὰ δὲ εἰς ι λήγοντα βραχυκαταληκτεῖ· ἵστημι. δίδωμι. Τὸ φιλόμενον α τοῦ ἀορίστου, βραχὺ ἀεί. Πᾶς παρακείμενος βραχυκαταληκτεῖ. Ἔτι τὰ δεύτερα τῶν προστακτικῶν προσώπων βραχυκαταληκτεῖ. πλὴν τοῦ παθητικοῦ ἐνεστῶτος· καὶ τοῦ μέσου ἀορίστου δευτέρου. Τὰ πρῶτα τῶν εὐκτικῶν εἰς μι μὲν λήγοντα, βραχυκαταληκτεῖ· εἰς ην δὲ, μακροκαταληκτεῖ· τύπτοιμι. τυφθείην. Τὰ ἀπαρέμφατα μακροκαταληκτεῖ. πλὴν ὅσα ἡ αι δίφθογγος ἀντὶ βραχέος ἐσχάτη συλλαβοῦσα λαμβάνει.

Ἔτι τῶν προσώπων, τοῖς μὲν ἑνικοῖς καὶ δυϊκοῖς τρίτοις τῶν προστακτικῶν, μακρὸν μὲν τὸ λῆγον· βραχὺ δὲ φύσει παραλῆγον. τοῖς δὲ πληθυντικοῖς τρίτοις, ἀνάπαλιν. Τοῖς δ' ἄλλοις ἅπασιν, ἑνικῶς μὲν κλινομένων, μακρὸν τὸ λῆγον· πλὴν ὅσα ἡ οι ἐσχάτη συλλαβοῦσα ἀντὶ βρα-

ε ζ

χοι λαμβάνεται· καὶ πλὴν τοῦ ξίφους τῶν μετὰ τοῦ ξ ζυγῶν· ἵστησι· τίθησι· δείκνυσι δὲ ἀπαρεμφατικῶς, βραχύ· πλὴν τῶν εἰς ῦν δεικνῦν καὶ ὑποθετικοῦ· ἐτυπτέτην· ἐτυπτέσθην· τύπτοιεν. Ἴδιον δὲ τῶν λοιπῶν καὶ αἱ, τὸ πάλαι καὶ οὕτως ἀντὶ βραχέων λαμβάνεσθαι· πλὴν τῶν συνηρημένων· καὶ νικᾷ, καὶ ἐπιρρημάτων· σαπφοῖ· πύξοι· οἴκοι· ὀξυγραφέσθω τὸ πάλαι ἐπίρρημα βραχυκαταληκτεῖ· ὅθεν καὶ τὸ πρόπαλαι προπαροξυτόνως τονίσαι ὀξύν. Ἔτι τὰ μὲν εἰς ᾶω, ἔχοντα πρὸ τοῦ α φωνῆεν ἢ τὸ ρ συλλαβιζόμενον, μακρᾷ παραλήγει· ἐάω· περάω· εἰ δὲ μή, βραχυπαραληκτεῖ· ἐλάω. Τὰ δὲ εἰς ω καθαρὸν βαρύτονα ὑπερδισύλλαβα, τὰ τῷ ι παραλήγοντα βραχεῖ, παραλήγει· κυλίω· κονίω· μηνίω· πλὴν τοῦ ἰσθίω. Ἔτι τὰ εἰς ιῶ περισπώμενα· ἰδιῶ· ἐστιῶ· ἐρυθριῶ· ἀνιῶ. Ἔτι τὰ εἰς ῶ καθαρὸν περισπώμενα, τῷ ο παραλήγοντα· βοῶ· ἐὰν μὴ ἀπὸ ὀνόματος εἰσί· ζῶ γὰρ καὶ θῶ, τῷ μακρῷ· ὡς ἀπὸ ὀνομάτων τοῦ ζωὴ καὶ θωή· κἂν ἐπίθεσις δὲ ποιητικὴ γένηται, ὁμόχρονος δὴ τῷ ὑπάρχοντι παραληκτικῷ ἔσται· βραχεῖα γάρ, ἂν βραχύ· ὁρόω· βοόω, μακρὰ δέ, ἂν μακρόν· μαιμώω· ἱδρώω· ἡβώω· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν εἰς ᾶ ληγόντων προσώπων· βοάα· μαιμάα. Ἔτι τὰ εἰς ανω ὑπερδισύλλαβα· λαμβάνω· ἁνδάνω· πλὴν τοῦ ἱκάνω καὶ κιχάνω. Ἔτι τὸ προστιθέμενον α ἰωνικῶς τοῖς ῥήμασι βραχύ· τετύφαται· ἐτετύφατο· τιθέασι· τὸ δὲ ἱστᾶσι καὶ βοᾶσι κατὰ συναίρεσιν. Ἔτι τὸ ε ἐπομένου δισυμφώνου, ἀεὶ βραχύ· διαπάζω. Ἔτι τὰ εἰς ωζω, τῷ μακρῷ· σώζω· πλὴν τοῦ διαπάζω· ὄζω· ἁρμόζω. Ἔτι τὰ εἰς ύνω ὑπερδισύλλαβα βαρύτονα μακρᾷ παραλήγει· ὀξύνω· πραΰνω· μολύνω· τὸ δὲ θύω καὶ λύω λεγόμενα καὶ δακρύω· καὶ κωκύω· διαφορεῖται τὸν χρόνον. Τὰ μέντοι εἰς νῶ περισπώμενα μακρᾷ παραλήγει· κοινῶ· πενῶ· καὶ ὅλως τὰ εἰς ινω· κρίνω· κλίνω. Ὥσπερ δὲ οὐ πάντα τὰ δίχρονα ἐπὶ τῆς γενικῆς οἷά ἐστιν ἐπὶ τῆς εὐθείας, οὕτως οὐδ᾽ ἐπὶ τοῦ ἐνεστῶτος καὶ μέλλοντος ἴσα ἀεί· ἀλλὰ τὸ θύω καὶ λύω καὶ κωκύω, διαφορούμενα ἐπὶ τοῦ ἐνεστῶτος, ἐπὶ τοῦ μέλλοντος μακρᾷ ἀεὶ παραλήγει.

Ἔτι τὰ εἰς ιῶ περισπώμενα, οἷον κυλιῶ· κονιῶ· ἐπὶ τοῦ μέλλοντος μα-

κροκαταληκτεῖ. διὰ δὲ οὐ λέγει, ὅτι τὰς μὲν βαρύτονος, ἢ τὴν ἴ-
σην παραλήγουσαν ἔχει τῆς γενικῆς ὥστε, ἢ μείζω. ὁ δέ γε τὶς δὲ ἐλάσσω.
Ἔτι τὰ εἰς ίνω, βραχεῖα παραλήγει, καὶ ὅλως τὰ τετρασύλλαβα. ὅθεν
τὸ κεκέρικα μὲν, τὸ ἐκείθην, βραχεῖα παραλήγει. καὶ τὰ ἀπὸ τούτων
ὀνόματα κείσις καὶ κεῖμα. ἐκεῖνα δὲ καὶ κεῖναι, μακρᾷ. Ἔτι τὰ
εἰς πλέω τῷ υ παραλήγοντα ὑπὸ τοῦ παρακειμένου, μακρᾷ φύσει
παραλήγει. τύπτω, τέτυφα, κύπτω, κέκυφα. τὸ γὰρ οἱ ἀθηναῖοι
σφόδρα ἐγκεκυφότες. Ἔτι τοῖς περὶ τὸ κ συλλαβιζομένην ἔχοντα
τὴν λήγουσαν, μακρᾷ παραλήγουσι, εἰ ἀποβολὴ γένοιτο τοῦ κ, συ-
στέλλει τὴν παραλήγουσαν. ἕστηκα, ἕστα. βέβηκα, βέβαα. τέθνηκα,
τέθνεα, δέδοικα, δέδια. Ἔτι τοῖς περὶ τὸ ἀπαθὲς τῶν ἀπαρεμ-
φάτων βραχυπαραληκτεῖ. τετυφέναι. πεποιηκέναι. Καὶ πρὸς
τούτοις ὁ διπλασιασμὸς διὰ βραχέος. καὶ ὅλως αἱ κατὰ τὰς ἀρχὰς τῶν
παρῳχημένων προστιθέμεναι συλλαβαὶ βραχεῖαι.
Ὁ μὲν πρῶτος ἀόριστος, ὡς τὰ πολλὰ μακρᾷ παραλήγει. μὴ λανθανέ-
τω δὲ τὸ ἤνυσα καὶ ἔφρασα, καὶ ἔπλυσα, βραχυπαραληκτοῦντα. μὴ
δὲ τὸ ἐπήνεσα, καὶ ἐπέλασα, καὶ ἤροσα. Ὁ δὲ δεύτερος ἀπὸ θέματος
ὢν βαρυτόνου βραχεῖα. δεῖ δὲ τὸν αὐτὸν καὶ ὑπερδισύλλαβον εἶ-
ναι. ἄλλως γὰρ οὐ καθόλου. εἰ δὲ ἦν γὰρ τῶν μακρῶν, καὶ εἶλον καὶ εὗρον.
καὶ οἶκον. καὶ ἦλθον, καὶ εἶπον. καὶ ἦγον. ὅθεν τὸ ἤγαγον. θέσει μὲν.
κἂν ἔνια τῶν δισυλλάβων μακροπαραληκτοίη. οἷον ὧν τὰ θέματα
τὴν ληκτικὴν συλλαβὴν ἐκ δύο ἀφώνων ἔχει. καὶ πρὸ τοῦ ἀφώνου ἀμε-
τάβολον τὸ ρ. ἥμαρτον. ἔπαρθον. ἔδρακον. ἥμαρπον. τὸ δὲ ἔπρα-
θον καὶ ἔδρακον, ποιητικὰ συνῳδὰ μέν τοι γε τῷ βραχύνοντι λό-
γῳ. οἷον δὲ καὶ τὸ ἤμβροτον μεταβολῇ τοῦ α, καὶ ἐπενθέσει τοῦ β, διὰ
τὸ ἀσύμφωνον εἶναι τὸ μ. Ἔτι τὰ εἰς θι προστακτικὰ, καὶ τὰ εἰς
ναι ἀπαρέμφατα ἀορίστου ὄντα, φύσει μακρᾷ παραλήγει. γνῶθι.
φάθι. κεῖναι. λεῖναι. φᾶναι. πλὴν τῶν ἐν τοῖς μιπροζύγων. θέτι ἴστω
δὲ, καὶ τὰ κατὰ μεταπλασμόν. κλῦθι. δῦθι. καίτοι ἀπὸ τοῦ κλύε.
καὶ δύε. τὸ δὲ κέκλυθι βραχύνει. καὶ τὸ ὄρνυθι καὶ ἴθι. Τὰ μὲν εἰς αναι.
καὶ ῦναι. τῶν μιπροζύγων, βραχυπαραληκτεῖ. ἱστάναι. ζευγνύναι. κα-

θέσπερ καὶ τὸ τιθέναι καὶ διδόναι. Καθόλου γὰρ οἱ τῆς πέμπτης ἀπαρέμφατοι ἐνεστῶτος, βραχυπαραληκτοῦσι· τὸ δὲ εἶναι, ἅτε δισύλλαβον τοῖς δισυλλάβοις τῶν ἀορίστων ἀκολουθῆσαι, μακροπαραληκτεῖ. Ἔτι πᾶν ῥῆμα εἰς μαι λῆγον, εἰ πρὸ τοῦ μ τὸ ο ἔχει, βραχυπαραληκτεῖ, πλὴν τῶν ὑποτακτικῶν· καὶ ὅλως τὸ πρὸ τοῦ κλιτικοῦ μ ἀπαθὲς ο βραχύ· τύπτομαι, τυπτόμενος.

## ΤΌΝΟΣ ΚΑῚ ΧΡΌΝΟΣ ΜΕΤΟΧΗ͂Σ.

Μετοχὴ δὲ ἐπειδὴ τῇ μὲν, τοῦ ὀνόματος μετέχει, τῇ δὲ, τοῦ ῥήματος, κοινὰ δὴ ἔχει καὶ τὰ πολλὰ τῶν περὶ ἐκείνων εἰρημένων. Ἴδιον ἐστὶ μάλιστα ταύτης, τὸ συστέλλεσθαι τὴν γενικὴν ἀπαθῆ οὖσαν· λέγων, λέγοντος· καὶ τὸ τὴν αὐτὴν ἔχειν ὀνομαστικήν τε καὶ κλητικὴν φωνῇ τε καὶ χρόνῳ καὶ τόνῳ· τοῦτο δὲ γε κοινὸν καὶ πρὸς τὰ μετοχικὰ ὀνόματα· καύσων. τὸ δὲ μεμαῶτος καὶ τεθνεῶτος καὶ βεβαῶτος, καὶ τὰ τοιαῦτα ποιητῶν· τὸ γὰρ πρὸ τοῦ ω σύμφωνον ἐξαίροντες καὶ συστέλλοντες τὸ παραλῆγον, κλίνουσιν ἀσυστόλως· μέμηκα, μεμηκώς, μεμαώς· μεμαῶτος. ἢ ῥητέον καὶ ἀπὸ τοῦ μέσου δὴ παρακειμένου τὰ τοιαῦτα σχηματίζεσθαι· συσταλτικὸς γάρ τοι ὁ μέσος· δέδοικα, δέδια· ἤκουκα, ἤκοα, ὅθεν τὸ ἀκηκοώς.

## ἘΝΕΣΤΩ͂Σ. ΜΈΛΛΩΝ. ἀόριστος πρῶτος.

Τόνος δὲ τῇ μὲν ἀρσενικῇ τοῦ ἐνεστῶτος καὶ μέλλοντος καὶ ἀορίστου πρώτου τῶν εἰς ω ἐνεργητικῶν, ἐπὶ τῆς αὐτῆς τῷ ἀρχικῷ ῥήματι· τύπτω, ὁ τύπτων· ὁ τύψων, ὁ τύψας. πλὴν ξένων ἴω, κίω, ἐῶ· τούτων γὰρ αἱ μετοχαὶ ὀξυτονοῦνται· ἰών, κιών, ἐών. παρακείμενος. ἀόριστος β΄.

Τῇ δὲ τοῦ παρακειμένου καὶ β΄ ἀορίστου, ἡ τῆς ἐσχάτης· τετυφὼς, τυπὼν, ὀξυτόνως· καὶ μακροκαταλήκτως· ὁμοίως δὲ καὶ τῇ τοῦ μέσου παρακειμένου καὶ τοῖς πεμπτοσυζύγοις ἐνεργητικοῖς· τιθεὶς, ἱστὰς. αἱ γε μὴν εἰς μενος πᾶσαι, προπαροξύνονται· πλὴν ἐπὶ τοῦ παρακειμένου, παροξυτόνως γὰρ καὶ βραχυκαταληκτοῦσιν· αἱ δὲ εἰς εις, ὀξυτονοῦνται· καὶ μακρογραφοῦνται τῷ ει· πλὴν τῶν ἀπὸ τοῦ υ ζεύγνυμι· ζευγνύς· μακροκαταληκτεῖ μέντοι καὶ αὕτη. Καθόλου δὴ αἱ τῶν ἐνεργητικῶν μετοχαὶ

χρόνους οὖσαι· ἀρσενικῶν μακροκαταληκτοῦσι· τύπτων· τύψας, τυπτῶν, τετυφώς. Ἐπικλινόμεναι δὲ τῶν χρόνων· ὁ τύπτων, τοῦ τύπτοντος· τὸ τύπτον, ὧν μὲν τῶν αὐτῆς φυλάττει τὸν τόνον, καὶ λήγει ἡ βραχεία· τὸ θηλυκὸν· παραλήγεται μέντοι μακρᾷ· πλὴν τῶν εἰς μένη· ἀνάπαλιν γὰρ τυπτομένη· καὶ παραλήγουσα ἡ μακρὰ τοῖς ἰδίοις ἀρσενικοῖς οἰκείως· ἢ τῇ αὐτῇ μακρᾷ· α ἢ τῇ ου ἢ τῇ ει· πλὴν τῶν παρακειμένων· ἡ δὲ γὰρ τῇ υ· τετυφυῖα· ὅτι τὰ εἰς α καθαρὸν θηλυκὰ διφθόγγῳ παραλήγεται, τῇ ἐκ τοῦ ι διφθόγγῳ παραλήγει.

Δῆλον δ᾽ ὅτι καὶ τὸ οὐδέτερον ἀεὶ βραχυκαταληκτεῖ· ἢ γὰρ εἰς ον προπαροξυτόνως τυπτόμενον, ἢ εἰς ον καὶ εἰς ων ἀπὸ τῶν γενικῆς τοῦ ἀρσενικοῦ ὀξυτόνως, ἀπαθὲς ὂν ἔστι ἡ ληγούσης μακρᾶς προπαροξύνεται λέξις· καὶ πᾶσα μετοχὴ συστέλλεται ἐπὶ γενικῆς· τὸ δὲ ἑστὼς κατὰ συναίρεσιν ἀπὸ τοῦ ἑσταός.

## ΤΟΝΟΣ ΚΑΙ ΧΡΟΝΟΣ ΑΡΘΡΟΥ.

Ἄρθρον δὲ τὸ μὲν ἀρσενικὸν καὶ οὐδέτερον ἀναγέγραπται τὰ τῶν ὀνομάτων ἔτι τόκλισιν· κἀκείνοις ὁμοίως ἔχει τὸν χρόνον· ὧν μὲν ἡ εὐθείας καὶ αἰτιατικῆς, βραχύ· ἐπὶ δὲ γενικῆς καὶ δοτικῆς μακρόν· ὁς· οὗ· ᾧ· ὅν· κατὰ τῶν ἄλλων δὲ ὁμοίως· ταῖς ἐκείνων καταλήξεσιν ἔχει. διὸ καὶ λέγεται ὅτι καθόλου τὰ ἄρθρα τῆς δοτικῆς τῶν ἑνικῶν, καὶ τῆς εὐθείας τῶν δυϊκῶν, καὶ τῆς γενικῆς τῶν πληθυντικῶν, μακροκαταληκτεῖ· αἱ μέντοι εὐθεῖαι καὶ αἰτιατικαὶ τῶν προτακτικῶν, οὐκ ὀξύνονται ὡς τὰ ὀνόματα· ἀλλὰ βαρύνονται ὡς αἱ προθέσεις· καὶ τινὲς τῶν συνδέσμων· τὸ δὲ θηλυκὸν τοῖς δευτεροκλίτοις ἕπεται· καὶ τὰ μὲν προτακτικὰ ἢ πνεύματα ἢ τόνους ἐπιδέχεται· τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα καὶ τόνους· πᾶν μὲν οὖν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται· τὸ δὲ τῆς κλητικῆς ὦ· οὐκ ἄρθρον· διὸ καὶ οὐδὲν ἄτοπον εἰ ψιλοῦται.

### Τόνος καὶ χρόνος ἀντωνυμίας πρώτου προσώπου.

Ἀντωνυμία δὲ, ἡ μὲν πρωτότυπος· ἐπὶ τοῦ πρώτου προσώπου εὐθυλογουμένη τὸ ἑνικὸν μακροκαταληκτεῖ, καὶ ὀξύνεται· ἐπὶ γενικῆς δὲ, περισπᾶται· Καὶ ἐπὶ δοτικῆς δὲ, ὀξύνεται· καὶ μακρογραφεῖται τῇ οι· ἐμοί· ἐπὶ δὲ αἰτιατικῆς βραχυκαταληκτεῖ.

ε ζ iii

τὸ ὀξύνεται· Χρὴ δὲ ὥσπερ ἀπὸ τελέως εἰ νοεῖν, ὥσπερ τὸ ἀρκτικὸν ἀπέβαλλουσα φωνῆεν, ἐγκλίνεται ὧδε· ἤκουσάς μου· ἔδωκάς μοι· εὔφρανάς με·

ἘΓΚΛΙΝΌΜΕΝΑ·

Καθόλου γὰρ τὰ ἐγκλινόμενα ἀναβιβάζοντα τὸν ἑαυτῶν τόνον, ἐφέλκεται ὑπὸ τοῦ κατὰ τὴν ἡγουμένην λέξιν· ἤτοι μονοσύλλαβα ὄντα· ἤτοι δισύλλαβα· τὸ δὲ καί μοί τις, οὐδὲ σύλλαβον ἕν, ἀλλὰ μονοσύλλαβα δύο· αἰεὶ γὰρ μία μόνη λέξις ἐγκλίνεται· δύο οὖν κἂν μονοσύλλαβα ὦσιν, εἰ κἂν ὑφ' ἑνὸς τόνου ἐγκλίνοιντο· ἀλλ' ἡ μὲν προτέρα, ὑπὸ τοῦ ὑπάρχοντος κατὰ τὸ ἡγούμενον· ἡ δὲ δευτέρα, ὑφ' ἑτέρου τῇ προτέρᾳ ἐπιτιθεμένου· Ὅλως μὲν τρίνων τὰ τῶν πρωτοτύπων ἑνικά, ἐγκλίνεται πλὴν τῶν εὐθειῶν· Τῆς δὲ πρωτοπροσώπου σης τὰ δυϊκά, μακρᾷ μὲν παραλήγεται· βραχείᾳ δὲ λήγεται ἐν τῷ νῶι· ἀπαθῆ ὄντα· ἐπὶ δὲ τοῦ πληθυντικοῦ, κοινὸν μὲν ἁπασῶν τῶν πτώσεων, τὸ ἀρκτικὸν η, καὶ τὸ δασύνεσθαι· Βραχυκαταληκτεῖ δὲ ἡ μὲν εὐθεῖα, εἰς εις· βραχείᾳ ἔτι παραλήγουσα·

Ἡ δὲ αἰτιατική, ἐν λόγῳ εἰς ας· ὡς τὰ πεμπτόκλιτα· Καὶ ἡ γενικὴ δὲ τοῖς ὀνόμασιν ὁμοίως εἰς ων· Ἡ δὲ δοτικὴ μακροκαταληκτεῖ τῷ ι, καὶ περισπᾶται· καίτοι καθόλου τῆς δοτικῆς τὸ ι, βραχὺ ὄν· ἢ οὐδὲ ἐνταῦθα αἰεὶ μακρόν· ὅθεν οὐδ' αἰεὶ περισπώμενον· ἀλλ' ἢ ὀξύτονον ἢ παροξύτονον, οἷον δὴ παρὰ τῷ σοφοκλεῖ· ἀλλ' ἥμιν αἴας πυθέσθαι· Κοινὰ δὲ τὰ ἐπὶ τῶν πληθυντικῶν, ταῦτα ἐν τοῖς δευτεροπροσώπου σης ἐστί· πλὴν ὅσον τὸ ἀρκτικόν, οὐκ η· ἀλλά, υ μακρόν·

Τῶν δὲ ἑνικῶν, ἡ μὲν εὐθεῖα, τῷ υ βραχυγραφεῖται καὶ ἐξ ἀνάγκης ὀξύνεται· Ἡ δὲ γενική, περισπᾶται· πᾶσα γὰρ γενικὴ μακροκατάληκτος ἐπὶ τῶν μακρῶν νομιζομένη, περισπᾶται·

Ἡ δὲ δοτική, ὀξύνεται καὶ μακρογραφεῖται ὁμοίως τῇ πρωτοπροσώπῳ· Ἔτι καὶ ἡ αἰτιατική· Καὶ τὰ δυϊκά, ὡς ἐπὶ τῆς πρώτης· Τῆς δὲ τρίτης, ἡ μὲν τοῦ ἑνικοῦ εὐθεῖα, λέγεται βραχεῖ· ἡ δ' οἷ· Ἡ δοτικὴ δὲ τῇ οἷ περισπωμένως· Καὶ ἡ αἰτιατική, τῷ ἓ βραχεῖ· Τὰ δὲ δυϊκὰ καὶ πληθυντικά, τοῖς τῶν προτέρων ὁμοίως· πλὴν ὅσον ἡ τῶν πληθυντικῶν δοτική, βραχείᾳ λήγεται καὶ παραλήγεται· Καθόλου δὲ τὸ ἀντὶ τοῦ ε, τῶν

ἀόριστον ὑμῖν βραχύ. καὶ τὰ μοναδικὰ δὲ τῶν τριῶν· νῖν, μίν, βραχεῖ τῷ ι.

## ΤΟΝΟΣ ΚΑῚ ΧΡΟΝΟΣ ΠΡΟΘΕΣΕΩΣ.

Πρόθεσις δὲ πᾶσα, βαρύνεται. καὶ πᾶσα βραχυκαταληκτεῖ. πλὴν τῆς εἰς, καὶ ἐξ. ἡ δὴ καὶ ἐκ λέγεται ἐπὶ μὴ συμφώνου ἐκδιδούς. Καὶ πᾶσα δὲ ψιλοῦται ἀπὸ φωνήεντος ἀρχομένη. πλὴν περὶ ὑπὲρ καὶ ὑπό. τῶν μέντοι δισυλλάβων, μετὰ τὰ ὀνόματα τιθεμένων, ὁ τόνος ἀναβιβάζεται. πλὴν τῆς μὲν πασῶν, ἀνὰ κάτα· καὶ ἐμοῦ μέτα· λογογράφοις δὲ, πλὴν περὶ μόνης. τούτων περὶ παροξύνονται δὲ καὶ ὅτι ἀντὶ ῥήματος κεῖνται. ὡς ἡ πάρα, ἀντὶ τοῦ πάρεστι. Δῆλον δὲ τὸ τὰς προθέσεις βαρύνεσθαι, ἐκ τοῦ εἴπερ μοι εἰ γὰρ ὀξυτονεῖτο, μετεφέρετ᾽ ἂν, ἐπὶ τὸ ε ἡ ὀξεῖα. ὥσπερ καὶ ἐπὶ τοῦ, ἔπι τῆς ὁδοῦ ἄτην:~

## ΤΟΝΟΣ ΚΑῚ ΧΡΟΝΟΣ ἘΠΙΡΡΗΜΑΤΟΣ.

Τὰ δὲ ἐπιρρήματα, ἐπειδὴ ἀπὸ ὀνόματος καὶ ῥήματος καὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν ἔχει λαβεῖν τι καὶ σχηματίσαι, καθάπερ ἐν τῷ περὶ τοῦ σχηματισμοῦ εἴρηται πρότερον· δῆλον ὅτι καὶ ὁμοίως ἂν τοῖς ἀρχαίοις ἔχοι τὸν χρόνον καὶ τὸ πνεῦμα. οἷον τὸ δικαίως, ὥσπερ τὸ δικαίων. καὶ τὸ πολλάκις, ὥσπερ τὸ πολλά. ἔνια μέντοι καὶ διαφέρει, οὐδὲν κωλύει. οἷον ἐπὶ μὲν τοῦ τρία, καὶ τρίας, τὸ ι βραχύ. ἐπὶ δὲ τοῦ τρίς, μακρόν. μεταβλητικὸν γάρ ἐστιν ἡ παραγωγή. οἷον δὴ καὶ ἐπὶ τοῦ πνεύματος. τὸ μὲν γὰρ ἅμα, δασύνεται. τὸ δὲ ἀμυδὶς, ψιλοῦται. σώζει μέντοι ἔνια ἐπὶ ἀμφοῖν. οἷον τὰ καλούμενα μεσότητος· καλῶν, καλῶς· τιμίων, τιμίως· καὶ τὰ δοτικοφανῆ· καὶ τὰ γενικοφανῆ· κοινῇ, κοινῇ· ἴσης, ἐπίσης. καὶ ὅλως τὰ καλούμενα ἀφομοιονόματα. Ἔτι τὰ εἰς θεν· ἄνω, ἄνωθεν· ποῦ, πόθεν· πόθεν μέντοι ὀξυτονεῖται, διαφορᾶς χάριν τοῦ ἀορίστου. Περισπᾶται δὲ καὶ ὅσα διφθόγγῳ λήγει ἐχούσῃ τὸ υ, ὑποτακτικόν· οἷον ἀγχοῦ· ὁμοῦ. πᾶσα γὰρ δίφθογγος τελικὴ εἰς υ λήγουσα, καὶ ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται. πλὴν τριῶν· ἰδού· ἰού· ἆ, ὀξυτονουμένων. Ἔτι τὰ μονοσύλλαβα τῶν πευστικῶν, περισπᾶται· ποῦ· πῶς. Καὶ τὰ τῷ ν λήγοντα· νῦν· γοῦν. μακρὸν γὰρ τὸ νῦν ἐπιρρηματικόν· βραχὺ δὲ συνδεσμικόν. ὅθεν τὸ τοίνυν ὀξύτονον δὲ, καὶ τὸ ἦ, καὶ ναί· οἷς καὶ ἐπεκτεινομένοις τῇ θι· οἷον ἦθι, καὶ τῇ χι, ναίχι, οὐ τρέπεται εἰς περισπωμένην ἡ ὀξεῖα. καθόλου γὰρ τῶν ἀπτώτων αἱ ἐπεκτάσεις, οὐ τρέπουσι τὴν ὀξεῖαν πάσιν. Τὸ δὲ

f ζ iiii

ὄφελον προπαροξυτόνως καὶ τὸ ἐπέκεινα, ὡς ἐκ τοῦ χαίνω σύνθετα.

## ΤΌΝΟΣ καὶ χρόνος συνδέσμων.

Τῶν δὲ συνδέσμων, οἱ μὲν συμπλεκτικοὶ ὀξυτονοῦνται, πλὴν τοῦ ἤτοι· ἡ μέντοιγε ὀξεῖα συνισταμένη, τρέπεται εἰς βαρεῖαν. Παροξυτονοῦνται δὲ καὶ οἱ αἰτιατικοί· τὸ δὲ καθ᾽ ὅ, καὶ διό, μέρη δύο· τὰ βραχυκαταληκτοῦσι δέ· πλὴν τοῦ ὅπως. Ὀξύνονται δὲ τὰ οἱ διαζευκτικοί, πλὴν τοῦ ἤτοι. Καὶ προπερισπᾶται μὲν ὁ ἆρα, ἀπορρηματικὸς ὤν· παροξύνεται δέ, συλλογιστικός. Τὸ δὲ ἢ διαζευκτικὸν μὲν ὄν, ἢ διασαφητικόν, ψιλοῦται καὶ ὀξύνεται. Βεβαιωτικὸν δὲ ψιλοῦται καὶ περισπᾶται. τὸ πιλὸν δὲ ὄν, ἢ ἀρθρικόν, ἢ ὁμοιωματικόν, δασύνεται καὶ περισπᾶται. Καθόλου δὲ οἱ σύνδεσμοι πάντες ψιλοῦνται· πλὴν τῶν αἰτιολογικῶν. Ὀξύνονται δὲ καὶ οἱ παρασυναπτικοί· ἐπεί· ἐπειδή· τὰ ἐπικτεινόμενοι τῷ περ, ἐπὶ τῶν καὶ τῶν φυλάττουσι τὴν ὀξεῖαν τάσιν· ἐπειδήπερ. ὀξύτονος δὲ καὶ ὁ ἀλλά καὶ ὁ ἀλλαμήν· εἰ μὴ ἴσως τὸ ἀλλὰ οὐκ ὀξυτονεῖσθαι· ἀλλὰ βαρύνεσθαι λέγοι τις· ὡς καί τινας τῶν ἄλλων συνδέσμων· οὐ γὰρ σώζει τὸν τόνον μετατιθέμενον· οἷόν τι τὰ περὶ τῶν προθέσεων εἴρηται. οἱ δὲ μὴν ἐναντιωματικοὶ παροξύνονται. ὁμοίως· ἔμπης· οὕτω μὲν οὖν περὶ τόνου καὶ χρόνου· καὶ μὲν δὴ τὰ πλείω ἄττα ἐνθυμηθέντι προσθεῖναι ἂν ἐνέχοι:~

## Περὶ πνεύματος

Περὶ δὲ πνεύματος κοινῇ θεωρῶμεν ὧδε. ·Α· Τὸ α πρὸ ἑαυτοῦ ψιλοῦται. Ἔτι πρὸ τοῦ β· πλὴν ἐφ᾽ ὧν τὸ ρ ἕπεται· ἁβρός· ὡσαύτως δὲ καὶ τὰ ἀπ᾽ αὐτοῦ· πλὴν τοῦ στερητικοῦ· ἀβροτάξειν· ἄβρομος.

Ἔτι πρὸ τοῦ γ· πλὴν τοῦ ἁγνὸς καὶ τῶν ἀπ᾽ αὐτοῦ ἅγιος. Ἔτι πρὸ τοῦ δ· πλὴν τοῦ ἁδρός· καὶ ἅδην. ἔτι πρὸ τοῦ ε· τὰ πλὴν τοῦ ζ· ἅζειν, σέβειν.

Ἔτι πρὸ τοῦ η καὶ θ τὰ ι καὶ κ καὶ λ· πλὴν τοῦ ἅμαξα· καὶ ἅλς, τὰ τῆς ἀπὸ τούτου· ἐπεὶ μὴ μέντοι σύμφωνον καὶ πρὸ αὐτοῦ· ἢ τοῦ δευτέρου ἢ τρίτου συζυγίας ἀεὶ ψιλοῦται· ἀλφιός· ἀλκυών. Ἔτι πρὸ τοῦ μ ψιλοῦται· πλὴν τοῦ ἅμα, καὶ τῶν ἀπ᾽ αὐτοῦ· ἅμιλλα· ἅμα· ἁμαξιτός. ἔτι πρὸ τοῦ ν, ψιλοῦται· πλὴν τοῦ ἁνδάνω. ἔτι πρὸ τοῦ ξ· τὰ ο· τὰ ω· καὶ π· πλὴν τοῦ ἅπας· ἁπλοῦς ἅπτω. ἔτι πρὸ τοῦ ρ πλὴν τοῦ ἅρκυς· καὶ ἐφ᾽ ὧν τὸ μ ἢ τὸ π ἕπεται· ἅρμα, ἅρπαγα. ἔτι πρὸ τοῦ σ· πλὴν

τοῦ ἄστα, σημαντικοῦ ἀστέρ· Ἔτι πρὸ τοῦ τ̄· πλὴν τοῦ ἅττα, ἄττερ· ἔτι πρὸ τοῦ ῡ καὶ φ̄ πλὴν τοῦ ἀφή· Ἔτι πρὸ τοῦ χ̄ καὶ ψ̄· πλὴν τῶν ἀπὸ τοῦ ἅπτω· ἀψίς· ἄψικορος· Καθόλου γὰρ τὸ ᾱ στερητικὸν ὂν ἢ ἐπιτακτικὸν, ἢ μειωτικὸν, ἢ φαῦλον, ἢ ὀλίγον, ἢ τὸ ὁμοῦ, ἢ τὸ ἴσου σημαντικὸν, ἢ πλεονάζον, ψιλοῦται· ἄκλητον· ἀχανές· ἀκόλουθον· ἄρυθμον· ἀτάλαντον· ἀμαθές· ἄσταχυς· ἀθροιστικὸν γὰρ δασύνεται ἀεί· ἐξαιρείσθω τὸ στερητικὸν, ἄλυσις· καὶ ἄδης· Ε Τὸ ε̄ πρὸ μὲν τοῦ ᾱ, δασύνεται· πλὴν τοῦ ἔαρ· ἐάν· ἐαδέναι. Πρὸ δὲ τοῦ β̄, ψιλοῦται· εἰ μὴ τὸ δ̄ ἢ τὸ ρ̄ ἐπιφ· ἑβδομάς· ἑβραῖος· ἔτι πρὸ τοῦ γ̄ καὶ δ̄· πλὴν τοῦ ἕδος· ἕδρα· ἕδνα· ἑδεῖται· ὅθεν τὸ καθέδεται. Ἔτι πρὸ ἑαυτοῦ· πλὴν τοῦ ἐέρσα· ἔτι πρὸ τοῦ ζ̄, πλὴν τοῦ ἕζω· ὅθεν τὸ καθέζομαι. Πρὸ δὲ τοῦ η̄ δασύνεται· πλὴν οὐ ἔην· καὶ ἐηνός· ποταμός. Πρὸ δὲ τοῦ θ̄, ψιλοῦται· πλὴν τοῦ ἕθεν. Πρὸ δὲ τοῦ κ̄ δασύνεται· εἰ μὴ ἀπὸ λέξεως ἐκπέπτει· ὡς ἐπὶ τοῦ ἐκεῖνος κεῖνος, καὶ πλὴν τὸ ἐκ, καὶ τῶν ἐξ αὐτῆς· ἐξαιρείσθω καὶ τὸ ἑκυρός· ἐκεχειρία.
Πρὸ δὲ τοῦ λ̄, ψιλοῦται· πλὴν τοῦ Ἕλλην· ἕλος· ἕλιξ· ἕλμινς.
Ἔτι πρὸ τοῦ μ̄ πλὴν τοῦ ἑμισ· Ἔτι πρὸ τοῦ ν̄ πλὴν οὗ ἕνεκα· ἕν, καὶ ἑνοῦν. Πρὸ δὲ τοῦ ξ̄ δασύνεται· πλὴν τῆς ἐξ· καὶ τῶν ἐκ ταύτης. Ἔτι πρὸ τοῦ ο̄· πλὴν τοῦ ἑόν· καὶ ἐξ ἐκκλίσεως. Πρὸ δὲ τοῦ π̄, ψιλοῦται· πλὴν τοῦ ἕπω· ἑπτά. Ἔτι πρὸ τοῦ ρ̄ εἰ μὴ τὸ δ̄ ἢ κ̄ ἢ μ̄ ἢ π̄ ἢ σ̄ ἕπηται· ἕρδειν· ἕρκος· ἕρπειν· ἑρμῆς· ἕρσα. Ἔτι πρὸ τοῦ σ̄· πλὴν οὗ ἑστιῶ· ἕστηκα, ἑστία. ἔτι πρὸ τοῦ τ̄· πλὴν τοῦ ἕτοιμος· ἕτερος· ἑταῖρος.
Ἔτι πρὸ τοῦ ῡ καὶ φ̄· πλὴν τοῦ ἕφθος. ἔτι πρὸ τοῦ χ̄. Πρὸ δὲ τοῦ ψ̄ δασύνεται.
Καὶ πρὸ τοῦ ω̄· πλὴν τοῦ ἕω· ὅθεν τὸ εἰμὶ καὶ εἶδ. Καθόλου δὲ τὸ ε̄ ἐκκλίσεως ἢ τοῦ αὐξήσεως ὂν ψιλοῦται· ἔλεγον· ἔγραφον. ἔτι ψιλουμέναις μὲν λέξεσιν ἐπιπλεονάζον, μεταλαμβάνει τοῦ ψιλοῦ πνεύματος· δασυνομέναις δὲ τοῦ δασέος· ἑσσημένος· ἑώρων. ἔτι δασυνόμενον ἢν τὸ ῡ προσλαβὸν ἀποδιφθογγωθῇ, ψιλοῦται· ἕκηλος· εὔκηλος· ἕαλον, εὔωλον. Ἔτι κατὰ τοὺς παρῳχημένους προσερχόμενον καὶ ἀπὸ τύπτον, ψιλοῦται· ἔτυπτον, τύπτε γάρ. Η Τὸ η̄ πρὸ μὲν τοῦ ᾱ ἀπὸ κλίσεως τε ὂν καὶ ψιλοῦται. Πρὸ δὲ τοῦ β̄ μὲν δασύνεται καὶ πρὸ τοῦ γ̄· πλὴν τοῦ ἠγάθεος. ἔτι πρὸ τοῦ δ̄, πλὴν ἡδονή· ἦθος· καὶ ἤδη καὶ ἦδος·

Πρὸ δὲ τοῦ ε ψιλοῦται· ἑστίων· ἥλιος. πρὸ δὲ τοῦ ζ ἀπὸ κλίσεως ἐστὶ ἐστὶν ἀεί· καὶ τὸ πνεῦμα ἔχει τοῦ ῥήματος· ἅζομαι, ἡζόμην. Πρὸ δὲ τοῦ θ ψιλοῦται ἀεὶ ἡ πρὸ τοῦ ι. Πρὸ δὲ τοῦ κ δασύνεται· πλὴν τοῦ ἠκίστης. Ἔτι πρὸ τοῦ λ, ψιλοῦται· πλὴν τοῦ ἥλιος· ἧλος· ἡλικία.

Πρὸ δὲ τοῦ μ, δασύνεται· πλὴν τοῦ ἡμᾶς καὶ ἦμος, ἠμαθόεις, ἠμί, ἠμύειν.

Πρὸ δὲ τοῦ ν, ψιλοῦται· πλὴν τοῦ ἡνία καὶ τῶν ἐξ αὐτοῦ καὶ πλὴν τοῦ ἡνίκα

Πρὸ δὲ τοῦ ξ, ἐπὶ τοῦ ἥξω μέλλοντος μόνου δασύνεται. Πρὸ δὲ τοῦ ο. ω, ψιλοῦται· ἠὼς ἠϊόνες. Ἔτι πρὸ τοῦ π· πλὴν τοῦ ἧπαρ. Πρὸ δὲ τοῦ ρ, δασύνεται· φύσει μακρᾶς συλλαβιζομένου· ἧρα, ἥρως. βραχεία δὲ ψιλοῦται· ἠεροφῶν· ἠριδανός· ἠρέμα. Ἔτι πρὸ τοῦ σ, δασύνεται· ἡσυχῆ· ἡσίοδος. Πρὸ δὲ τοῦ τ, ψιλοῦται· πλὴν τοῦ ἡττᾶσθαι.

Ἔτι πρὸ τοῦ υ, ἠΰς. ἔτι πρὸ τοῦ φ, δασύνεται· ἥφαιστος. Πρὸ δὲ τοῦ χ, ψιλοῦται· ἦχος· τὸ δ' ἧχι κατ' ἐπέκτασιν. Πρὸ δὲ τοῦ ψ, δασύνεται· ὡς ἐκ κλίσεως ὂν τοῦ ἅπτω. Καθόλου δὲ ἐξ αὐξήσεως ὄν, τὸ πνεῦμα ἔχει τοῦ ῥήματος· αἰδοῦμαι, ᾐδούμην· αἱροῦμαι, ᾑρούμην. ἔτι ἐν ἐποχαϊκῇ λέξει ψιλοῦται· πλὴν τοῦ ἧλος· ἀντὶ τοῦ.

Ι. Τὸ ι πρὸ τοῦ α, β καὶ γ, ψιλοῦται· καὶ πρὸ τοῦ δ, εἰ μὴ τὸ ρ ἐπιφέροιτο· ἱδρώς· ἱδρύω· πλὴν τοῦ ἴδρις. Πρὸ δὲ τοῦ ε, δασύνεται· ἱερόν· καὶ πρὸ τοῦ ζ, ἵζω. Πρὸ δὲ τοῦ η, ψιλοῦται· πλὴν τοῦ ἵημι· βάλλω.

Ἔτι πρὸ τοῦ θ καὶ κ· πλὴν τοῦ ἵκω, ἱκέτης, ἱκάνω. ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ ἱλάσκω καὶ ἱλαρός. ἔτι πρὸ τοῦ μ συμφώνου ἐπιφερομένου· ἴμβρος. φωνήεντος δέ, οὐ· ἵμερος· πλὴν τοῦ ἱμάς. ἔτι πρὸ τοῦ ν· πλὴν τοῦ ἵνα.

Ἔτι πρὸ τοῦ ξ, ἰξός. ἔτι πρὸ τοῦ ο. ω· ἰός, ἰών. ἔτι πρὸ τοῦ π ἐμὸς ὄντος· πλὴν τοῦ ἵπτασθαι. ἔτι πρὸ τοῦ ρ, καὶ πρὸ τοῦ σ· πλὴν τοῦ ἵστωρ, ἱστορία, ἱστός, ἵστημι. Ἔτι πρὸ τοῦ τ καὶ υ καὶ φ καὶ χ καὶ ψ.

Ο. Τὸ ο πρὸ τοῦ α καὶ β, γ, καὶ δ, ψιλοῦται· πλὴν τοῦ ὁδὸς καὶ ὅδε καὶ ὁδεῖνα. ἔτι πρὸ τοῦ ε, ζ, θ· πλὴν τοῦ ὅθεν καὶ ὅθι.

Ἔτι πρὸ τοῦ κ καὶ λ· πλὴν τοῦ ὅλμος· ὁλκή· ὁλκάς· ὅλος. ἔτι πρὸ τοῦ μ· πλὴν τοῦ ὁμοῦ καὶ τῶν ἀπὸ τούτου. ἔτι πρὸ τοῦ ν ἐν ταῖς ὑπὲρ μίαν συλλαβήν· ὄνυξ· ὄναρ. ἔτι πρὸ τοῦ ξ καὶ π· πλὴν ἐφ' ὧν ἕπεται τὸ λ· καὶ πλὴν τῶν ὁπλοφορικῶν. ἔτι πρὸ τοῦ ς, πλὴν τ

ὀρῶ, ὄρος· παρὰ τὸ ἐφῶ· τὸ κ ἢ τὸ μ ἐπιφέρει. ἔτι πρὸ τοῦ σ ἐν τοῖς ὑπὲρ μίαν· πλὴν τοῦ ὅσος· καὶ ὅσιος. ἔτι πρὸ τοῦ τ· πλὴν τοῦ ὅτι· ὅτε· ὅτῳ. ἔτι πρὸ τοῦ φ χ ψ ω. Πρὸ δὲ τοῦ π, ἐπὶ μὲν λ, δασύνεται· ὁπλὴ· ὅπλον· καὶ ἐπὶ τῶν ἀναφορικῶν· ὁποῖος· ὁπότε· ὅπου· ὁπόσος· ὅπως· ὁπότερον. ἔτι πρὸ τοῦ ρ, κ ἢ μ ἐπιφερομένου· ὅρκος· ὁμός. Καὶ πρὸ τοῦ ν δὲ, καὶ σ, δασύνεται ἐπὶ τῶν ἕν· ἑνός, μονοσυλλάβων. Καθόλου δὲ πλεονάζον τοῖς ἀπὸ συμφώνων ἀρχομένοις, ψιλοῦται· ὄβριμος, καὶ προδασυνόμενον ἢν προσλάβῃ τὸ υ, ψιλοῦται· ὅρος, οὖρος. Ω. Τὸ ω ἐν ταῖς ὑπὲρ μίαν, ψιλοῦται· πλὴν τοῦ ὁρῶ· ὥρα, ὡραῖος· ὧ δὲ ἄρθρον δασύνεται· καὶ ὧ ἰδού· τὸ δὲ ἐπίρρημα κλητικὸν ψιλοῦται ὡς εἴρηται. Υ. Τὸ υ, πάσης λέξεως ἀρχὸν δασύνεται· ὥσπερ τῶν συμφώνων τὸ ρ· ῥώμη· ῥῆμα· ῥεῖν. Δασύνεται δὲ τὸ ρ, καὶ ἐὰν διπλοῦν γένηται ἐν μέσῳ λέξεως· οὐκ ἀμφότεροι μέντοι· ἀλλὰ τὸ μὲν πρῶτον, ψιλοῦται· τὸ δὲ δεύτερον, δασύνεται· ῥῆμα· ἐπίρρημα. Κοινὰ δὲ παρὰ τὰς διφθόγγους, οἷον ἡ αι ἐν ταῖς ὑπὲρ μίαν, ψιλοῦται· εἰ μὴ τὸ μ ἐπιφέροιτο· αἷμα· πλὴν τοῦ αἱροῦμαι. ἔτι ἡ αυ ψιλοῦται· πλὴν ἐπὶ τοῦ αὑτῇ. Ἔτι ἡ ει, πλὴν ἐπὶ τοῦ εἱρκτή· εἵλεως· εἱρμός· εἱλίσσω· εἷμαι· εἷς. ἔτι ἡ ευ· πλὴν τοῦ εὕδειν, εὕειν· εὑρίσκειν· ἔτι ἡ οι ἐν ταῖς ὑπὲρ μίαν· πλὴν τοῦ οἶμος, ὁδός· καὶ οἷος. ἔτι ἡ ου· πλὴν τοῦ οὗτος· οὕνεκα, παρὰ τῶν μονοσυλλάβων· οὗ· οὕς· οὕτω μὲν τοίνυν ταῦτα:~

ΠΕΡΙ ὀρθογραφίας.

ΤΙΝΑ δέ τισι γραπτέον, φωνήεσι καὶ διφθόγγοις· οἷον, τίνα μὲν τῷ μικρῷ ο· τίνα δὲ τῷ μεγάλῳ· καὶ τίνα μὲν τῷ ε· τίνα δὲ τῷ η ἢ τῇ αι, καὶ τίνα μὲν τῷ υ, τίνα δὲ τῇ οι· καὶ τίνα μὲν τὸ ι, τίνα δὲ τῇ ει· τῇ μὲν παραδόσει κείσθω· τῇ δὲ ἐτυμολογίᾳ ληπτέον· οἷον, τὸ ἤπειρος· τὸ μὲν ο, ἐκ παραδόσεως μικρόν· τὸ δὲ η καὶ ει, ἐξ ἐτυμολογίας· ὅτι ἀπὸ τοῦ α καὶ περ· ἄπειρος, παρὰ τροπῇ τοῦ α εἰς η, παρὰ προσλήψει τοῦ ι ἤπειρος. Ὡς τὸ σκεπτέον ὅπως τὰ συνήθη τὰ ἔχει, καὶ ὅλως παραγόμενα· οὐ μόνον ὅτι πολλὰ ἡ συνήθεια μεταβάλλει καὶ ὅλως ἡ παραγωγή· οἷον ὄνομα· ἀντωνυμία, ὄρος ἀκρώρεια· πείθω, πιθανός· λείβω, λοιβή, λιβάς. ἀλλὰ καὶ ὅτι διαφόρως τῆς συνηθείας γινομένης, διαφόρως μὲν καὶ ὀρθογραφοῦνται τὰ μέσα· τὰ γὰρ ἐν συνηθείᾳ τὰ μὲν ἐκ δυοῖν πλείων.

χειρίσοφος· ποτὲ δὲ ἐκ δυοῖν ἀπολήγοντος· σοφοκλῆς· ποτὲ δὲ ἐξ ἀπολειπόντων ἀτελεῖς· φιλόδημος· ποτὲ δὲ ἀμφοῖν πάλιν· περικλῆς· ὥστε καὶ συμβαίνει διὰ τὸ πολὺ τῶν φωνηέντων σύνθετον καὶ παραγωγὸν, ἐτυμολογικὸν δεῖν εἶναι τὸν μέλλοντα τελέως ὀρθογραφεῖν. Διακρίνεται δὲ περὶ ἐτυμολογίας εἰπεῖν καὶ περὶ ἀφαιρέσεως καὶ προσλήψεως, καὶ ὅλως μεταβολῆς, ἐκ τοῦ παρόντος σκο-

Ἡ ΤΩΝ ΦΩΝΗΕΝΤΩΝ τροπὴ, τὸ ἐξαλλαγῶς. ||ποῦ:~

ΛΑΝΘΑΝΕΙΝ μέντοι οὐδὲν ἐνταῦθα χρὴ, ὅτι τῶν φωνηέντων ἡ τροπὴ τὸ ἐξαλλαχθῆναι· ἢ τὸ βραχὺ τρέπεται εἰς βραχὺ, μενόλαος, μενέλαος, ἢ τὸ μακρὸν, εἰς μακρόν· πυθαγόρας, πυθαγόρης· ἢ τὸ βραχὺ εἰς μακρόν· ἱερὸς, ἥρως· ἢ τὸ μακρὸν εἰς βραχύ· λαὸς, λεώς. Πάμπολλα δὲ παρὰ τὴν κλίσιν ἐστὶν ὀρθογραφῆσαι· οἷον θέωνι μὲν τῷ μεγάλῳ· μέμνονι δὲ τῷ μικρῷ· ἄμφω δὲ τῷ ι· ὅτι πᾶσα δοτικὴ τῷ ι ἤτοι ἐκφωνουμένῳ, ἢ μή· αἰεὶ ἐν διφθόγγῳ ὡς ἐπὶ τῶν ἰσοσυλλάβων· πέρσῃ, καλῷ. Ἔτι τύψω, ἔτυψα, τῷ υ· ὅτι τύπτω· οὕτω καὶ ἔμεινα, τῇ ει· ὅτι ἀπὸ τοῦ μένω διφθόγγου δεῖ ταύτῃ συμβαίνει. Εἴη δ' ἂν καὶ ἀναλογίᾳ θεωροῦντι ὀρθογραφεῖν· οἷον εἰ τὸ ταχεῖα τῇ διφθόγγῳ, ὅτι καὶ τὸ βραδεῖα· ὡς γὰρ ἀπὸ τοῦ τάχος, ταχεῖα, οὕτω καὶ ἀπὸ τοῦ βράδος, βραδεῖα. Ἔτι συστοιχείᾳ· ὡς γὰρ τὸ δίκαιος τῇ αι, οὕτω καὶ τὸ δικαία, καὶ δίκαιον, καὶ δικαιοσύνη, καὶ δικαιοῦν. Σημειωτέον δὲ καὶ εἰ διὰ συναίρεσιν, καὶ ὅλως εἰ διὰ πάθος· οἷον φθοῖς τῇ διφθόγγῳ· ὅτι τοῦ φθόϊς, τὸ ο καὶ ι συνῄρηται. Καὶ εἰ ἀπὸ διαλέκτου εἴη πως συνιέναι· οἷον τὸ ἡμεῖς, ἢ γραπτέον· ὅτι ἄμμες οἱ δωριεῖς λέγουσι· καὶ τὸ μύρμηξ, ὅτι μύρμαξ· ἀλλ' ἐκεῖνοι τῷ α, ἡμεῖς τῷ η. τοιούτων μὲν οὖν ἂν εἴη λέξεως καὶ ἡ ὀρθογραφία περὶ τὰ ἀντίστοιχα. ἔστι δὲ τῶν ἀρκτικῶν, τε καὶ τελικῶν, τὰ πολλὰ ἐκ παραδόσεως· καὶ τὴν μὲν τῶν ἀρκτικῶν ὀρθογραφίαν, ἐκ τοῦ ὕστερον ἐκθησόμεθα κοινὴν λεκτέον· τῶν δὲ τῶν τελικῶν, καὶ τῶν μέσων· ἔστι μὲν καὶ ἐκ τῶν γραμματιστικῶν τρόπων, καὶ ἐκ τῶν νῦν εἰρημένων ἔνια κατορθοῦν· τὸ γοῦν ὃ [illegible] ἐπαμφοτερίζει· ἰδίᾳ δὲ καὶ ἐπὶ πλέον ἐκ τῶν δε:~

ΤΕΛΙΚΑ ὅσα τῷ η.

ΤΕΛΗ τὰ μὲν εἰς η τῶν ὀνομάτων, τὰ εἰς η λήγοντα θηλυκὰ, ἀρετή. Ἔτι τὰ εἰς ης ἤτοι ἰσοσυλλάβως κλινόμενα, ἢ τῷ ἐος· ἢ τῷ τ· δημοσθένης· χρύσης λάχης. ἐπιρρήματα εἰς ης· πλὴν τοῦ χειρ· φθεὶς· εἷς· εἶναι τῆς σα-

περιφερῆ τῇ ει. ἔτι τὰ εἰς ην, μὴ ὄντα δικατάληκτα αὐτοῦ πάντα· φόρ-
κυν δὲ μόσυν, τῶν δικατάληκτα ἢ τῷ ι· δελφὶν, δελφίς· ἀκτὶν,
καὶ ἀκτίς· ῥὶν, ῥίς· θὶν, θίς. ἔτι τὰ εἰς ηξ δωριστὶ, εἰς αξ προφερό-
μενα· μύρμηξ· νάρθηξ. ἔτι τὰ ἐκ τοῦ πλήττω· βουπλὴξ. Εἰς υ δὲ, τά τε δι-
κατάληκτα ὡς εἴρηται· καὶ τὰ εἰς υ οὐδέτερα· πλὴν τοῦ ἄστυ, γόνυ, πῶϋ, δόρυ·
καὶ τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν· ταῦτα δὲ τῷ υ. ἔτι τὰ εἰς ις, τὰ διὰ
κλινόμενα, ἢ τοῦ θ ὡς ἐπὶ τὸ πλεῖστον πόλεις, ὄρνις· εἰ δὲ τῷ ντ κλί-
νοιτο, τῇ ει διφθόγγῳ γράφεται· χαρίεις, αἰγλήεις. ἔτι τῶν εἰς δισύμ-
φωνον ληγόντων τὸ ἕλμινς :~ ΟΣΑ ΤΩι υ. Εἰς υ δὲ τά τε εἰρη-
μένα οὐδέτερα· καὶ ὅσα τῶν ἀρσενικῶν τριγενῆ ὄντα· οὐχ ὁμόφωνον ἔχει τὸ
θηλυκόν· ἡδύς· ἡδεῖα· ἡδύ. ἔτι τὰ μονοσύλλαβα· μῦς· δρῦς· σῦς.
Ἔτι τὰ εἰς ις τῶν θηλυκῶν, ὀξύτονα ὡς ἐπὶ τὸ πλεῖστον πλὴν τῶν πατρω-
νυμικῶν· καὶ ὑποκοριστικῶν· ταῦτα δὲ τῷ ι. ἔτι τῶν εἰς δισύμφωνον
ληγόντων· τὸ τίρυνς. ἔτι τὸ στάχυς, πέλεκυς, βότρυς· πῆχυς ἔγχε-
λυς. ἔτι τὰ εἰς ξ τῶν μονοσυλλάβων· σὺξ, φρὺξ, πλὴν τοῦ προῖξ
τῇ οι. καὶ τῶν ὑπὲρ μίαν συλλαβὴν· πλὴν τοῦ φοῖνιξ, κύλιξ, τέτ-
τιξ:~ ΟΣΑ ΤΗι αι. Εἰς αι δὲ τὰ εἰς αις λήγοντα
μονογενῆ ἢ οὐ τριγενῆ· δαὶς, σαὶς, παῖς. ἔτι τὰ εἰς αιξ· ῥύμαιξ, αἶξ.
πλὴν τῶν ἀπὸ τοῦ τίκω· καγίτιξ· ἰπίτιξ· καὶ πλὴν τοῦ ἴξ. Τῶν δὲ
υ διφθόγγων οὐδεμία συλλαβιζομένη λήγει. Εἰς ο δὲ μικρὸν, τὰ
τριτόκλιτα πάντα ὅσιος, ὅσιον. Εἰς ω δὲ μέγα, τὰ εἰς ων ἀρ-
σενικά τε καὶ θηλυκὰ καὶ ἔτι οὐδέτερα ἀττικά· λέων· ἀηδών· ἀνώγεων.
Ἔτι τὰ εἰς ωρ· νέστωρ, ὕδωρ· πλὴν τοῦ ἄορ· ἦτορ. ἔτι τὰ εἰς ως καὶ
ω τετρατόκλιτα καὶ πεμπτόκλιτα· λητώ· αἰδώς· ἥρως· μενέλεως·
Ἔτι τὰ εἰς οψ μονοσύλλαβα· πλὴν τοῦ ὄψ τῆς φωνῆς:~

ΜΕΣΑ ΑΠΛΩΣ· ΟΣΑ ΤΩι ι.

ΜΕΣΟσυλλαβεῖ δὲ ι μὲν, τὰ εἰς ιος· ὀξύτονα· πλὴν τοῦ ἀχαι-
ός, παλαιός, ἀραιός, κραταιός. ἔτι τὰ εἰς τεος θετικὰ ἐλπι-
στέος, δοτέος· πλὴν τοῦ ἀλιταίος. ἔτι τὰ ἀπὸ τοῦ γεῶ σύνθετα, πι-
αν γῆν σημαίνοντα· βαθύγεων, λιπαρόγεων, λεπτόγεων
Ἔτι τὰ εἰς ιλιος ἢ εἰς ιλος· πλὴν τῶν ἀπὸ τοῦ αἴλιος. Ἔτι τὰ εἰς ινος·

πλὴν τοῦ ἀπὸ τοῦ αἶνος· ἔτι τὰ εἰς ῖμων· πλὴν τοῦ ἀπὸ τοῦ αἷμων. Ἔτι εἰ ἐν μέσῳ λέξεως ἀπληθῆ ἐπιμένον ἔχει δισύμφωνον· καθέδρα. Ἔτι τὰ εἰς ερος ὀξύτονα, πενθερός· ἱερός· πλὴν τοῦ θαιρός· καὶ καιροῦ. Ἔτι τὰ εἰς ειρα θηλυκά· πλὴν τοῦ αἶρα· σφαῖρα· καὶ τῶν προπαροξυτόνων μάκαιρα· ἰοχέαιρα· χίμαιρα· μάχαιρα· μέαιρα. Ἔτι τὰ εἰς τη ἔτι ἀρσενικά, ἔτι θηλυκά· ἱκέτης, νιχέτης· μελέτη, δημενέτη· πλὴν τοῦ ἀπὸ τοῦ αἴτης· καὶ χαίτη. Ἔτι τὰ εἰς ετος ὀξύτονα, νιφετός, συρετός. Ἔτι τὰ ἐκ τοῦ ἀρχός, ἀρχίσινος, ἀρχίδημος· καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς ος ἢ εἰς ον:~ ΟΣΑ ΤΗι αι.

ΤΑ γε μὴν εἰς αίτρος καὶ αίτερος τὴν ἀπὸ τοῦ τέλους τρίτην δίφθογγον ἔχει· ἰσαίτερος, ἰσαίτατος· γεραίτερος, γεραίτατος· πλὴν τῶν ἀπὸ τῶν προσωποτύπων ἀντωνυμιῶν· ἡμέτερος· σφέτερος· ἐξαιρεῖται δὲ καὶ τὸ ἕτερος. Ἔτι τὰ εἰς αινα θηλυκὰ· λέαινα· μύραινα· καὶ τὰ εἰς αινις ὀξύτονα· μαινίς. Ἔτι τὰ ἀπὸ τῶν εἰς α ἢ εἰς η θηλυκῶν, εἰς αιος τὴν αι μέσην συλλαβήν· πέζα, πεζαῖος· γῶνα, γωναῖος, ῥώμη, ῥωμαῖος. Ἔτι τὰ εἰς εῖον τρισύλλαβα· σπήλαιον, βέβαιον· πλὴν τῶν εἰς ον συναιρεθέντων δυνάμει, κυάνεον, χρύσεον. Ἔτι τὰ εἰς αια θηλυκὰ μονογενῆ συναιρέσει οὐκ ἐπιδεχόμενα· οἷον παῖα, νεολαία:~ ΟΣΑ τῷ Η.

Η δὲ, τὰ εἰς ηγος καὶ ηλος καὶ ηρος ὀξύτονα· χορηγός· ὑψηλός· ἀνθηρός· ξηρός· πλὴν τοῦ νεογιλός τῷ ι· καὶ ἁλμυρός· ἰσχυρός· βδελυρός διὰ τοῦ υ. Ἔτι τὰ εἰς ηδών· σαρπηδών, ἀηδών· πλὴν τοῦ χελιδών, καὶ μυρμιδών. Ἔτι τὰ εἰς ηνος ἢ ηθος τρισύλλαβα· σμῆνος· κλῆνος· ἦθος· στῆθος. Ἔτι τὰ εἰς ηνος ὀξύτονα τόπου ἢ ἔθνους σημαντικά· κυζικηνός· ἀγαρηνός· πλὴν τοῦ ἀδραμυττινός καὶ μελιτινός τῷ ι· καὶ μὴν δὲ καὶ πικυνός, καὶ γαληνός τῷ η. Ἔτι τὰ διὰ τοῦ ηθρα καὶ ηστρα θηλυκὰ· οὐρήθρα, ὀρτυγομήτρα. Ἔτι τὰ εἰς ηρης· ποδήρης· ξιφήρης· πλὴν τοῦ ἶρις, καὶ ὄσιρις· τῷ ι. Ἔτι τὰ εἰς ηριον τρισύλλαβα· ποτήριον· τεκμήριον. Ἔτι τὰ εἰς ηκοντα τὰ παρωνύμια ἀπὸ τῶν ἀριθμῶν· πεντήκοντα ἑξήκοντα, ἑβδομήκοντα. Τά γε μὴν εἰς μα τῶν τρισυλλάβων ῥηματικῶν, τοῦ τοῦ ἰδίου μέλλοντος παραλήγουσι· κινήσω, κίνημα· τύψω, τύμμα· πείσω, πεῖσμα· ὥσπερ ἄρα καὶ τὰ εἰς τος παθητικά. Θεωρητέον δὲ μὴν τὰ τοιαῦτα ἢ κοινότερον.

οἱ ἀπὸ τοῦ παθητικοῦ χρηματιζόμενοι παρακειμένου, ὁμοίως γράφονται· πλὴν τῶν ἐξ ἀλύ-
ξουσαν ἔχει τῇ τοῦ προσώπου ὅθεν παραγίνεται δίφθογγον· καὶ ὁ λόγος παρα-
λήγων αὐτὸ σώζει τὴν ἰδίαν ἀρχήν· γέγραμμαι, γραμμή· εἴλημμαι,
λῆμμα· λέλυσαι, λύσις· λέλεξαι, λέξις· περιττεύει, ποιητόν· ἡ λέξεται
ἀλεξητήριον:~

ΟΣΑ ΤΩΙ Ι.

Ἰῶτα δὲ τὰ εἰς ια ὀξύτονα καὶ παροξύτονα θηλυκά· λαλιά, καρδία·
πλὴν τοῦ παρειά· φορβειά· ὑγεία· ἀστράβεια τῇ ει· καὶ ὀργυιά τῇ υι·
καὶ πλὴν τῶν ἀπὸ τῶν εἰς ευω ῥημάτων· πρεσβεία. Ἔτι τὰ εἰς ιας ὀξύ-
τονα θηλυκά, μυριάς· πλὴν τοῦ γλυφάς καὶ πελειάς, τῇ ει. Ἔτι τὰ
εἰς ιος ὀξύτονα ἢ προπαροξύτονα· ἀσκληπιός· ἄξιος. καὶ τὰ εἰς ιον
καὶ ιος βραχυπαροξύτονα ὑπὲρ δισύλλαβα· βυβλίον· γραμμάτιον· ἀξίος· πλὴν
τῶν κτητικῶν καὶ πατρωνυμικῶν, καὶ μετουσιαστικῶν, καὶ πλὴν τοῦ ἀφνειός τῇ ει· καὶ κολοι-
ός, τῇ οι· τὸ δὲ σπινός ἢ αἰζηός, ἐκ παραθέσεως, τῇ η· ἐξαιρεῖται ἢ τὰ ἀπὸ
τῶν εἰς ευς κλινομένων· ἡράκλειος· ἢ δίκτυον· σίκυον· τῇ υ γραφόμενα·
καὶ πλοῖον τῇ οι. Ἔτι τὰ εἰς ιων συγκριτικὰ ὑπὲρ δισύλλαβα· βελ-
τίων· πλὴν τοῦ ἀρείων χερείων τῇ ει. Ἔτι τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς
η καὶ εἰς ος ὀνομάτων ὑποκοριστικὰ εἰς ιδιον· μοῖρα, μοιρίδιον· κλίνη,
κλινίδιον· νῆσος, νησίδιον· πλὴν τοῦ γήδιον· γῆ γὰρ τῇ η.

Καὶ τὰ εἰς ιδης τῶν πατρωνυμικῶν ἀπαθῆ· πριαμίδης· πηλείδης· οὕ-
τω δὲ καὶ ἀδελφιδοῦς· καὶ θυγατριδοῦς καὶ τὰ τοιαῦτα. Ἔτι τὰ εἰς
κος κτητικά· πλὴν τοῦ ἀβροχός· δεκελεικός· δαρεικός τῇ ει· καὶ θηλυκοῦ
λιβυκὸν τῇ υ. Ἔτι τὰ εἰς ιλος παροξύτονα· ποικίλος· ναυτίλος.
Ἔτι τὰ εἰς ιλευς· ἀχιλλεύς· βασιλεύς· πλὴν τοῦ πηλεύς· νηλεύς τῇ η.

Ἔτι τὰ εἰς ιμος προπαροξύτονα· πλὴν τοῦ ἔρημος· καὶ τῶν ἀπὸ τοῦ αἷμα καὶ σῆ-
μα καὶ δῆμος καὶ φήμη συγκειμένων· πολύαιμος· ἐπίσημος· πάνδημος·
πολύφημος τῇ η· καὶ πλὴν τοῦ δίδυμος· σκόλυμος· ἔτυμος· καὶ τῶν ἀ-
πὸ ὀνόματος συγκειμένων· ὁμώνυμος τῇ υ· ἢ πλὴν τοῦ ἔγχειμος τῇ ει.

Ἔτι τὰ εἰς ινος ὀξύτονα καιροῦ τε καὶ ὥρας σημαντικά· θερινός· χειμε-
ρινός· ἡμερινός· τούτοις δὲ ὁμοίως καὶ τὸ ῥαδινός· καὶ φηγινός· καὶ
βαρύτονα δὲ ταῦτα ὁμοίως, ἀνθρώπινος· ἐχῖνος· ἀκραγαντῖνος· ξύλινος·
ἄλλως δέ τοι παρώνυμα τῇ ει· ἐλεεινός· φαεινός.

Τῶν γὰρ μὲν εἰς τιν, τὰ μὲν ἀπὸ τῶν εἰς ος, ἢ ης, τοῦ ι· ἄδραστος, ἀδρα-
στίνη· αἰήτης, αἰητίνη. Τὰ δὲ ἔχοντα ἀρσενικὸν, τὴν ἐκείνου φυ-
λάττει γραφήν· δῖνος, δίνη· τοῦ ι· οἶνος, οἴνη, τῷ οι. Τὰ δὲ ῥήματι
καὶ ὡς τὸ ῥῆμα, κλίνω μὲν γὰρ κλίνη καὶ ὑπομίμνω, ὑσμίνη, τῷ ι· δι-
θύνω δὲ, ἀθύνη τῷ υ· τὰ ἄλλα δὲ τῷ η· εἰρήνη, σελήνη· τὸ δὲ ξήνη· καίτοι ἀ-
πὸ τοῦ ἄξω ἐοικὸς εἶναι, τοῦ ι γράφεται, ὥσπερ κορύνη καὶ ὀδύνη, τῷ υ.
Ἔτι τὰ εἰς στος καὶ εἰς θος ἁπλᾶ ὑπερδισύλλαβα ὀξύτονα, καὶ βα-
ρύτονα τοῦ ι· ὀιστὸς· βέλτιστος· ὁ μίθος, πλὴν τῶν παθητικῶν· ταῦ-
τα γὰρ τοῦ ἰδίου ῥήματος φυλάττει ἀντίστοιχον· οἷον, ἄμυστον.
Ἔτι τὰ εἰς ιτης· πολίτης· πλὴν τῶν ἀπὸ τῶν εἰς ω περισπωμένων·
καὶ τῶν ἀπὸ τοῦ ευ εἰς η λεγόντων, ἢ κλινομένων θηλυκῶν· καὶ τῶν ἀπὸ τῶν εἰς ος
ἀρσενικῶν ἢ θηλυκῶν· καὶ πλὴν τῶν ἀπὸ τοῦ ῥέω· κυβερνῶ μὲν γὰρ
κυβερνήτης· καὶ σφενδόνη, σφενδονήτης, τῷ η· πλὴν τοῦ τεχνίτης·
καὶ φυλακίτης διὰ τοῦ ι· ὄρος δὲ ὄρειος, ὀρείτης καὶ ῥέω, βαθυρρείτης.
Τῷ ει· ὁδὸς δὲ, ὁδίτης καὶ ὅρος, ὁρίτης τῷ οι· ἐξαιρεῖσθω καὶ τὰ ἀπὸ
τῶν εἰς α προπαροξυτόνων σαμάρεια, σαμαρείτης τῷ ει· ὡς γὰρ τοι κα-
θόλου εἰπεῖν τὰ εἰς ιτης παράγωγα τὴν τῆς ἰδίας ἀρχῆς φυλάττει
γραφὴν· οἷον αἴγινη, αἰγινήτης· πρέσβυς, πρεσβύτης· κεκυβέρνηται,
κυβερνήτης· τέθυται, θύτης· τοιοῦτο δέ τι καὶ τὸ ὁδίτης καὶ ὁρίτης·
ἀπὸ γὰρ τῆς ὁδὸς καὶ ὅρος, ἤτοι τῆς διφθόγγου ἀρχῆς. Καὶ τὰ εἰς ιτος δὲ
εἴτε ὀξύτονα, εἴτε βαρύτονα, τὴν γραφὴν τῶν ἀφ᾽ ὧν παράγεται
φυλάττει· προσθέτης, προσετὸς· ἀφροδίτη, ἐπαφρόδιτος· τοῦ ι· ἠ-
ρίθμηται, ἀριθμητὸς· ἐστύληται, συνετὸς διὰ τοῦ η, κέκλειται, κλειτὸς τῷ
ει· ὥσπερ καὶ τὰ εἰς εις παράγωγα· χάρις, χαρίεις· τιμή, τιμήεις· Καὶ
τὰ εἰς μὸς ὀξύτονα· λογίζομαι, λογισμός· προπηλακίζω, προπηλα-
κισμὸς, τοῦ ι· δανείζω, δανεισμός, τῷ ει· κέχρησμαι, χρησμὸς τῷ η·
Ἔτι τὰ ἀπὸ τοῦ ἀρι καὶ ἐρι σύνθετα· τοῦ ι· ἀρίδραστος· ἐρίδοξος.
Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων σύνθετα, οἷα οἱ δέ ... τὸ ο δὲ τῷ
ὑψοῦ ἐν συνθέσει τῶν ἀπὸ συμφώνων ἀρχομένων τρέπεται εἰς ι·
ὄψισας, ὑψίκομος. Ἔτι τὰ ἐκ τοῦ ἁλὸς· ἁλίπλοον. Ἔτι τὰ ἐκ
τοῦ αἴσχου· αἰσχύνοιας· αἰσχιστεία· αἰσχίθυρος. Ἔτι τὰ ἐκ τοῦ κα-

λου καὶ μίπλου. Ἔτι τὰ ἀπὸ τῶν εἰς ος εἰς ιτης· ζεῦγος, ζευγίτης· θρᾶνος, θρανίτης. Ἔτι τὰ ἀπὸ τοῦ ἀρχὸς· ἀρχίδαμος· ὅσα αἱρεῖσθαι τὰ ἐκ τῶν ἄγω παρὰ τὸ γὰρ· καθόλου γὰρ τὰ ἐκ τοῦ ἀγωγοῦ ἡ στρατηγός· ὁδηγός· ὡς ἁπλῶς οὖν εἰπεῖν, ὧν ἡ ἀρχὴ χρηματίζει τῶν εἰς ος, ταῦτα κατὰ μεταβολὴν τοῦ ο, εἰς ι ὀρθογραφεῖται.
Ἔτι τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβήν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ τὸ ι ἢ τὸ υ, διὰ τοῦ ι ἔχει τὴν πρώτην ὡς ἐπὶ τὸ πλεῖστον· ἱστορίας· ἴσις· δριμύς· κειθύς· πίτυς. Ὅσα τῆς ει. Τὰ δὲ ἀπὸ τοῦ γῆα· εἰς ειος τῆς ει μέσης λαμβάνει· ἐπίγειος. Ἔτι τὰ ἐκ τοῦ ἀεὶ συγκείμενα· ἀείμνηστος· πλὴν τοῦ ἀΐδιος καὶ ἀΐδηλον τῶν ι καὶ ὅλως ἐφ' ὧν τὸ δ, ἐπιφερομένου· τὸ δὲ ἀοίδιμος, ἀπὸ τοῦ ἀείδω τῆς οι. Ἔτι τὰ εἰς εια ἐπὶ πόλεων· προπαροξύτονα· ὧν ἀρσενικὰ εἰς ευς· ἀλεξανδρεύς, ἀλεξάνδρεια· ἀντιοχεύς, ἀντιόχεια.
Ἔτι τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν, εἰς εια προπαροξύτονα· ἀληθής, ἀλήθεια· εὐγενής, εὐγένεια· ἴωνες δὲ καὶ ταῦτα παροξυτόνως προφέροντες, ἰῶτα γράφουσιν· ἀληθία· εὐγενία. ἔτι τὰ εἰς εια παρώνυμα κατὰ τὸ αὐτό· πηνελόπη· πηνελόπεια· ἠριγενής, ἠριγένεια· ἱπποδαμής, ἱπποδάμεια· τὸ δὲ ἅρπυια καὶ αἴθυια, ἐκ κατὰ τοῦ αὐτοῦ ὄντα, τῆς υι. ἔτι τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν, θηλυκὰ εἰς εια· ὀξύς, ὀξεῖα. ἔτι τὰ ἀπὸ τῶν διὰ τοῦ ευ ῥημάτων εἰς εια θηλυκά· πρεσβεύω πρεσβεία· πλὴν τῶν ἐχόντων ὀξύτονον εἰς μων· ἡγεμών. καὶ πλὴν τοῦ φιλανθρωπία· προεδρία· προσεδρία· ἐμπειρία· συμφιλία· παρθενία· ἀσωτία· ταῦτα γὰρ τῆς ι. ἔτι τὰ ἀπὸ τῶν ἐνεστώτων εἰς εια· ἀπόλλω, ἀπώλεια· μηδῶ, μήδεια· θέρω, θέρεια· σαφῶ, σάφεια. ἔτι τὰ ἀπὸ τῶν εἰς ηρ ἀρσενικῶν, θηλυκὰ εἰς ειρα προπαροξύτονα· δηϊάνειρα· πίειρα· σώτειρα. ἔτι τὰ εἰς ειρος προπαροξύτονα ῥηματικὰ πείτω, πίτειρος· αἴθω, αἴθειρος· μάτω, μάτειρος. ἔτι τὰ ἀπὸ τῶν εἰς ευς εἰς εια· βασιλεύς, βασίλεια· ἱερεύς, ἱέρεια· ὡς δὲ ἐπὶ τὸ πλεῖστον, τὰ μὲν παροξύτονα εἰσὶ θηλυκά, τῶν ι γράφεται· πλὴν τῶν ἀπὸ τῶν εἰς ευω· τὰ δὲ προπαροξύτονα διφθόγγῳ. Ὅσα τῆς οι. ἐπεὶ καὶ τὰ ἀπὸ τῶν εἰς ους, τῆς οι μέσης λαμβάνει· νοῦς, εὔνοια· πλοῦς, εὔπλοια· βοῦς, εὔβοια· ὀξαι-

ρείσθω τὰ εἰς μνια καὶ ξια· πολύμνια· φάλξια· διὰ τοῦ ι ψιλοῦ.

Γράφεται δὲ διὰ τῆς οι, καὶ τὰ ἀπὸ τῶν εἰς ος παράγωγα· εἰς οιος παρασχηματιζόμενα· οἷον, ἄλλος, ἀλλοῖος· παντὸς, παντοῖος· γέλος, γελοῖος· ὁμὸς, ὁμοῖος· ἕτερος, ἑτεροῖος· πλὴν τῶν ἐκ συναιρέσεως, τὸ ι ἐχόντων· δῖος· χῖος· πῖος· μῖος· καὶ πλὴν τῶν κτητικῶν, ἢ ὡς κτητικῶν· οἰκεῖος· θεῖος· ἀνδρεῖος· διὰ τῆς ει γράφεται. ἔτι τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν παράγωγα· εἰς ιτης, ὡς εἴρηται· ὁδὸς, ὁδίτης· ὄρος, ὀρείτης· ἐκ δὲ τούτων καὶ τὸ δεσπότης, δέσποινα· καὶ πόνος, ποινή· καὶ φόνος, διαφοινός.

ΟΣΑ διὰ τοῦ υ. Τὰ δὲ εἰς υρα, τὰ μὲν ἁπλᾶ προπαροξύτονα, τῷ υ μάλιστα· λύρα· σφύρα· πορφύρα· σίσυρα· πλημμύρα· μοῖρα, σημείωσαι τῇ οι· καὶ πεῖρα τῇ ει· καὶ σπεῖρα· καὶ χεῖρα, τῷ η· καὶ χήρα, τῷ ι· καὶ τὰ προπαροξύτονα δὲ συντίθεται τῷ υ· γέφυρα· κέρκυρα· πλὴν τῶν ἀπὸ τῶν εἰς ηρ ἀρσενικῶν· περὶ ὧν δὴ καὶ εἴρηται. Ἔτι τὰ εἰς ρος· καὶ εἰς βος, καὶ εἰς κος· καὶ εἰς λος ἁπλᾶ προπαροξύτονα· ἄργυρος· κόρυμβος· κόνδυλος, κόρυκος· ἐξαιρείσθω τὰ εἰρημένα ῥηματικὰ μάγειρος· πίπειρος.

Ἔτι τὰ εἰς ιον ὑποκοριστικὰ παραλήγοντα τῷ ι, τῷ υ μετὰ συλλαβῆς, ζωΰφιον, μειρακύλλιον, πλὴν τῶν εἰρημένων εἰς ιδιον.

Ἔτι τὰ εἰς υζα θηλυκὰ ἁπλᾶ, κόρυζα· κόνυζα, ὄρυζα. Ἔτι τὰ εἰς υλη, θηλυκὰ μονογενῆ, κοτύλη, γογγύλη, ἀρβύλη, ἀγκύλη,

Ἔτι τὰ εἰς υη· ἀφύη· ἰγνύη· οἰσύη· καπύη. ΟΣΑ ΤΩι Ω.

Τὰ δὲ εἰς ογος ὀξύτονα, τὸ μέσα ἔχει μέσου συλλαβῆς ω μέγα· ἀρωγός· δημαγωγός. Ἔτι τὰ εἰς ώδης καὶ ωδες· εὐώδης· εὐῶδες· πεζώδης· πεζῶδες. Ἔτι τὰ εἰς ωνης ἀρσενικὰ εἰ μὴ καθαρὸν τῷ ω· λεγώνης· ἀρχώνης· εἰ δὲ καθαρὸν τὸ μικρὸν, πλὴν τοῦ διώνης. Ἔτι τὰ εἰς μα τῶν ὑπερτελικῶν ῥηματικὰ δῶμα· χῶμα· χρῶμα· πλὴν τῶν ἀπὸ τῶν εἰς μι δόμα· πόμα. Ἔτι τὰ εἰς ωνος ὀξύτονα· πιθωνός. Ἔτι τὰ εἰς ωνη θηλυκά, μὴ ὄντα κύρια, μηδὲ ὀξύτονα· δωδώνη· κορώνη· ἑστώνη· πλὴν τῶν περὶ Βελόνη, ἀγχόνη· σφενδόνη· ἀκόνη· ὀθόνη· εὐφρόνη. Ἔτι τὰ εἰς ωρος ὀξύτονα ὑπὲρ δισύλλαβα, τιμωρός. Ἔτι τὰ εἰς ωρα θηλυκὰ βαρύτονα· πρῷρα· χώρα· ὥρα· ψώρα. Ἔτι τὰ εἰς ωλος ὀξύτονα· φειδωλός· αἰτωλός· πλὴν τοῦ ὀβολὸς, καὶ θολός.

Ἔτι εἰ τὸ μὲν ἐστὶν ἀφαιρετικὸν· τὸ δὲ ἀμετάβατον μετὰ τοῦ μὴ παραλογογραφεῖται·
πλὴν τοῦ ἰόνιον· καὶ τὰ ἐκ τοῦ ἴος καὶ ἴον συνθέτων, ἰόλεως· ἰοχέαι-
ρα· ἰοβόλα· Ἔτι τὰ ἐκ τοῦ ὀβολὸς σύνθετα· τριώβολον· Ἔτι τὰ
ἐκ τοῦ ὦλξ· ὀξύωλξ· πρόωλξ· ἀπώλεια. Ἔτι τὰ ἐκ τοῦ ὀμῶ· ἀπώμοτον· ὀρ-
κώμοτον· Ἔτι τὰ ἐκ τοῦ ὄνομα· ἀνώνυμον· πολυώνυμον· Ἔτι τὰ
ἀπὸ τοῦ ὄνυξ· πολυώνυξ· ὀξυώνυξ· ἔτι τὰ ἐκ τοῦ χεῖρος· χειρωφελέ-
της· χειρωστάς· πλὴν τοῦ χειροκόπος· καὶ χειρολύτης· ἔτι τὰ ἐκ τοῦ
ὄφελος· ἀνωφελὴς βιωφελὴς· ἐπωφελής· ἔτι τὰ ἐκ τοῦ ὀφθαλμὸς
ἐπώφθαλμον· ἔτι τὰ ἐκ τοῦ στόμα συνθετά τινα ἄλλως παρα-
γόμενα· ὀξύστομον· τρώστομον· στωικὸν οἷα δὴ καὶ τὰ ἀπὸ τοῦ στόμα ἁπλᾶ
παραγόμενα· στωμύλος· ἔτι τὰ ἐκ τοῦ γῆρας, γήρως ἐπὶ μὲν οὖν συμ-
φώνου τῆς ρ συλλαβῆς· γηρωκόμος· γηροβοσκός· διὸ δὲ ἐπὶ μὲν τοῦ ο·
γηροκόμος· γηροτρόφος· ἔτι τὰ ἐκ τοῦ ὄροφος· εἰ ἔχει τὴν πρὸ
τοῦ ο συλλαβὴν βραχεῖαν διώροφον· τριώροφον· εἰ δὲ μακράν, διὰ τοῦ ο·
χρυσόροφον· ὑψόροφον· πετρόροφον· ὡς προείρηται. Ἔτι τὰ ἐκ τοῦ ὄλεθρος·
ἀνώλεθρος μὲν γὰρ καὶ ἐπώλεθρος, τῷ μεγάλῳ· ψυχόλεθρος δὲ καὶ
ἀνθρωπόλεθρος τῷ μικρῷ· Καὶ τὰ εἰς ο πάντα δὲ ὑποθετικά,
καὶ ὅσα τερος συγκριτικὰ ὁμοίως· λωΐτερος μὲν γὰρ καὶ λωϊώτερος, τῷ
μεγάλῳ, εὐπλεξότερος δὲ καὶ ὑπλεξότερος διὰ τοῦ μικροῦ καὶ τὰ εἰς συνη
θηλυκά· εἰ μὲν γὰρ ἡ πρὸ τοῦ ο βραχεῖα, διὰ τοῦ μεγάλου· ἱερωσύνη·
εἰ δὲ μακρά, διὰ τοῦ μικροῦ· σωφροσύνη· Καὶ τὰ ἐκ τοῦ ὀρύττω σύν-
θετα ἐν τοῖς ἐρρημένοις ὁμοίως· τυμβορύκτης μὲν γὰρ καὶ
φρεορύκτης· καὶ τοιχορύκτης, τῷ μικρῷ· ὡς θέσει τοῦ υ ἐκτεινομέ-
νου· τυμβωρύχος δὲ καὶ φρεωρύχος καὶ τοιχωρύχος, τῷ μεγάλῳ· ὡς
μὴ ἔχοντα ἐκτεινόμενον τὸ υ· ἔτι τὰ εἰς ωτος, τῷ μεγάλῳ· λωτὸς· μυ-
τωτός· πλὴν τῶν ἀπὸ τῶν εἰς ος· οἷον τὸ νεότης· καὶ εἰ μὴ ῥήματος κλίσις
κωλύοι· ὡς ἐπὶ τοῦ ἀρωτός· ὍΣΑ διὰ τοῦ ο. Τὰ δὲ εἰς οστον, τῷ
μικρῷ· πολλοστὸν· ἑκατοστόν· ἔτι τὰ εἰς οχος καὶ οχοι· ἀντίοχος·
σιτοδόχος· ξενοδόχος, δωροδόχος· ἔτι τὰ ἀπὸ τῶν εἰς ος εἰς
οτης χρηματιζόμενα· φίλος, φιλότης· ὅσιος, ὁσιότης· ἔτι τὰ
εἰς οτος, ἰχματισμένα, ὀξύτονα· μακροτός· πλὴν τῶν ἀπὸ

g ii

του ἐστὶ σημαντικοῦ· τῶν ὀξυνομένων· χαρίεντος. ἔτι τὰ ἐκ τῶν εἰς ος ἢ εἰς ον μ· δῆμος· δημοκράτης· καὶ δημόσιος· δῶρον, δωροδόκος. Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων συγκείμενα· φιλῶ, φιλόθεος.

Τὰ δὲ εἰς ωος κτητικὰ μὲν ὄντα διὰ τοῦ ω· ἥρωος. Ἕτερα δὲ διὰ τοῦ μεγάλου· ὡς πατρῷος μονοφθόγγως· γελοῖος. Καθόλου δὲ τὸ ο μεσοσυλλαβοῦν δυοῖν ἑπομένων συμφώνων ἐν ἁπλῇ λέξει, μικρογραφεῖται.

Ἡ δὲ τῶν συνηρημένων ὀρθογραφία, ὡς πρότερον τὰς συναιρέσεις γίνεσθαι ἐρρέθη· οὕτω γινέσθω.

ΡΗΜΑΤΟΣ ΛΗΚΤΙΚΑ Ω.

Τῶν δὲ ῥημάτων τὰ μὲν εἰς ω πρωτοπροσωποῦντα διὰ τοῦ μεγάλου λήγει· τύπτω. εἰ δὲ μὴ πρωτοπροσωπεῖ, διὰ τοῦ μικροῦ· τύπτομεν, τύπτοιτο.

Τὸ δὲ εἰς ον, διὰ τοῦ μικροῦ· ἔτυπτον· πλὴν τῶν προστακτικῶν· ξύστων.

Τὰ δὲ εἰς μαι, τῇ διφθόγγῳ, τύπτομαι. Τὰ δὲ εἰς μεν· τῷ μονοφθόγγῳ· τύπτομεν. Καὶ τὰ μὲν εἰς μι, τῷ ι· τίθημι· τύπτοιμι.

Τὰ δὲ εἰς μην, τῷ η· ἐτιθέμην· ἐτυπτόμην. Τὰ δὲ εἰς τι, δευτεροπροσωποῦντα μὲν τῷ μονοφθόγγῳ· τύπτετε· τριτοπροσωποῦντα δὲ τῇ διφθόγγῳ· τύπτοιτο. Τὰ δὲ εἰς ην, τῷ η· πλὴν τοῦ ἐνεργητικοῦ ὑπερσυντελίκου τοῦ μέσου, τοῦ ει. Τὰ δὲ εἰς τι ἢ θι τῷ ι. Τὰ δὲ εἰς ει καὶ εἰς εις φιλικά, τὰ μὲν ἐνεστῶτος ὁριστικοῦ ἐνεργητικοῦ τρίτα· τύπτει, τύπτεις· πλὴν τῶν [illegible]· ταῦτα γὰρ διὰ λόγον ἔχει τοῦ πρώτου· τίθημι, τίθης· δίδωμι, δίδως. Ἐπὶ δὲ παθητικοῦ, τῷ η· τύπτῃ· πλὴν τοῦ βούλομαι, βούλει· οἴομαι, οἴει· ὄψομαι, ὄψει· ταῦτα γὰρ διὰ τῆς ει. καὶ τῶν ὑποτακτικῶν διὰ τοῦ η· ἐὰν τύπτῃς· ἐὰν τύπτῃ. Καθόλου γὰρ τὰ εἰς ω ἀπαθῆ δεύτερα καὶ τρίτα φιλικά, διφθογγογραφεῖται· ὃ μὴ ἀεὶ καὶ πεπονθότα συναίρεσιν, διφθόγγους οὐκ ἀπολείπει· βοᾷς καὶ βοᾷ διὰ τοῦ α καὶ χρυσοῖ διὰ τοῦ οι. διαφορὰ δὲ κατὰ διάλεκτον δωρικὴν τὰ ἐκ τοῦ ζῶ καὶ πεινῶ καὶ διψῶ καὶ χρῶ διὰ τοῦ η γίνεται· οἷον, διψῇς, διψῇ διφθογγογραφεῖται.

Ἔστι δὲ τῶν εἰς ην διὰ τοῦ πρώτου ἀορίστου γραφήν· ἐτύπην· ἐτύπης· ἐτύπη· ἐτύφθην· ἐτύφθης· ἐτύφθη. Πᾶν δὲ παρεμφατικὸν διφθόγγῳ [illegible] διὰ τοῦ αι· [illegible]· ἢ διὰ τοῦ ει· τύπτειν· ἢ διὰ τοῦ ι· χρυσοῦν· καὶ τὸ πειρᾶν [illegible] διψῆν, καὶ αἱρεῖν· καὶ ὅσα τοιαῦτα διφθόγγῳ λήγει διὰ τοῦ ι· πλὴν δὲ τοῦ ζῆν τοῦ γραφομένου σπανιώτερον.

ΟΣΑ ΤΩι ·Ε·

Παραλήγει δὲ τὰ μὲν εἰς ίω, τῷ ι συναιρεῖσθαι(?) δυνάμενα· πρίω· τὰ δὲ μὴ δυνάμενα, τῇ αι· παλαίω· πλὴν τοῦ ξίω. ἔτι τὰ εἰς ίω, καθαρὰ περατούμενα(?) στερεῖ· πλὴν τοῦ παλαιῶ· κραταιῶ· περαιῶ· καὶ ὅλως τὰ ἀπὸ ὀνομάτων διὰ διφθόγγου γραφομένων· οἷον βέβαιος, βεβαιῶ· ἑδραῖον, ἑδραιῶ· γαῖα(?), γαιῶ :~ ὍΣΑ ΤΗ͂ι ΑΙ.

Τὰ δὲ εἰς αίνω, τῇ αι, ὑφαίνω, τεκταίνω· πλὴν τοῦ μιαίνω(?), καὶ στένω, καὶ ὅλως τῶν ἐχόντων ἀπό τι παρακείμενον ὄνομα ἐκ τοῦ ο· οἰκοῦν(?), θείνω, ὅτι θόνος(?)· πένω(?), ὅτι πόνος, καὶ φένω, ὅτι φόνος. ἔτι τὰ εἰς αίρω, χαίρω, αἴρω, ἀπαίρω, σαίρω, πλὴν τοῦ φέρω, καὶ ὅλως τῶν ἐχόντων ἀπό τι παρακείμενον ὄνομα διὰ τοῦ ο, καὶ δέρω, τείνω(?), ὅτι δορὰ, καὶ τείρω ὅτι τέρος(?) :~ ὍΣΑ ΤΩ͂ι Η. Τὰ δὲ εἰς ήγω τῷ η· πλὴν τοῦ στίζω(?), σφρίγω· μίγω, τῷ ι· καὶ ἐπείγω τῇ ει. ἔτι τὰ εἰς ήθω πλὴν τοῦ βρίθω, τῷ ι, καὶ πείθω, τῇ ει καὶ πύθω, τῷ υ. ἔτι τὰ εἰς ήπω, σήπω· πλὴν τοῦ λείπω καὶ ἐρείπω τῇ ει. ὍΣΑ ΤΗ͂ι ΕΙ. ἔτι τὰ εἰς είω ἐφετικὰ τῇ ει· γελασείω· πολεμησείω. Ἔτι τὰ εἰς είδω· πλὴν τοῦ ἥδω· μύδω· κήδω· πλὴν(?) ... τῷ η. Ἔτι ὅσα ἀπὸ τοῦ μέλλοντος ἔχει τὸ ι καὶ ε, ἀπὸ τοῦ ἐνεστῶτος ἔχει· κερῶ, κείρω· κτενῶ, κτείνω· τῇ ει ἄρα(?). Ἔτι ὅσα κινούμενα παρέχει τὸ ο· τὸ ε προσλαμβάνει(?)· ἀμοιβὴ, ἀμείβω· μοῖρα, μείρω· κουρὰ, κείρω· λοιβὴ, λείβω· λοιπὸν, λείπω· στοιβὴ, στείβω· τῇ ει ἄρα(?). Ἔτι τὰ εἰς είνω ὑπερδισύλλαβα, ἱμείρω(?)· φαείνω· πλὴν τοῦ ὀρίνω· ὠδίνω, τῷ ι· καὶ ὀξύνω, τῷ υ. Τῶν γὰρ μὲν δισυλλάβων εἰς ίπω, ἐθέλει παραλήγει διφθόγγῳ· νίπτω· ῥίπτω· δίπτω(?).

ΤΩ͂ι Ι. Τὰ δὲ εἰς ίσκω τῷ ι· πλὴν τῶν μιμνήσκω· θνήσκω· κικλήσκω, τῷ η. Ἔτι τὰ εἰς ίζω· πλὴν τοῦ δανείζω τῇ ει, καὶ χρήζω τῷ η, καὶ πλὴν τοῦ ἑρπύζω, πτύζω· ὀλολύζω· γλύζω, τρύζω· λύζω· γογγύζω· ἰύζω, τῷ υ, καὶ ἀθροίζω, τῇ οι. ΤΩ͂ι Ε. Ἔτι τὰ εἰς έζω τῷ ε· πλὴν τοῦ παίζω. ΤΩ͂ι Υ. Τὰ δὲ εἰς ύρω· βαρύτονα τῷ υ· πορφύρω· μορμύρω· πλὴν τοῦ φθείρω· πείρω· τείρω· εἴρω· ἀγείρω· τῇ ει. ΤΩ͂ι Ω. Τὰ δὲ εἰς ώζω τῷ ω μεγάλῳ· πλὴν τοῦ ἁρμόζω· ἀπόζω(?)· ὄζω. Ἔτι τὰ εἰς ώσκω καὶ ώσσω· πλὴν τοῦ βόσκω. Ἔτι ὅσα τῶν βαρυτόνων τῷ ι παραλήγει, καὶ ὄνομα ἀπό τι παρακείμενον ἔχει τῷ μικρῷ ο γραφόμενον· ταῦ-

τα μεταπίπτει μὲν εἰς τὸ πεπαυμένον μὲν ε, τὸ μέγα μεταλαμβάνει· οἷον,
νέμω, νόμος, νενόμηκα· τρέπω, τρόπος, τέτροφα· στρέφω, στροφή, ἔστροφα. Ὁ δὲ παρα-
τατικὸς, παραλήγεσθαι τοῦ αὐτοῦ ἔχει τῷ ἐνεστῶτι· λέγω, ἔλεγον· χαίρω,
ἔχαιρον. Ὡσαύτως καὶ ὁ μέλλων, πλὴν τῶν συνῃρημένων· τούτων δὲ, εἰ μὲν τοῦ
ε ἦν ἢ α παραλήγεται, τὸ η ἔχει· ποιήσω, βοήσω· εἰ δὲ τοῦ ο, τὸ ω μέγα· στεφανώσω·
πλὴν τῶν ἀρόσω, ὀμόσω, βόσω. Ὁ δὲ ἀόριστος τῷ μέλλοντι ὁμοίως παραληκτεῖ
πλὴν τῶν τῆς τετάρτης συζυγίας ὁριστικοῦ πρώτου· ὁ δὲ ἐν διφθόγγῳ μὲν τῇ ει
παραλήγεται, εἰ ὁ μέλλων τῷ ε· μενῶ, ἔμεινα· σπερῶ, ἔσπειρα· ἢ δὲ εἰ ὁ μέλλων
τῷ α· ψαλῶ, ἔψηλα· ἔστι δὲ καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντέλικος, παραλήγουσι τῇ
αὐτῇ ἔχει τῷ μέλλοντι· πλὴν ἐνίων τῆς τετάρτης συζυγίας ἐφ᾽ ὧν δισυλλά-
βων τὸ ε ἢ μόνον ἢ μετὰ τοῦ ι· ὧν τούτων γὰρ τὸ ε εἰς ο τρέπει ὁ
μέσος· φθερῶ, ἔφθορα· πείσω, πέποιθα. Τὰ δὲ εἰς θι ἢ εἰς τι ἀμετά-
πλαστα προστακτικὰ, καὶ τὰ εἰς ναι ἀπαρέμφατα ὑπογράφει τὸ ι·
πλὴν τοῦ εἶναι, καὶ θεῖναι, καὶ εἶναι, ὅθεν τὸ ἀφεῖναι, καὶ καθεῖναι, καὶ τὰ τοιαῦ-
τα· τῇ ει δὲ καὶ πλὴν τοῦ μεῖναι, καὶ ὅλως τῶν τετάρτης συζυγίας τῶν δὲ τοῦ ὁριστι-
κοῦ σώζοντα γραφὴν καὶ κλίνεται ταῦτα· κτείνω, κτεῖναι· κρίνω, κρῖναι·
καὶ μηκύνεσθαι· ἀναγκαῖον ὄντος τὸ ι προσλαμβάνοντα, ἀπὸ διφθόγ-
γου· ὡς εἴρηται. πᾶν δὲ εὐκτικὸν διφθόγγῳ παραλήγει, καὶ τὰ μὲν εἰς μι.
τῇ οι ἢ τῇ αι· τύπτοιμι, τύψαιμι· τὰ δὲ εἰς ην ἀμετάπλαστα τῇ ει·
τυφθείην. Τὰ δὲ εἰς ιμην ἀπὸ τῶν συζυγιῶν μὲν ὄντα τῇ ει· τιθείμην·
τὰ ἄλλα δὲ πάντα τῇ οι· τυπτοίμην, διδοίμην· μεταπεπλασμένα δὲ τὰ
ὑπάρχουσαν δίφθογγον σώζει· ποιοῖμι, ποιοίην· βοῷμι, βοῴην· γί-
νοιτο δ᾽ ἂν καὶ παθητικὸν παρακείμενον εὐκτικοῦ τῷ η, ἢ τὸ μὲν καθαρὸν ἔ-
χει· πεποιήμην, πεποιῄμην· μεμνήμην, μεμνῄμην· παραπλησίως δὲ καὶ ἐπὶ τῶν
υ πεμπτοσυζύγων τῷ η· ζώννυμι, ζωννύην· ζώννυμαι, ζωννύμην· πάντα δὲ ὑ-
ποτακτικὰ τῷ ω ἢ τῷ η μεταλαμβάνει· ἐὰν λέγωμεν, ἐὰν λέγηται. Πᾶν δὲ εἰς μαι
λῆγον ἀπαρέμφατον εἰ πρὸ τοῦ μ τὸ ο ἔχει, μικρὸν παραληκτεῖ· τύπτομαι· ὁ-
μοίως δὲ τὸ πρὸ τοῦ κλιτικοῦ μ εἰ παθεῖν ο μικρόν· πλὴν τῶν ὑποτακτικῶν·
ἐφ᾽ ὧν δὲ ἡ αὔξησις χρονική, τὸ μὲν ο ἀεὶ εἰς ω μεταβάλλει· τὸ δὲ α εἰς η·
τὸ δὲ ε εἰς η καὶ αὐτὸ πλὴν τῶν τεσσάρων καὶ δέκα ἐκείνων· ἐῶ, εἴων· ἑωβάρυ-
τον· ἐθῶ, εἶθον· ἔθω, εἶθον· ἕλω, εἷλον· ἕλκω, εἷλκον· ἕπω, εἷπον· ἕρπω, εἷρπον· ἑ-

θίζω, εἴθιζον· ἔχω, εἶχον· ἕρπομαι, εἱρπόμην· ἐρύω, εἴρυον· ἐρπύζω, εἵρπυζον· ἐργάζομαι, εἰργαζόμην· ἑστιῶ, εἱστίων· ταῦτα γὰρ ἐν τῷ ει· ὁ δὲ περὶ τὰς συναιρέσεις ὀρθογραφεῖ ὡς αἱ συναιρέσεις.

## ΤΟΠΟΙ ὀρθογραφικοὶ ἐπιρρημάτων.

Τῶν δὲ ἐπιρρημάτων, τὰ μὲν εἰς ει ἢ εἰς ις διὰ τοῦ ι λήγει· πλὴν τοῦ πάλαι· βαβαὶ· ἀτταταῖ. Τὰ δὲ εἰς ην· διὰ τοῦ η· πρώην· χθὲς· συλλήβδην· πλὴν τοῦ πρίν· πέραν· καὶ τὸ πάλιν διὰ τοῦ ι· καὶ νῦν διὰ τοῦ υ. Τὰ δὲ εἰς ις τῷ ι· δίς· δεκάκις· πολλάκις· ἅλις· πλὴν τοῦ ἐξῆς· ἑξείης· ἐξαίφνης· ἐξαπίνης· ἔμπης· ἐπίσης διὰ τοῦ η. Τὰ δὲ ἐσχατοτονούμενα εἰ μὲν καθαρὸν τὸ ι ἢ μετὰ τοῦ θ ἢ λ ἢ μ ἢ ξ ἢ χ ἢ ψ τῇ ει· αὐτοβοεί· ἀμοχθεί· ἀσυλεί· πανδημεί· αὐτολεξεί· ἀμαχεί· αὐτοψεί· πλὴν τοῦ πρωΐ· καὶ ἀνιστί· καὶ ἀνωνυμί τῷ ι. εἰ δὲ μετ᾽ ἄλλου συμφώνου τῷ ι· πλὴν τοῦ ἀθαμβεί· ἀκηρυκτεί· ἀνοικτεί· ἀσπουδεί· πανθοινεί· ἐκεῖ τῇ ει· καὶ ἀμισθί· παρεγγύῃ· εἰκῇ· ἀκμῇ τῷ η· καὶ οἴκοι τῇ οι· καὶ ὅλως τὰ ὁμοιονομάτων ὀνομασθέντα· κοινῇ· κομιδῇ· μηδαμῇ· τὸ δὲ δίδου εἰ κατὰ ἐπίκτασιν ἔχει τὸ ι· ὡς τὸ ὧδε καὶ νῦν· τὰ δὲ ἔχοντα τὸ ι ὑπογράφεται· σχεδὸν ἐπέκτασις ἢ τῷ ι μόνῳ ἢ καὶ μετὰ τοῦ φ ἢ τοῦ χ· ναίχι· καὶ οὐχί. Ἔτι τὰ διὰ τοῦ θ συμβαιζόμενα βαρύτονα τῷ ι λήγει· αὐτόθι· ἄλλοθι. Τὰ δὲ εἰς δον τῶν μακρῶν ἀγεληδόν· ποταμηδόν· πλὴν τοῦ ἐμπεδῶν· πλουτῶν· τὰ δὲ εἰς ος διὰ τοῦ μεγάλου· πλὴν τοῦ πέρας· πρόμος· ὑπαρχος· ἐντός· Τὰ δὲ εἰς ω διὰ τοῦ μεγάλου· ἄνω· κάτω· πλὴν τοῦ ἀπό· δεῦρο· ὅτι δὲ καί ... λέγονται· πέρισυ· χρυ.

Παραλήγουσαι δὲ ὁμοίως τοῖς ἀφ᾽ ὧν παράγεται ἔχει τὰ πολλὰ· δικαίων· δικαίως· ἄλλοθεν, ἀλλοθεν· οἶκος, οἴκοθεν· ἁμός, ἁμόθεν καὶ οὐδαμόθεν· πλὴν τοῦ ὑπέρωθεν καὶ ἀμφοτέρωθεν, καὶ κατέρωθεν· διὰ τὰ πολλὰ ἐφεξῆς βραχέα· τὸ δὲ ἀποτέρω καὶ ἀποτάτω τοῖς εἰς ότερος καὶ ότατος τῶν ὀνομάτων, ἀκολουθεῖ· τὰ γὰρ μέλλοντα θετικὰ διὰ τοῦ ε ἀναγνωστέον, πλευστέον· πνευστέον, πλὴν τοῦ δικταῖον, καὶ τὰ εἰς ικα καὶ εἰς ιον τῷ ι· αὐτίκα· ἔγγιον.

## ΚΟΙΝΟΙ ΤΟΠΟΙ ΟΡΘΟΓΡΑΦΙΚΟΙ τῶν τοῦ λόγου μερῶν.

Κοινοὶ δὲ ὀνομάτων καὶ ῥημάτων, καὶ ὅλως τῶν τοῦ λόγου μερῶν τόποι καθίστανται ὀρθογραφικοί· τοῦτο· ἀρκτικῶν, περὶ καὶ μέσων, ἐκδοτέρου ἁπλῶν· ἀπαθῶν· ἀλλὰ μὴ πάνυ τι τὰ περὶ μέσων ἁπλῶς εἰρημένα

Η· βδε· τῷ ε γράφεται· βδέλλα· βδελυρός. Ἡ βδυ· τῷ υ· βδύλλω·
Ἡ βε, πρὸ μὲν τοῦ β̄ ἢ λ̄ ἢ ρ̄ διὰ τοῦ ε· βέβαιος· βέλος· βέρεθρον· μέσον τὸ ε καὶ η, καὶ ο, βέλεμνον· βέβηλος· βελόνη· πλὴν τοῦ βέβαιος· πρὸ δὲ τοῦ ο, ἢ τ̄, τὴν αι, βαιὸν βαίτη. Ἡ βι πρὸ μὲν τοῦ λ̄ ἢ μ̄ ἢ ρ̄ ἢ τ̄, τῷ η· βηλός· βῆμα· βηρυτός· βήσσω, μέσον τὸ ι βηλίνη· πλὴν τοῦ βηρυτός, τῷ υ. Πρὸ δὲ τοῦ α, καὶ ο, καὶ χ καὶ ν, τῷ ι· ἰκία· βίος· βίκος· βινεῖν· πλὴν τοῦ βίας, τῷ υ· μέσον ἡ αι καὶ ο· βίαιος· βιοτή· πλὴν τοῦ βιάσμαι. Πρὸ δὲ τοῦ ω ἢ θ ἢ δισυμφώνου· πλὴν τοῦ τ, τῷ υ· βύω· βυθός· βύβλος· βύζην· βύσσος· πλὴν τοῦ βιάσσα, διὰ η· καὶ βοιωτία, τοῦ οι· μέσον τὸ ι βύβλινον· καὶ τὸ υ ὑποτασσόμενον τὸ ζ· βιζύνη. Ἡ βλε, πρὸ μὲν τοῦ π, τῷ ε· βλέπω. Πρὸ δὲ τοῦ σ, τῆς αι· βλαισβός. Ἡ βλι, πρὸ μὲν τοῦ ζ· τῷ υ· βλύζειν· πρὸ δὲ τοῦ τ, τῷ ι· βλίτον. Πρὸ δὲ τοῦ χ· διὰ η· βληχή· μέσον τὸ μέγα· βληχωνία. Ἡ βλω, τῷ μεγάλῳ· βλωθρός· βλωσυρός· μέσον τὸ υ, βλωσυροῦ. Ἡ βο· πρὸ μὲν φωνήεντος ἢ σ καὶ δισυμφώνου, διὰ μικροῦ· βοή· βόσις· βόστρυς· μέσον τὸ ε, βορέας· ἢ τὸ μέγα καθάπερ ὁμ· βοώτης· εἰ δὲ μὴ τὸ μικρόν· βόρβορος. Πρὸ δὲ τοῦ λ καὶ μ προτασσομένου, τῷ μεγάλῳ· βῶλος· βωμός· ἄλλως δὲ, τῷ μικρῷ· βόλβιτον, μέσον τὸ ι. Ἡ βρε, τῷ ε βρέγμα· μέσον τὸ η ἐνθεῦ, βρενθύω· ἐντή, τὸ η· βρεντήσιον. Ἡ βρει, πρὸ μὲν τοῦ θ, ἢ μ, τῷ ει, βρείθω· βρειμῶμαι· πρὸ δὲ φωνήεντος ἢ πρὸ τοῦ κ, ἢ τ, ἢ χ, τὸ υ· βρύειν, βρύκειν· βρύτειον· βρύχειν. Ἡ βρο, πρὸ μὲν τοῦ τ, ἢ δισυμφώνου, τῷ μικρῷ· βροτός· βροτή· πρὸ δὲ τοῦ μ καὶ σ, τῷ μεγάλῳ· βρωμᾶσθαι· βρῶσις· πλὴν τοῦ βρόμος ὁ τοῦ πυρὸς ἦχος· βρῶμος δὲ τὸ σιτῶδες. Τῆς δὲ βα, μέσον ἐν μὲν χι ἢ κτι, η· βάκηλος· βακτηρία· ψιδὲ δὲ ἢ σι, ι βαδίζω· βασιλεύς. Ἔτι ἐν βι, ἤγουν μὲν οὐ ρ̄· βάρβιτον· ἄλλως δέ τι πάντα τῷ υ· βαβυλών· βαΐζειν· βακχυλίδης· εἰ μὴ πατρωνυμικόν· ἐν δὲ τῷ, τὸ μέγα· βαγῶας:—

·Π·

Ἡ γε· τῷ ε· πλὴν τοῦ γαῖα ἢ γαῖσα· μέσον τοῦ ι, γενεά· πλὴν τοῦ γεραιὸς καὶ τὸ μέγα· γεωμέτρης· μέσον τῆς αὐτὸ μικρόν· γεώδης ἡ γῆ, μόνη διὰ η· γῆ. Πρὸ δὲ φωνήεντος καὶ λ ἢ μ ἢ π, διὰ υ· γύης· γύλιον· γυμνός· γύπες· ἐξαιρεῖται τὸ γίνεσθαι, διὰ ι· γῖγα, ἢ η· μέσον ἐν μὴ τὸ η·

γυμνήτης. Πρὸ δὲ τοῦ γ̄ ἢ ν̄, τὸ ῑ· γίγας· γίνεσθαι· πλὴν τοῦ γείνω τῇ ει· καὶ γυνὴ τῷ ῡ. μέσον τὸ ῡ γλυσμός(?)· καὶ τὸ μέγα γινώσκω. Πρὸ δὲ τοῦ θ̄ ἢ ρ̄, διὰ η̄, γήθω, γῆρας· πλὴν τοῦ γῦρος διὰ ῡ.

Ἡ γλι, διὰ ῑ· πλὴν τοῦ γλήνη, τῷ η̄· ἢ γλυκὺ, ἢ γλύφειν τῷ ῡ.

Ἡ γλω καὶ γνω, διὰ μεγάλου, πλὴν τοῦ γνόφος. Ἡ γο τῷ μικρῷ, πλὴν τοῦ γωνία, γωρυτὸς, γορτύνη· μέσον τὸ ῡ. Ἡ γραι, διὰ αι· γραικός. Ἡ γρι μόνη τῷ ῑ. Πρὸ δὲ τοῦ γ̄, τῷ η̄· γρηγόρειος(?)· μέσον τὸ μικρὸν· γρηγορῶ.

Πρὸ δὲ τοῦ π̄, τῷ ῡ· γρυπός. Πρὸ δὲ τοῦ φ̄, τῷ ῑ, γρίφος.

Τῆς δὲ δα, μέσον τὸ ι καὶ ε, δαλεώτης(?)· δαλιψός(?)· δαβελα(?)· πλὴν δαμίλια(?). Ἡ δὲ, τῷ ε̄· πλὴν τοῦ δείδειν· ὅθεν τὸ δείμων τὸ δείδαλος(?), καὶ δεῖς ἢ δειπρός(?)· μέσον τὸ ε̄, δέλεαρ· πλὴν τοῦ δέραιον καὶ ῑ, δεξιά· πλὴν τοῦ δερκύλος ἢ δειτυμὼν, καὶ δερμύλω διὰ ῡ.

Ἡ δη μόνη συνδεσμικῶς μὲν τῷ η̄· δή, ῥηματικῶς δὲ τῇ ει, δεῖ. πρὸ δὲ φωνήεντος, τῷ ῑ· πλὴν τοῦ δηιοῦν τῷ η̄· καὶ δύο τῷ ῡ.

Ἔτι πρὸ τοῦ δ̄· πλὴν τοῦ δείδω, τῇ ει· καὶ δοίδυξ, τῇ οι· μέσον τὸ ῡ δίδυμος. Ἔτι πρὸ τοῦ κ̄ πλὴν τοῦ δήχω(?)· ὅθεν τὸ δῆγμα, η̄. καὶ δείκω, ὅθεν τὸ δεικνύω· καὶ δεῖγμα, τῇ ει· μέσον τοῦ δίκτυον· καὶ τὸ μετὰ κ καθαρὸν ὄν· δισκίον(?)· μικρὸν δὲ, εἰ μὴ καθαρόν· διπλοῦ(?).

Ἔτι πρὸ τοῦ ν̄, πλὴν τοῦ δεινὸν τῇ ει· καὶ δῆν τῷ η̄· μέσον τὸ ε̄, προπαροξυτόνως· δήνεον(?). Ἡ αὖ ὀξυτόνως· δηναιόν. Ἔτι πρὸ τοῦ σ̄· πλὴν τοῦ δὶς καὶ δύσις, τῷ ῡ. Ἔτι πρὸ τοῦ χ̄, δίχα. Ἔτι πρὸ δισυμφώνου· πλὴν τοῦ δεῖπνον τῇ ει· καθόλου δὲ τὰ ἐκ τοῦ δὶς, σύνθετα τῷ ῑ· διπλοῦν, δικέφαλον, διφυές. Πρὸ δὲ τοῦ θ̄ καὶ μ̄ τῷ η̄· δηθὰ, δῆμος· μέσον ἐν μη, τὸ η̄· δήμητρα(?)· εὐθῦ, τὸ ῡ· δηθύνω. Ἔτι πρὸ τοῦ λ̄ πλὴν τοῦ δῆλος· καὶ δείλη, τῇ ει· μέσον ἡ αι· δείλαιος. Πρὸ τοῦ ρ̄, τῇ ει· πλὴν τοῦ δῆρις(?) ἢ δηρὸν, τῷ η̄. Ἡ δμω, τῷ μεγάλῳ· δμώς. Ἡ δνο, τῷ μικρῷ· δνοφερόν. Ἡ δο, πρὸ μὲν τοῦ κ̄ καὶ λ̄ καὶ ν̄, τῷ μικρῷ· δοκὸς· δόλος· δόναξ· μέσον τὸ ῑ· δολιχόν. Πρὸ τοῦ δ̄ ἢ μ̄ ἢ ρ̄, τῷ μεγάλῳ· δωδώνη· δῶμα· δῶρον· πλὴν τοῦ δόμος καὶ δόμα. Ἔτι πρὸ τοῦ σ̄ καὶ τ̄· πλὴν τοῦ δόσιος(?) καὶ δοτής. Ἡ δρο πρὸ μὲν τοῦ μ̄ τῷ μι-

κρῷ. δρόμος. Πρὸ δὲ τοῦ π, τοῦ μετάλλου δρόπαξ. Ἢ διὰ τῶ υ· πλὴν τῆς δριμὺς, τοῦ ι. Τοῦ δὲ δα, μέσον τοῦ κ τι, καὶ κει, τὸ υ· δάκτυλος· δάκρυον. Τὰ δ᾽ ἀπὸ ι· δαψιλὴς, δαμιανὸς, εἰ μὴ τὰ προειρημένα κωλύοι· καὶ τὸ μικρὸν δάμοσος:~

Ε.

Ἢ ε μόνη ἀντωνυμικῶς μὲν, τῷ ι. ἐπιρρηματικῶς δὲ, τῷ αι. ὅθεν τὸ αἰάζειν, καὶ αἴας.

Πρὸ δὲ τοῦ α, τοῦ ι, πλὴν τοῦ ἀΐα. Ἔτι πρὸ τοῦ ο, ἔωλον πλὴν τοῦ αἰὼν, αἰόλον· προπαροξυτόνως, αἰώρα· μέσον προπαροξυτόνως, τὸ μέγα. αἴολον· πλὴν τοῦ αἰώρα.

Ἔτι πρὸ τοῦ β, πλὴν τοῦ αἰβαλη, καὶ αἰβοῖ. Ἔτι πρὸ τοῦ δ. πλὴν τοῦ αἰδὼς, μέσον τὸ η τοῦ ε, ἰδητύς. Ἔτι πρὸ τοῦ θ πλὴν τοῦ αἴθω, αἰθὴρ. μέσον ἢ ε ἔθυρα, εἰ μὴ εἴη ζω. οἷον, ἐθίζω. μέσον μετὰ τοῦ αι, τὸ ι, ἐπὶ τοῦ αἰθύοψ τὸ υ, ἐπὶ τοῦ αἰθύσσω. Ἔτι πρὸ τοῦ κ. πλὴν τοῦ αἰκία, αἰκάλλω. μέσον τὸ η τοῦ ε. ἔκηλον, πλὴν τοῦ ἐκεῖνος, τῇ ει. καὶ ἐκυρὸς, τοῦ υ. Ἔτι πρὸ τοῦ λ, πλὴν τοῦ αἴλουρος. αἴλιος. μέσον τὸ ε καὶ ι. ἔλεος. ἐλινύω, πλὴν τοῦ ἐλαία, φυτόν. Ἔτι πρὸ τοῦ μ. πλὴν τοῦ αἷμα καὶ αἱμύλος. μέσον τὸ ε. καὶ υ. ἔμετος. αἱμύλος. Ἔτι πρὸ τοῦ ν. πλὴν τοῦ αἶνος. καὶ αἰνὸς. καὶ αἰνίττεσθαι. ὅθεν τὸ αἴνιγμα. μέσον τὸ ε καὶ ι. ἐνετὸς, αἰνίττομαι. πλὴν τοῦ αἰνέας, τῇ ει. Ἔτι πρὸ τοῦ π, πλὴν τοῦ αἰπὺ. μέσον ἡ ει. ἐπείγω. πλὴν τοῦ ἔπηκος.

Ἔτι πρὸ τοῦ ρ, πλὴν τοῦ αἴρω, αἱροῦμαι. αἱρεῖν. μέσον τὸ ε, ἐρέβινθος, καὶ τὸ ι, ἔριον, πλὴν τοῦ ἐρυθρὸν. ἐρύκω. ἐρυμνὸν, τοῦ υ. καὶ ἔρημος. ἐρητύω, τοῦ η. καὶ ἐρέπτω, ἐρείδω, τῇ ει. Ἔτι πρὸ τοῦ σ. πλὴν τοῦ αἰσθάνεσθαι. αἰσχύνη. αἴσωπος. αἶσα. μέσον τὸ ι, ἰσθίω. πλὴν τοῦ αἰσχύνω. καὶ αἴσυλον, τῷ υ. Ἔτι πρὸ τοῦ τ πλὴν τοῦ αἰτεῖν, αἰτία. Τὸ μέντοι αἴτνη, τὸ αἴθω παράγωγον, μέσον τὸ ι. πλὴν τοῦ ἑταῖρος. καὶ ἐτησίαι δὲ διὰ τοῦ η ἔτυμος, τοῦ υ. ἑτοῖμος, τῇ οι. Ἔτι πρὸ τοῦ χ. πλὴν τοῦ αἰχμή. μέσον τὸ ε, ἔγχελις. καὶ τὸ ι. ἔχιδνα. πλὴν τοῦ ἐχυρὸν τῷ υ. Ἔτι πρὸ τοῦ ψ. πλὴν τοῦ αἶψα.

Πρὸ δὲ τοῦ γ, τῇ αι αἴγειρος. πλὴν τοῦ ἐγὼ, καὶ ἐγείρω. μέσον ἡγουμένου γ ἑτέρου, τὸ υ. ἐγγυῶμαι. Ἢ ζε, τῷ ε ζέφυ-

ρος. Ἡ ζ εἰ πρὸ μὲν φωνήεντος, τῷ ε. ζειά· ὅθεν τὸ ζείδωρος ἄρουρα. Πρὸ δὲ τοῦ θ, τῷ υ. ζῦθος. Πρὸ δὲ τοῦ λ, τῷ η. ζῆλος. Ἔτι πρὸ τοῦ μ. πλὴν τοῦ ζύμη τῷ υ. ἔτι πρὸ τοῦ ν ἐν τῷ τ. ζήτων, ζητεῖν.

Ἡ ζω τῷ μεγάλῳ πλὴν τοῦ ζόφος. Ἡ ι μόνη ἀρθρικῶς μὲν καὶ ἐπιρρηματικῶς, τῷ η· ἡ· ἣ· ᾗ· τῷ οι, οἱ· οἷ· συνδεσμικῶς δέ, εἰ μὲν διαζευκτικῶς ἔτι, τῷ η· εἰ δὲ συναπτικῶς τῷ ει. Πρὸ δὲ φωνήεντος, τῷ ι. πλὴν τοῦ ἠὼς καὶ ἶνος· τῷ η· καὶ ἔα, τῷ ει· καὶ ὑάκινθος· ὑάδες· ὕαινα, τῷ υ· ἐν υἱός τῷ υι· καὶ οἴαξ, οἴω, οἰωνὸς, ὄρνις, τῷ οι. μέσον τὸ ε, ἱερὸς· καὶ τὸ μέγα, ἰωή, οἰωνός. πλὴν τοῦ ἰόνιον πέλαγος καὶ ἰονία. Ἔτι πρὸ τοῦ δ. πλὴν τοῦ ἡδύ· ἧδος τῷ η· καὶ ὕδωρ· ὕδνον, τῷ υ· καὶ οἶδα· ὅθεν τὸ οἴδημα· τῷ οι· καὶ εἶδος τῷ ει· μέσον τὸ υ ἱδρύω· καὶ τὸ μέγα εἴδωλον. Ἔτι πρὸ τοῦ σ. πλὴν τοῦ ὑσμίνη· ὕστερον· ὕσσωπος· ὕστριξ· ὕσπληξ· ὑσσός· ὗς τῷ υ· ἐν οἶστρος· οἰσύπη· οἷς, τῷ οι· καὶ εἷς· εἰς, τῷ ει· καὶ ἥσυχον καὶ ἧσις· τῷ η· μέσον τὸ υ, ἥσυχος· ἐν τὸ μέτρα· ὕσσωπος.

Ἔτι πρὸ τοῦ ν. πλὴν τοῦ ἡνία· ἧνις, ἤνυστρον, τῷ η· καὶ οἶνος τῷ οι· μέσον τὸ ι ἡνία· πλὴν τοῦ ἤνυστρον τῷ υ. Ἔτι πρὸ τοῦ ξ ἰξός· μέσον τὸ ι, ἰξίον.

Ἔτι πρὸ τοῦ π. πλὴν τοῦ ἤπειρος, ἤπιον, ἠπύω· ἠπίαλος τῷ η· ἐν ὑπὸ ὑπὲρ, ὕπατος, ὑπήνη τῷ υ· μέσον τὸ ι. πλὴν τοῦ ἠπύω, τὸ υ· ἐν ὑπήνη τῷ η. Πρὸ δὲ τοῦ β ἢ γ τῷ η. πλὴν τοῦ ὑβὸς, ὕβρις, ὑγρὸν, ὑγιαίνω, τῷ υ· καὶ ἴβηρ τῷ ι· μέσον τὸ ε καὶ ι· ἡγεμών· ὑγιαίνω. Ἔτι πρὸ τοῦ θ. πλὴν τοῦ ἰθύ· ἰθάκη· ἰθώμη, τῷ ι· μέσον τὸ μέγα· ἰθώμη· πλὴν τοῦ ἴθορος. Ἔτι πρὸ τοῦ λ πλὴν τοῦ εἰλικρινὲς· εἵλω· εἵλως τῷ ει· καὶ ἵλεως· ἰλλύειος, ἱλαρὸς, ἴλιον, ἰλιὰς, ἴλιος, ἵλαος, ἴλιγξ τῷ ι· καὶ ὕλη, ὑλακτεῖν τῷ υ· μέσον τὸ ε καὶ ι, πλὴν τοῦ εἰλίω καὶ ἠλύσιον, τὸ υ· ἰλλύειος τὸ υ. Ἔτι πρὸ τοῦ μ. πλὴν τοῦ ἱμάτιον, ἵμερος, ἱμὰς, ἱμᾶν τῷ ι· καὶ ὑμῖν, ὑμηττὸς, ὕμνος τῷ υ· καὶ εἷμα τῷ ει, καὶ οἶμος τῷ οι· μέσον τὸ ε ἐν η, ὑμηττὸς, ἡμέρα.

Ἔτι πρὸ τοῦ τ. πλὴν τοῦ ἴτης· ἰτέον τῷ ι· καὶ οἶτος τῷ οι. Ἔτι πρὸ τοῦ φ, ἥφαιστος, μέσον καὶ αι, ἡφαιστίων.

Πρὸ δὲ τοῦ κ, τῷ ει, πλὴν τοῦ ἥκω, ἥκιστα τῷ η· καὶ ἱκάνω, ἱκέτης, ἱκρίον, ἴκτις τῷ ι, καὶ οἶκος, τῷ οι· μέσον τὸ ε, εἴκελος· πλὴν τοῦ εἰ

καίωσ. Ἔτι πρὸ τοῦ ρ̄ · πλὴν τοῦ ἧρα, ἥρως, ἤρεμα, ἤρειον τῷ η̄ · καὶ ἱέρας
τῷ ῑ · καὶ ὕρρα, ὑρακοῖ, ὑρτίον τῷ ῡ · μέσον τὸ ε̄ ἠρέμα. Τὸ δὲ ἠραῖον, τὸ
διὰ τοῦ αι ον δισ · καὶ τὸ η̄ · εἰρήνη · καὶ τὸ μέγα · εἰρωνεία. Ἔτι πρὸ τοῦ
χ̄ πλὴν τοῦ ἦχος, διὰ τοῦ η̄ · καὶ οἱ χειλεῖς τῇ οι̅. Πρὸ δὲ τοῦ ψ̄, τῷ ῡ ·
πλὴν τοῦ ἴψ τῷ ῑ. Ἡ θε, τῷ ε̄ · θεός · θέμις · μέσον τὸ ῑ · θείν · καὶ
τὸ μέγα θεωρῶ. Ἡ θη, πρὸ μὲν φωνήεντος, τῇ ει̅ · πλὴν τοῦ
θύω · ὅθεν θυσία, τῷ ῡ · καὶ θίασος τῷ ῑ · καὶ θεάτρον διὰ τοῦ η̄. Πρὸ
δὲ τοῦ β̄, τῷ η̄ · θῆβαι·
Ἔτι πρὸ τοῦ γ̄ · πλὴν τοῦ θίγω · θιγγάνω, διὰ τοῦ ῑ · καὶ θυγάτηρ τῷ ῡ · Ἔτι πρὸ τοῦ
κ̄, θήκη · ἔτι πρὸ τοῦ λ̄ · πλὴν τοῦ θύλαξ τῷ ῡ · ἔτι πρὸ τοῦ ρ̄ · πλὴν τοῦ θύ
ρα · θύρσος τῷ ῡ · Ἔτι πρὸ τοῦ σ̄ · πλὴν τοῦ θύσανος τῷ ῡ. Πρὸ δὲ τοῦ
μ̄ · τῷ ῡ, πλὴν τοῦ θημὼν · τῷ η̄ · Ἔτι πρὸ τοῦ ν̄ θὴν · πλὴν τοῦ θοίνη
τῇ οι̅ · καὶ θείνω τῇ ει̅. Ἡ θλι τῷ ῑ, θλίβω · Ἡ θνη διὰ τοῦ η̄ θνήσκειν·
Ἡ θω πρὸ μὲν φωνήεντος ἢ πρὸ τοῦ κ̄ καὶ μ̄ καὶ ν̄ καὶ σ̄ καὶ ψ̄, τῷ μεγά-
λῳ θωή, θῶκος, θωμός, θῶν, θώς, θώψ. Πρὸ δὲ τοῦ λ̄ ἢ ρ̄, τῷ μικρῷ πλὴν τοῦ
θώραξ · μέσον τὸ ῡ, θόρυβος · πλὴν τοῦ θωρήσσω τῷ η̄ · καὶ θωρικὸς τὸ ῑ.
Ἡ θρε, τῷ ε̄ · θρέμμα. Ἡ θρι πρὸ μὲν φωνήεντος τῷ ῑ · πλὴν τοῦ θρυαλ
λὶς · καὶ θρύον, τῷ ῡ · Ἔτι πρὸ τοῦ δ̄ ἢ δισυμφώνου · θριδακίνη · θριγγός ·
θρὶξ · θρὶψ · πλὴν τοῦ θρέπτειρα. Πρὸ δὲ τοῦ ν̄ καὶ σ̄ τῷ η̄ θρῆνος · θρη
σκεύειν · Πρὸ δὲ τοῦ λ̄ διὰ τοῦ ῡ · θρύλλος · Ἡ θρο τῷ μικρῷ · πλὴν τοῦ θρώ-
σκω, θρωσμὸς τῷ μεγάλῳ. Τῆς δὲ θα, μέσον ἐν λι τὸ ῡ θαλύσιον · ἐν
μι, τὸ ῑ · θαμινά · πλὴν τοῦ θάμυρις, τὸ ῡ · ἐν σπ, ἡγουμένου ρ̄, τὸ η̄ ·
θαργηλιών. Ἡ κε τῷ ε̄ · κενόν · πλὴν τοῦ καί, καιρός · καινόν, τὸ
νέον · καιάς · μέσον τὸ ε̄, κελεός · πλὴν τοῦ κελαινόν · καὶ τὸ ῡ · κέλυφος ·
πλὴν τοῦ κεγχρίνης τῷ ῑ. Ἡ κι, πρὸ φωνήεντος μὲν τῷ ῡ · πλὴν τοῦ
κίων, λίθος, τῷ ῑ · καὶ κοίας τῇ οι̅. Ἔτι πρὸ τοῦ β̄ · πλὴν τοῦ κιβω-
τὸς καὶ κίβδηλον τῷ ῑ · μέσον τὸ ε̄ κυβέλη · καὶ τὸ η̄ · κίβδηλον · καὶ τὸ
μέγα κιβωτός. Ἔτι πρὸ τοῦ θ̄ πλὴν τοῦ κιθάρα, καὶ κιθαιρὼν
τὸ ῑ · μέσον τὸ η̄ · καὶ ε̄ · κύθηρα · κυθέρεια · πλὴν τοῦ κιθαιρών ·
Ἔτι πρὸ τοῦ κ̄ πλὴν τοῦ κίκυς τῷ ῑ · μέσον τὸ ε̄ κυκεών · ἔτι πρὸ τοῦ
λ̄, πλὴν τοῦ κηλίς · καὶ κηλήτης · καὶ κηλίς, τῷ η̄ · καὶ κιλικία τῷ ῑ · καὶ κοι

λον, διὰ τοῦ οι· μέσον τὸ ι· κύλινδρος· πλὴν τοῦ κηλήτης, καὶ κηλήνη, τῷ η·
διὰ τὸ μικρὸν, εἰ μὴ ἀπὸ κλίσεως, ἢ κατὰ σύνθεσιν, τὸ μέγα. Ἔτι πρὸ τοῦ μ·
πλὴν τοῦ κοιμᾶσθαι διὰ τοῦ οι· διὰ χείμων, τῷ ι· μέσον τὸ ι· κύμινον. Ἔτι πρὸ
τοῦ ρ· πλὴν τοῦ κηρὸς· κήρινθος, κηρύλος, τῷ η· διὰ κιρρὸν, κίρκος, κίρρις τῷ ι· καὶ
κοίρανος διὰ τοῦ οι· καὶ κείρειν τῷ ει· μέσον τὸ ι· κήρινθος· πλὴν τοῦ
κυρήνη· καὶ κυρήβια τῷ η· καὶ κηρύλλιον τῷ υ· Ἔτι πρὸ τοῦ φ·
πλὴν τοῦ κηφὴν καὶ κηφισσὸς τῷ η· μέσον τὸ ι. Ἔτι πρὸ δισυμφώνου· πλὴν
τοῦ κιγκλὶς· κίστη· κίχλα, τῷ ι· μέσον τὸ ε· κυψέλη. Πρὸ δὲ τοῦ δ μονο-
συμφώνως, τῷ η· πλὴν οὐ κυδνὸς, τῷ υ. Ἔτι πρὸ τοῦ π· πλὴν τοῦ κύ-
πειρον τῷ υ. Πρὸ δὲ τοῦ ν, τῷ ι· πλὴν τοῦ κοινὸν διὰ τοῦ οι· μέσον τὸ υ· κυ-
νύρα· καὶ τὸ μέσα, κοινωνός. Ἔτι πρὸ σ ἢ τ ὁπωσοῦν· πλὴν
τοῦ κῆτος τῷ η· καὶ κοίτη διὰ τοῦ οι· μέσον τὸ η, ἐν τῷ κίσηρις· τὸ ι, ἐν τῷ
κίστρος· τὸ υ ἐν τῷ κισσύβιον· τὸ μέσα ἐν τῷ κύτωσις. Ἡ κλε, τῷ
ε κλείως. Ἡ κλι πρὸ μὲν φωνήεντος ἢ θ διὰ τοῦ ει· κλεῖθρον· κλείω· ὅθεν
τὸ κλοιὸς, διὰ τοῦ οι· καὶ πλὴν τοῦ κλύω τῷ υ. Πρὸ δὲ τοῦ β τῷ ι· κλίβανος.
Ἔτι πρὸ τοῦ μ καὶ ν· πλὴν τοῦ κλῆμα ἀμπέλου, τῷ η· καὶ κλεινὸς, διὰ τοῦ ει.
Πρὸ δὲ τοῦ δ καὶ ζ τῷ υ· κλύδων, κλύζω. Πρὸ δὲ τοῦ ς ἢ τοῦ σ καὶ
τ, τῷ η· πλὴν τοῦ ἀπὸ τοῦ κλίνω, κλίσις, τῷ ι. Ἡ κλο μετὰ μὲν τοῦ θ
τῷ μεγάλῳ, κλώθω· ἔτι πρὸ τοῦ ψ· κλώψ. Πρὸ δὲ τοῦ ν καὶ π τῷ μικρῷ·
πλὴν τοῦ κλών. Ἡ κνε τῷ αι· πλὴν τοῦ κνέφας. Ἡ κνι πρὸ μὲν τοῦ δ καὶ
κ καὶ σ τῷ ι· κνίδη, κνίκος, κνίσσα· πρὸ δὲ τοῦ ζ τῷ υ· κνύζασθαι.
Πρὸ δὲ τοῦ μ, τῷ η· κνήμη. Ἡ κνω, τῷ μεγάλῳ· κνώδαλον.
Ἡ κο τῷ μικρῷ· πλὴν εἰ ὁπότε τὸ β ἢ δ ἢ φ ἕπεται, κωβιὸς κώ-
δων· κωφός· καὶ πλὴν τῶν κώθων· κωκυτός· κωλύω· κῶλον· κῶ-
μος· κώμη παρὰ τὸ συνοικήσεως· κῶρος· κώνωψ· κώπη· κῶς· κω-
τίλλειν· κωχλάζειν. μέσον τὸ ι καὶ υ, κολεὸς κόνδυλος· πλὴν
τῶν κοχλίας· κωβιός· κόρινθος· κόρινος· κότινος· κόσκινον· κόμ-
ψιχος· κωτίλλω, τῷ ι· καὶ κορίαννον τῷ η· καὶ κολοιός· κόροιβος,
διὰ τοῦ οι· καὶ κώνειον τῷ ει· καὶ τὸ μικρὸν, κολοκύντη· πλὴν τῶν κο-
λώνη· κορώνη· κολωνός· κομμωτική. Ἡ κρε τῷ ε· πλὴν τῶν ἐ-
φ᾽ ὧν μ ἢ π ἕπεται· κραίνειν, κραιπάλη. Ἡ κρι πρὸ μὲν φωνήεν

ρος, τῷ ῑ· πλὴν τοῦ κρυὸς τῷ ῡ· καὶ κρέσσων, τῷ ε̄. Ἔτι πρὸ τοῦ β̄·
διὰ τοῦ ει, καὶ κ̄· κρείβανον, καὶ τὰ ἐκείνου. Ἔτι πρὸ τοῦ ν̄· πλὴν τοῦ κρη
νη, τῷ η̄. Ἔτι πρὸ τοῦ σ̄· διὰ τοῦ ῑ· πλὴν τοῦ κρῆς καὶ ἐκρησωνία, τῷ η̄·
καὶ ἐκροῖσος· τῇ οι· μέσον τὸ μέγα. Πρὸ δὲ τοῦ ε̄, ἢ δ̄, ἢ μ̄, ἢ π̄·
μονοσυμφώνως, τῷ η̄· κρήδυον, κρήδεμνον, κρημνὸς, κρηπὶς· πλὴν
τοῦ κρυμὸς, τῷ ῡ. Πρὸ δὲ τοῦ π̄, τῷ ῡ· κρύπτω ὅθεν τὸ κρύβδην
Ἡ κρο τῶν μικρῶν· πλὴν ἐφ' ὧν β̄ ἢ ζ̄ ἕπεται· κρωβύλος· κρώζειν· μέ
σον τὸ ῡ· κρόμμυον. Ἡ κτι, διὰ τοῦ ι· κτείζω. Ἡ κτη, πρὸ μὲν
τοῦ δ̄, ἢ μ̄, ἢ ν̄, τῷ η̄· κτηδὼν, κτῆμα, κτῆνος· πλὴν τοῦ κτείνω
διὰ τοῦ ει· ὅθεν τὸ κτιννύω, τῷ ι. Πρὸ δὲ τοῦ ζ̄ καὶ λ̄, τῷ ι· κτίζω, κτίλος.
Πρὸ δὲ τοῦ π̄, τῷ ῡ· κτυπῶ. Πρὸ δὲ τοῦ σ̄, διὰ τοῦ ει· κτεὶς· τὸ γὰρ κτίσις
τῷ ι· καὶ κτῆσις τῷ η̄, δηλονότι ἀπὸ τοῦ ἐκτήσατο, καὶ κεκτῆσθαι γενό
μενα· ἐκεῖθεν καὶ τὸ ἀντίστοιχον ἔχει. Τῆς δὲ και, τὸ μέσον ῑ· καιε-
άδης· καὶ τὸ ῡ· καλύπτω· πλὴν τοῦ κάπηλος, κάμηλος· καυτήλιον·
καὶ χελιδὼν, τῷ η̄· καὶ κάμινος, τῷ ι· καὶ τὸ μέσον· καλλωπίζω· πλὴν
τοῦ καρδάμου. Ἡ λα, τῷ ι· πλὴν τοῦ λαιμὸς, λαιὸς,
λαῖλαψ· καὶ ἐφ' ὧν τὸ φ̄ ἢ ψ̄ ἕπεται· λαιφός· λαιψηρόν· μέσον τὸ
ῡ· λέπυρον. Ἡ λε· πρὸ μὲν φωνήεντος διὰ τοῦ ει· λεῖον· πλὴν τοῦ λέ
ων καὶ λιαρὸν· τῷ ι· καὶ λήιον· ὅθεν τὸ ληίζεσθαι· ἀφ' οὗ τὸ λῃστὸς· τῷ η̄·
καὶ λύω, ὅθεν λύσις, καὶ λυτὸν, τῷ ῡ. Ἔτι πρὸ τοῦ π̄ λείπω· ὅθεν
τὸ λοιπὸν διὰ τῆς οι· πλὴν τοῦ λίπος, διὰ τοῦ ι· καὶ λύπη, λυπηρὸν· τῷ ῡ.
Ἔτι πρὸ τοῦ τ̄· λειτουργὸς· πλὴν τοῦ λιτὸν, τῷ ι. Πρὸ δὲ τοῦ
β̄, τῷ ι· πλὴν τοῦ λείβειν, διὰ τοῦ ει· ὅθεν λοιβὴ διὰ τῆς οι· μέσον τὸ ῡ· λι
βύη. Ἔτι πρὸ τοῦ κ̄ καὶ λ̄ πλὴν τοῦ λείχειν, διὰ τοῦ ει· καὶ λήκυθος
διὰ τοῦ η̄· καὶ λύκος, ἢ λυκάμβης, καὶ λυκάβας· διὰ τοῦ ῡ· μέσον ἡ αι, λιλαιό
μαι· καὶ τὸ ῡ ληκύθιον. Ἔτι πρὸ τοῦ μ̄· πλὴν τοῦ λεῖμαξ· καὶ
λειμὼν διὰ τοῦ ει· καὶ λῆμνος, λῆμμα, τῷ η̄· καὶ λυμαίνεσθαι, διὰ τοῦ ῡ· καὶ λοι
μὸς, λοιμὸς διὰ τῆς οι. Ἔτι πρὸ τοῦ ν̄· πλὴν τοῦ ληνὸς διὰ τοῦ η̄. Ἔτι πρὸ τοῦ χ̄
πλὴν τοῦ λύχνου φωτὸς, τῷ ῡ. Ἔτι πρὸ δύο σσ̄· οἷον λίσσομαι· ὅθεν τὸ
λιτὴ· ἀφ' οὗ τὸ λιτανεύειν, πλὴν τοῦ λύσσα τῷ ῡ. Πρὸ δὲ τοῦ γ̄, τῷ ι· πλὴν τοῦ
λοιγὸς καὶ λοίγιος τῷ ι· καὶ λυγρὸς, λύγξ, λύγος τῷ ῡ· καὶ λοιγὸς· διὰ οι

Ἔτι πρὸ τοῦ θ μονοσυμφώνως· πλὴν τοῦ λίθος τῷ ι. ἔτι πρὸ τοῦ ξ ἢ ρ πλὴν τοῦ λιςὸς, τῷ ι, καὶ λύξ τῷ υ, ἢ λείβειον τῇ ει. Πρὸ δὲ τοῦ θ ἢ τῇ οι, λοιδορεία· λοίθος· πλὴν τοῦ λυδὸς, τῷ υ· μέσον τὸ μικρόν. πρὸ δὲ τοῦ ζ, ἢ θρ, τῷ υ· λύζειν, λύθρος. Ἡ λο· τῷ μικρῷ· πλὴν τοῦ λωβῆ· λώπιον, λωφᾶν. Τῆς δὲ λα, μέσον τὸ ε, λαιλίγυξα· καὶ τὸ υ· λάφυρα· πλὴν τοῦ λαμία, λαπίθης, τῷ ι· καὶ λαμπηδὼν, τῷ η. Ἡ μι, τῷ ι· πλὴν τῶν μαῖα, μαιμᾶν, μαίμακτης, μαιῶτις· μέσον τὸ ε· πλὴν τοῦ μεγαίρειν· καὶ μέλαινα· καὶ τὸ υ· μέθυσος. πλὴν τοῦ μέδιμνον, τὸ ι· καὶ τὸ μειγμα μαιῶτις. Ἡ μι· μόνη, τῷ η. Πρὸ δὲ τοῦ α, τῷ ι· μιαρόν. Ἔτι πρὸ τοῦ γ, μιγνύω. Ἔτι πρὸ τοῦ κρ ἢ τρ, μικρὸν, μίτρα, πλὴν τοῦ μῆτρα, τῷ η. Ἔτι πρὸ τοῦ μ, μιμεῖσθαι. Ἔτι πρὸ τοῦ σ μονοσυμφώνως ἢ μετὰ τοῦ θ, μῖσος, μισθός· πλὴν τοῦ μῦσος τῷ υ· μέσον καὶ, μύθακος. Πρὸ δὲ τοῦ δ καὶ θ, τῷ η· πλὴν τοῦ μειδιῶ, τῇ ει· καὶ μυδᾶν· καὶ μύδρος, τῷ υ· μέσον ἐν δὲ, τῷ ι· μειδιῶ· ἐν θὲ τῷ υ· μηθύμνη. Ἔτι πρὸ τοῦ κ μονοσυμφώνως· πλὴν τοῦ μυκᾶσθαι, μυκῆναι, μύκης, τῷ υ· καὶ μίκυλλος τῷ ι· οὗ μέσον, τὸ υ. Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ μίλαξ· καὶ μίλτος, τῷ ι· καὶ μύλη, τῷ υ· καὶ μειλίσσεσθαι τῇ ει· μέσον τὸ ι· μείλιχμον· καὶ τὸ μέσον· μήλωθρον. Ἔτι πρὸ τοῦ ν· πλὴν τοῦ μινθῆ· μίνως· μινύθειν, τῷ ι· μέσον τὸ υ· πλὴν τοῦ μηνύειν· ἐπὶ τῆς τὸ ι. Ἔτι πρὸ τοῦ ρ· μονοσυμφώνως· πλὴν τοῦ μύρον· καὶ μυρία· καὶ μύρμηξ, τῷ υ· καὶ μοῖρα τῇ οι· καὶ μειράκιον τῇ ει· μέσον τὸ ι μηριανθὲς· πλὴν τοῦ μηρύω τῷ υ. Ἔτι πρὸ τοῦ τ μονοσυμφώνως· πλὴν τοῦ μίτος τὸ ι· μέσον τὸ υ· μιτυλήνη. Ἔτι πρὸ τοῦ χ· πλὴν τοῦ μοιχὸς, τῇ οι· καὶ χυμὰς τῷ υ. Πρὸ δὲ τοῦ ζ, ἢ θ, ἢ ς, ἢ σ, ἢ δύο ττ, ἢ ρ, διασυμφώνως· ἢ φωνήεντος· πλὴν τοῦ α καὶ ο, τῷ υ μυζᾶν, μῦθος, μυστήριον· μῦς, μυσκέλευθρον, ἢ τὸ τοῦ κόπρος· μυσία, μυττωτὸς, μύρτος, μύειν, μύωψ· πλὴν τοῦ μισεῖν, μιστύλλω· ὧν μέσον τὸ υ. Πρό γε μὴν τοῦ μικροῦ τῇ ει· μείον. Ἡ μυ πρὸ φωνήεντος μετὰ μικρόν τῷ ι· μνεία τῇ ει. Πρὸ δὲ τοῦ μ καὶ σ, τῇ η· μνήμη, μνηστήρ. Ἡ μο, τῷ μικρῷ· πλὴν τοῦ μωκᾶσθαι, μῶμος, μωρὸς· μέσον τὸ υ· μόλυβδος· καὶ τὸ μι-

κρ, μολόχη. Τῆς ἡμέρας· μέσον τὸ ε, μακεδὼν· πλὴν τοῦ μαῖμαξ· καὶ ἐν μ-
ξυι, ω π· μαγνήτης λίθος· τῷ ι· Ἡ νε, τῷ ε· πλὴν τοῦ ναῦ· καὶ ναίδι-
μέσον τὸ ε, καὶ τὸ μικρ, νεφέλη· νεόπλοος. Ἡ νη μόνη ἐπιρρηματικὴ
μέν, διὰ η· νῆ· συνδεσμικῶς δέ, τῷ υ· Πρὸ δὲ φωνήεντος, τῇ ει·
νεός. Ἔτι πρὸ τοῦ λ, νεῖλος. Πρὸ δὲ τοῦ ζ, τῷ ι· νίζω. Ἔτι πρὸ
τοῦ κ· πλὴν τοῦ νεῖκος. Ἔτι πρὸ τοῦ π· νίπτω. Πρὸ δὲ
τοῦ ρ, τῷ η· νηρεύς· μέσον τὸ ι· νήριον. Ἔτι πρὸ τοῦ σ· πλὴν τοῦ
νίσσα· πόλις, διὰ ι· καὶ νύσσειν, τῷ υ. Ἔτι πρὸ τοῦ φ, τῷ η· νή-
φειν· ὅθεν νῆψις· πλὴν τοῦ νίφειν· ὅθεν τὸ νιφετός· καὶ νείφειν τῇ ει·
πλὴν τοῦ νῖζον τῷ ι· Πρὸ δὲ τοῦ μ καὶ μ καὶ ξ, τῷ υ· νύξ·
νύμφη· νῶ· πλὴν τοῦ νίνα· καὶ νικῶ· μικῶς· τῷ ι. Ἡ νο, διὰ μι-
κροῦ· πλὴν τοῦ νῶ· καὶ νῶι· νῶιτε: Ξ Ἡ ξε, τῷ ε· πλὴν τοῦ
ξαίνειν. Ἡ ξι, πρὸ μὲν τοῦ ρ, ξηρόν, τῷ η· ξυρός, τῷ υ. Πρὸ
δὲ τοῦ φ, τῷ ι· ξίφος· τὰ λοιπὰ τῷ υ· ξύειν· ξύλον· ξυστίς.

Ο Ἡ ο, διὰ μικροῦ· πλὴν τοῦ ὠ ἐπιρρηματικοῦ· ᾠόν· ὠδίνω· ὠ-
δή· ὠδή· ὠδίς· ὠλένη· ὠμόν· ὦμος· … ὠνή· ὥρα· ὠρίων· ὠροπός
ὦς· ὠτός· ὠσθῆναι· ὠρείτης· ὠρύεσθαι· ὠφελεῖν· ὠχρόν· ὤψ· τοῦ ὀ-
φθαλμοῦ· μέσον τὸ ε· ὀβελός· ὠλένη· καὶ τὸ μικρόν, ὀβολός· πλὴν
τοῦ ὠραπτῆς· καὶ τὸ μὲν ι, ἐν κει, διὰ μικροῦ· ὀκείβας· καὶ μι· πλὴν τοῦ
ὅμηρος, τῷ η· καὶ ὅμοιος τῇ οι· καὶ πι, ὀπίσω· πλὴν τοῦ ὀπήγιον, τῷ η·
καὶ ὀπύειν, τῷ υ· καὶ πλι, ὁπλίτης· καὶ ρει, ὀρείχαλκον· πλὴν τοῦ ὀρύσσω· ὀ-
ρυγμαδὸς τῷ υ· καὶ τὸ ἀπὸ τοῦ ὄρεος· ἐν δὲ κυ, τὸ υ· ὀσκύλου· καὶ δι, ὀδύ-
νη, πλὴν τοῦ ὀδίτης· ὀδίων, τῷ ι· καὶ ὀδμᾶσθαι· ὀδηγός, τῷ η· καὶ θρι-
ὀθρυονεύς· καὶ λι· ὀλύρα· πλὴν τοῦ ὀλίγον, τὸ ι· καὶ ἐν μι· ὀμνύω· καὶ ξι·
ὀξύνω· καὶ ξι ὀξύνω· καὶ χρό … εἰ μὴ ἀπὸ τοῦ … ἐν δὲ νι, καὶ
φι, τῇ ει· ὄνειρον· ὀφείλω· καὶ τῷ μεγάλῳ ἢ μέσον τὸ ι· πλὴν τοῦ ὀσυρίῳ·
ρίασθαι τῷ υ· καὶ ὀρείθυια ὀρείτης· καὶ ἔτι πελεκητικόν, τῇ ει:

Π. Ἡ πε, τῷ ε· πλὴν τοῦ παιᾶν· παίειν· παῖς· παίζειν· ὅ-
θεν τὸ παιδίον· παίπαλιν παιφάσσειν· μέσον τὸ ι· πίδαλος:
Ἡ πη μόνη ἐπιρρηματικῶς η μέν, ἐπιστάσεως· οἱ δέ, ἐπὶ κινήσεως·
πῆ, πῶ· πῇ, πῶ. Πρὸ δὲ φωνήεντος, τῇ ει· πειθ… πλὴν τοῦ

πίον, τῷ ι· ὅθεν τὸ πιεύα· πύρος, ἢ πῦον, καὶ πύελος, τῷ υ, καὶ πι-
έζειν, τῷ ι· μέσον τὸ ε, πύελος· πλὴν τοῦ πιαίνειν· πρὸ δὲ τοῦ γ·
τῷ η· πηγή· πλὴν τοῦ πυγή, τῷ υ· μέσον τὸ η, πηγνύδιον· πλὴν τοῦ
πηγυλίς· τῷ υ. Ἔτι πρὸ τοῦ δ· πλὴν τοῦ πίδαξ, τῷ ι· ἢ πύ-
δνα, τῷ υ. Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ πύλη, τῷ υ· καὶ πῖλος,
τῷ ι. Ἔτι πρὸ τοῦ χ· οἷον, πῆχυς. Πρὸ δὲ τοῦ ν, τῷ ι· πλὴν
τοῦ ποίμνη, τῇ οι· καὶ πυνθάνομαι· καὶ πυκινὸς, τῷ υ· καὶ πεῖνα τῇ ει·
καὶ πήνη τῷ η. Ἔτι πρὸ τοῦ σ, καὶ τ, πίστις· πίτυς· πλὴν τοῦ πήσ-
σω, ὅθεν τὸ πητύα, τῷ η· καὶ πύστις, τῷ υ· μέσον τὸ υ, πητύα.
Πρὸ δὲ τοῦ θ, τῷ υ· πύθω, πυθία· πυθμήν· πλὴν τοῦ πείθω· τῇ
ει· καὶ πιθανὸν, πίθηκος· πίθος· τῷ ι· μέσον τοῦ ι τὸ η· πίθηκος.
Ἔτι πρὸ τοῦ κ· πλὴν τοῦ ποικίλον· τῇ οι· καὶ πικρὸν τῷ ι, μέσον τὸ ι ποικίλλω.
Ἔτι πρὸ τοῦ ξ· πύξ. Πρὸ δὲ τοῦ ρ, τῇ ει· πείρω· πεῖρα· πλὴν τοῦ
πήρα τῷ η· καὶ πῦρ, τῷ υ· μέσον ἢ αι, πειραιεύς· ἢ ἐν μὲν πυρή-
νη, τὸ η· ἐν δὲ πειρίνθω, τὸ ι. Ἡ πλε, τῷ ε· πλὴν τοῦ πλαίσιον.
Ἡ πλι, πρὸ μὲν φωνήεντος, τῇ οι· πλοῖον. Πρὸ δὲ τοῦ θ, ἢ μ, ἢ ρ
διὰ η· πλῆθος· πλημμελεῖν· πλήρες· μέσον τὸ ε· καὶ υ· πλημμέλη-
μα· πλημμυρίς. Πρὸ δὲ τοῦ ν μονοσυμφώνως μετὰ τῷ υ πλύνω·
μετὰ δὲ τοῦ θ, τῷ ι· πλίνθος. Ἡ πλο, τῷ μικρῷ· πλὴν τῶν ἀ-
πὸ τοῦ πέπλωμαι καὶ πέπλωται· οἷον πλώϊμον· πλωτόν.
Ἡ πνι, πρὸ μὲν τοῦ γ, τῷ ι· πνίγος. πρὸ δὲ τοῦ ξ· τῷ υ· πνύξ.
Ἡ πω, τῷ μικρῷ· πόρος· πόλος· πλὴν τοῦ πώγων· πῶλος· πῶρος·
πῶς· πῶυ· πῶ· μέσον τὸ ε καὶ ι, πόλεμος· πολιός· πλὴν τοῦ ποδή-
ρης, τὸ η· καὶ τὸ μικρὸν πομφόλυξ. Ἡ πρε, τῷ ε· ἑλληνικῶν ὄντων.
Ἡ πρι, πρὸ μὲν φωνήεντος τῷ ι, πρίασθαι. Πρὸ δὲ τοῦ λ, ἢ μ, καὶ
τ, τῷ υ, πρύμνη· πρύλις· πρύτανις. Πρὸ δὲ τοῦ ν, ἢ σ, τῷ η· πρη-
νής· πρηστήρ· πλὴν τοῦ πρῖν καὶ πρίν διὰ ι. Πρὸ δὲ τοῦ ξ, τῇ οι· προίξ.
Ἡ πτε, τῷ ε· πλὴν τοῦ πταίειν· ὅθεν τὸ πταῖσμα. Ἡ πτι, πρὸ μὲν φωνή-
εντος, πτύον, τῷ υ· πτοία, τῇ οι. Πρὸ δὲ τοῦ λ, τῷ ι· πτίλον. Πρὸ δὲ
τοῦ σ, πτισάνη, τῷ ι· πτύσσομαι δὲ αὐτὸ ἐνεργητικὸν, τῷ υ. Ἡ πτο, τῷ
μικρῷ· πλὴν τοῦ πτόρθος. Τῆς δὲ πυ, μέσον τὸ ι καὶ ε, [illegible].

h

παρθένος· πλὴν τοῦ παλαίω· παλαιόν:~ Ἡ ρε, τῷ ι· πλὴν τοῦ ῥαιβὸς· ῥαίνειν· ῥαιστήρ· Ἡ ρει, πρὸ μὲν τοῦ α, τῇ οι· ῥοία· πλὴν τοῦ ῥύαξ· τῷ υ. Ἔτι πρὸ τοῦ β· ῥοῖβδος. Πρὸ δὲ φωνήεντος ἑτέρου, τῷ υ· ῥύομαι. Ἔτι πρὸ τοῦ γχ· ῥύγχος. Ἔτι πρὸ τοῦ θ· ῥυθμός. Ἔτι πρὸ τοῦ κ καὶ μ καὶ π, πλὴν τοῦ ῥιπή· τῷ ι:~

Πρὸ δὲ τοῦ ζ μονοσυμφώνως ἢ ζ ἢ ν, τῷ ι· ῥίπος· ῥίζα· ῥίνη· καὶ ῥοῖζος, τῇ οι. Πρὸ δὲ τοῦ σ καὶ τ, τῷ η· πλὴν τοῦ ῥυτίς· τῷ υ· μέσον τὸ ι, ῥητίνη. Ἡ ρο, τῷ μικρῷ· πλὴν τοῦ ῥώμη· ῥωγμός· ῥώψ. μέσον ἐν ῥοδωνιᾷ τὸ μέγα· ἐν ῥοδῶπι, τὸ μικρόν:~

Τῆς δὲ ρα μέσον τὸ ι καὶ μέγα· ῥᾳδινός· ῥᾳστώνη· πλὴν τοῦ ῥάθυμος· τὸ υ. Ἡ σβε διὰ τοῦ ε· σβεννύω. Ἡ σε, τῷ ε· πλὴν τοῦ σαίνειν σαίρειν· μέσον τὸ ι σέλινον· πλὴν τοῦ σελήνη· τὸ η. Ἡ σι· πρὸ μὲν φωνήεντος, τῷ ι· πλὴν τοῦ σείω· ὅθεν τὸ σεισμός· μέσον τὸ ι, σίελος.

Πρὸ δὲ τοῦ β, τῷ υ· πλὴν τοῦ σίβυλλα· τῷ ι· ἧς μέσον τὸ υ.

Ἔτι πρὸ τοῦ κ· πλὴν τοῦ σηκός, διὰ η· καὶ σικελός· σίκυα διὰ ι· οὗ μέσον τὸ ε. Ἔτι πρὸ τοῦ π· πλὴν τοῦ σίπυλος· τῷ ι· ἧς μέσον τὸ υ.

Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ σιληνός· καὶ σίλφιον, τὸ ι· μέσον τὸ η, σιληνός· εἰ μή τι εἰς ιον. Ἔτι πρὸ τοῦ ν· πλὴν τοῦ σίνος· σινδών τῷ ι.

Πρὸ δὲ τοῦ δ, τῷ ι· σίδηρος· μέσον τὸ η· εἰ μή τι εἰς ιον.

Ἔτι πρὸ τοῦ ρ· πλὴν τοῦ σειρός, τῷ ι· καὶ σειρά, τῇ ει.

Ἔτι πρὸ τοῦ σ· πλὴν τοῦ σήσαμον τῷ η· καὶ σίσυφος· καὶ σισύρα, τῷ ι· ὧν μέσον τὸ υ. πρὸ δὲ τοῦ μ, τῷ ο· σιμός· πλὴν τοῦ σημεῖον, τῷ η· οὗ μέσον ἡ ει. Ἡ σκι, τῷ ε· πλὴν τοῦ σκαιὸν· καὶ σκαίρειν.

Ἡ σκι, πρὸ μὲν φωνήεντος, τῷ ι, σκιά. ἔτι πρὸ τοῦ ρ, σκίρωσις· μέσον τὸ μικρὸν σκιρωνίς. πρὸ δὲ τοῦ ζ καὶ θ, τῷ υ· σκύζομαι· σκύθης. ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ σκίλλα τῷ ι. ἔτι πρὸ τοῦ μ· πλὴν τοῦ σκίμπους· τῷ ι. ἔτι πρὸ τοῦ τ· σκύτος. πρὸ δὲ τοῦ π, τῷ η· σκῆπτρον· σκηπτός. ἔτι πρὸ τοῦ ν, σκηνή. Ἡ σκλη, τῷ η· σκληρόν. Ἡ σκνι, τῷ ι· σκνιπός. Ἡ σκο, τῷ μικρῷ· πλὴν τοῦ σκῶλος· σκώπτω· σκωρία· μέσον τὸ ι καὶ ε, πλὴν τοῦ σκόλυθρον· σκομβρύζειν, τῷ υ· καὶ τὸ μικρὸν· σκόροδον. Ἡ σμι πρὸ μὲν τοῦ κ καὶ λ, τῷ ι· σμικρόν.

σμίλη· πλὴν τοῦ σμηκλίθης· ᾧ η· ὃ μέσον τὸ ι. πρὸ δὲ τοῦ ν, ὧν η· σμῆνος· πλὴν τοῦ σμινύη· διὰ ι. Πρὸ δὲ τοῦ χ, σμὴχ· διὰ η· σμύχειν, διὰ υ. Ἡ σμω· τῷ μεγάλῳ· σμῶδιξ. Ἡ σο· τῷ μικρῷ· σορός, πλὴν τοῦ σώζειν· σῶμα· σωρός· μέσον τὸ υ, σόλυμα· εἰ μή τι τῶν προτέρως εἰρημένων ἐκωλύοι. Ἡ σπε, τῇ αι· σπαίρειν. Ἡ σπι, πρὸ μὲν τοῦ θ καὶ ν, τῷ ι· πλὴν τοῦ σπήλαιον διὰ η. πρὸ δὲ τοῦ ρ ἢ σ, τῇ ει· πλὴν τοῦ σπυρὶς· διὰ υ. Ἡ σπο, τῷ μικρῷ· σπόρος. Ἡ στε, τῷ ε· πλὴν τοῦ σταὶς· μέσον τὸ ε, στέλεχος. Ἡ στι, πρὸ μὲν τοῦ β· στείβειν, τῇ ει· στοιβὴ, τῇ οι· στιβὰς, διὰ ι. Ἡ στο, τῷ μικρῷ· πλὴν τοῦ στωικὸς· στωμύλος· καὶ στωβύσσω· ὧν μέσον τὸ υ. Ἔτι πρὸ τοῦ χ· στείχειν, τῇ ει· στοιχεῖον τῇ οι· στίχος, διὰ ι. Πρὸ δὲ τοῦ γ ἢ ξ ἢ π ἢ ρ, τῷ υ· στυγῶ· στὺξ· στυπεῖον· στύραξ. πρὸ δὲ τοῦ ζ, τῷ ι· στίζειν· ὅθεν τὸ στίγμα:~

Ἔτι πρὸ τοῦ λβ δισυμφώνου· στίλβειν. Ἔτι πρὸ τοῦ φ, στίφος· πλὴν τοῦ στυφελίξαι· καὶ στύφειν, τῷ υ. Πρὸ δὲ τοῦ λ, διὰ η· στήλη· πλὴν τοῦ στύλος, τῷ υ. Ἡ στρι, τῷ υ· στρυφνόν. Ἡ στρε, τῷ ε· μέσον τὸ αὐτὸ· στρεπτέλλα. Ἡ στρο, τῷ μικρῷ· μέσον τὸ υ, στρογγύλον.

Ἡ σφι, πρὸ μὲν τοῦ γ τῷ ι· σφίγγω. Πρὸ δὲ τοῦ ζ, τῷ υ· σφύζω· ὅθεν τὸ σφυγμός. Ἔτι πρὸ τοῦ ρ· σφύρα. Πρὸ δὲ τοῦ ν καὶ ξ, ὧν η· σφὴν· σφήξ. Ἡ σφε, διὰ ε· πλὴν τοῦ σφαῖρα· μέσον τὸ μικρόν.

Ἡ σφρι, τῷ υ· σφριγᾶν. Ἡ σχε· διὰ ε· σχέδιον. Ἡ σχι, πρὸ μὲν τοῦ ζ· τῷ ι· σχίζειν. Πρὸ δὲ τοῦ μ, τῷ η· σχῆμα. Πρὸ δὲ τοῦ ν, σχῖνος· τῷ ι· σχοῖνος, τῇ οι. Τῆς δὲ σα, καὶ σκα· καὶ σφα, μέσον τὸ ι, σαίρουσα· πλὴν τοῦ σάπφειρος· τῇ ει· καὶ σκαληνὸν τῷ η· καὶ τὸ ε, σφάκελος· καὶ τὸ μικρὸν σαυρωτής· πλὴν τοῦ σκαμμωνία. Ἡ τε, τῷ ε· πλὴν τοῦ ταινία· καὶ ταίναρον· μέσον τὸ ε· καὶ ι· τέρμινθος· τερετίζειν· πλὴν τοῦ τηκεδὼν τῷ η.

Ἡ τι, πρὸ μὲν φωνήεντος, διὰ ι· τίω. Ἔτι πρὸ τοῦ γ· πλὴν τοῦ τήγανον· διὰ η. Ἔτι πρὸ τοῦ θ· τιθή· μέσον ἢ τιθηνός, διὰ η· ἢ τιθύμαλος· τὸ υ. Ἔτι πρὸ τοῦ μ· πλὴν τοῦ τημελεῖς, διὰ η· καὶ τύμπανον τὸ υ ὁ μέσον τὸ ε. Ἔτι πρὸ τοῦ ν καὶ τ· πλὴν τοῦ τητῶμαι, διὰ η· καὶ τυτθὸν, τῷ υ. Πρὸ δὲ τοῦ β καὶ κ καὶ λ, τῷ η· τήβεννος· τηκεδών· τήλεφος· πλὴν τοῦ τίλλω, διὰ ι· μέσον τὸ ε. Πρὸ δὲ τοῦ π, ᾧ υ· τύπος. Ἔτι πρὸ τοῦ ρ· πλὴν

h θ ii

τοῦ τετράδος· ὧν η· ἢ τετράδιν, τοῦ ει· μέσον τὸ ι· τετραβάτης· φυλακτέσθω δὲ τὸ τ εἰς ἴρος, ὀξυτόνων, ἀχυματισμός. Ἔτι πρὸ τοῦ φ· πλὴν τοῦ τίφη· ὧν ι. Πρὸ δὲ τοῦ χ, τεῖχος, τοῦ ει· τεῖχος ἀρσενικὸν γένος, τοῦ οι· τύχη· ὧν υ· ὅθεν τὸ τυγχάνω. Ἡ τλη· ἢ τμη, τῶν η· τλήμων· τμητῆ. Ἡ τμω, τῶν μεγάλων· τμῶλος. Ἡ το, τοῦ μικροῦ· πλὴν τοῦ τωθάζειν· μέσον τὸ υ· τρυτάνη· ἢ τὸ μικρὸν, τοξότης. Ἡ τρε, τῶν ε· τρέχω. Ἡ τρι, πρὸ μὲν φωνήεντος τοῦ ι· τριάς· μέσον ἢ αἱ τρίαινα· ἢ τὸ η τριήρης. Ἔτι πρὸ τοῦ μ, τρίβω· ὅθεν τὸ τρίμμα· πλὴν τοῦ τρυβλίον· τῶν υ. Ἔτι πρὸ τοῦ χ· τρίχος· πλὴν τοῦ τρύχειν· τοῦ υ. Ἔτι πρὸ τοῦ γ· ἢ ζ· ἢ μ· ἢ φ, τοῦ υ· τρυγῶ· τρύζω· τρυμός· τρυφή. Πρὸ δὲ τοῦ ρ ἢ τ, τῶν η· πλὴν τοῦ τρίτου τοῦ ι. Πρὸ δὲ τοῦ σ, τρὶς, τοῦ ι· τρεῖς τοῦ ει. Ἡ τρο, τοῦ μικροῦ· πλὴν τοῦ τρώγειν· τρώγλη· μέσον τὸ ι, τροχιλία. Τῆς δὲ τα· καὶ τρα, μέσον τὸ ι, τάριχος· πλὴν τοῦ τράχηλος· τῶν η· καὶ ταμεῖον τοῦ ι· ἢ ταπεινός· τοῦ ει. Ἡ φαι, τῶν ε· πλὴν τοῦ φαιὸν· φαιδρὸν· φαίνω. Ἡ φι, πρὸ μὲν φωνήεντος τῶν υ· φύω· ὅθεν τὸ φῦμα· πλὴν τοῦ φιάλη τοῦ ι.

Ἔτι πρὸ τοῦ γ· πλὴν τοῦ φηγὸς ὧν η. Ἔτι πρὸ τοῦ κ· φῦκος. Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ φίλος· καὶ φιλύρα· τῶν ι. Ἔτι πρὸ τοῦ ρ, φύρειν.

Ἔτι πρὸ τοῦ σ· φύσις· φυσᾶν. Πρὸ δὲ τοῦ β, τοῦ οι· φοῖβος· πλὴν τοῦ φιβάλεως. Ἔτι πρὸ τοῦ ν, φοῖνιξ. Πρὸ δὲ τοῦ δ, τοῦ ει· φείδομαι. Πρὸ δὲ τοῦ μ, τῶν η· φήμη· πλὴν τοῦ φιμός. Πρὸ δὲ τοῦ τ, φυτὸν, τοῦ υ· ὅθεν τὸ φυτεύειν, ἢ φοιτᾶν, τοῦ οι· ὅθεν τὸ φοιτητής. Τὰ δὲ λοιπὰ, τῶν ι· φιτρός· φιτύω. Ἡ φθι, πρὸ μὲν φωνήεντος, τοῦ ι· φθία. Ἔτι πρὸ τοῦ ν· φθίνω. Πρὸ δὲ τοῦ ρ, τῆς ει· φθείρω. Ἡ φθο, τοῦ μικροῦ· φθορά.

Ἡ φλε, τοῦ ε· φλέγω. Ἡ φλι, πρὸ μὲν φωνήεντος, τοῦ υ· πλὴν τοῦ φλιά· τοῦ ι· καὶ φλοιός, τοῦ οι. Ἔτι πρὸ τοῦ κ· φλυκταίνα· πρὸ δὲ τοῦ ν, τοῦ η· Πρὸ δὲ τοῦ σ, τοῦ οι· φλοῖσβος. Ἡ φλο, τοῦ μικροῦ· φλόξ. ||φλήναφος

Ἔτι ἡ φο, τοῦ μικροῦ· πλὴν τοῦ φῶς· φώκη· φωλεός· φωνή· φώρ· φωριαμός· μέσον τὸ ι· πλὴν τοῦ φορυτὸς· καὶ φρυάττειν, τοῦ υ. Ἡ φρε· πρὸ μὲν τοῦ ν, φρὴν τῶν η· φρυνὸς· τοῦ υ· μέσον τὸ ι· φρύνιχος. Πρὸ δὲ τοῦ κ· μονοσύμφωνον τοῦ ι· φρίκη. Ἔτι πρὸ τοῦ μ· καὶ σ· καὶ τ· φριμάσσεσθαι· φρέαρ. Τὰ δὲ λοιπὰ, τοῦ υ· φρύγειν· φρυκτός· μέσον τὸ ι, φρυγίλος.

Ἡ φρο, τῷ μικρῷ· φρόνιμος. Τῆς δὲ φα, μέσον τὸ ε, φαέθων· φανερός. Ἡ χε· τῷ ε· παρὰ τὸ χαίρειν· καὶ χαίτη· μέσον τὸ ι· χελιδὼν, πλὴν τοῦ χελύνη· καὶ τὸ μέγα χαιρώνεια· χελώνη. Ἡ χε, πρὸ μὲν τοῦ α, τῇ ει· χεῖα. Ἔτι πρὸ τοῦ λ· πλὴν τοῦ χηλή· τῷ η· καὶ χυλός· τῷ υ· καὶ χεῖλος· καὶ χίλια τῷ ι. Ἔτι πρὸ τοῦ μ· πλὴν τοῦ χίμετλα τῷ ι. Πρὸ δὲ τοῦ δ, τῷ υ· χύδην. Πρὸ δὲ τοῦ τ, μονοσυμφώνου μὲν τῷ ι· χιτὼν· δισυμφώνου δὲ τῷ υ· χύτρα· χύτλον. Ἡ χθε, τῷ ε· χθές. Ἡ χθο, τῷ μεγάλῳ μὲν ἐπ' εὐθείας· χθών· τῷ μικρῷ δὲ ἐπὶ γενικῆς· χθονός· ὅθεν τὸ χθόνιος. Ἡ χλι, τῷ ι· χλιδὴ. Ἡ χλο, τῷ μικρῷ· παρὰ τὸ χλωρός. Ἔτι ἡ χνο· τῷ μικρῷ· χνόη. Ἔτι ἡ χω, τῷ μικρῷ· πλὴν τοῦ χωλός· χώρα· χῶμα. Ἡ χρε τῷ ε· χρεμετίζω. Ἡ χρη μόνη τῷ η· χρή. Πρὸ δὲ τοῦ α· χρεία τῇ ει· χροιὰ ὀξυτόνως τῇ οι. Πρὸ δὲ ἑτέρου φωνήεντος τῷ ι· χρίω· ὅθεν τὸ χριστός· πρὸ δὲ τοῦ μ· καὶ σ· τῷ η· πλὴν τοῦ χρυσός τῷ υ. Ἡ χρο, τῷ μικρῷ· παρὰ τὸ χρῶμα· καὶ χρώς. Τῆς δὲ χα, μέσον τὸ ι, χαλινός· πλὴν τοῦ χάρυβδις· τῷ υ. Ἡ ψε, τῷ ε· παρὰ τὸ ψαίρω. Ἡ ψι, πρὸ μὲν τοῦ α· καὶ θ, τῷ ι· ψίαθος· ψιθυρίζειν· πλὴν τοῦ ψοιδης τῇ οι· μέσον τὸ υ· ψιθύρισμα. Ἔτι πρὸ τοῦ λ, ψιλός· πλὴν τοῦ ψηλαφᾶν, τῷ η, καὶ ψύλλα· τῷ υ. Ἔτι πρὸ τοῦ μ· ψίμμας· παρὰ τὸ ψῆν· τῷ η. Πρὸ δὲ τοῦ ν, τῷ η· ψῆν· ὅθεν τὸ ψῆγμα· καὶ ψῆκτρον. Ἔτι πρὸ τοῦ φ· ψῆφος. Πρὸ δὲ τοῦ κ· ἢ χ· τῷ υ· ψυκτήρ· ψυχή. Ἡ ψο, τῷ μικρῷ· ψολόεις· παρὰ τὸ ψώθιον· ψωλός· ψωμός· ψωρὰ· ψώχω. Καὶ τῆς ψα δὲ· μέσον τὸ υ, ψαθυρός. Καὶ τῆς α δὲ μέσον τὸ ι· αἰτός· αἴγλη· ἀρτίμ· πλὴν τοῦ ἀραιὸν· ἀκραιφνής· ἀπαίρω· ἀχαιός· ἀσκαίρω. Καὶ τὸ η, ἐν βδη· ἄβδηρα. Ἔτι ἐν βλη· ἀβληχρός. Ἔτι ἐν θη, ἀθήνα· παρὰ τὸ ἀθύρω· τῷ υ. Ἔτι ἐν δη, ἀδημονῶ. Ἔτι ἐν θρη, ἀθρήνη· πλὴν τοῦ ἀθερίνης· τῷ ι· καὶ ἀθροίζω, τῇ οι. Ἔτι ἐν λη, ἀλήτης· πλὴν τοῦ ἀλείφω τῇ ει· καὶ ἀλύω· ἀλύσσω τῷ υ. Ἔτι ἐν πη, ἀπήνη. Ἔτι ἐν σκλη, ἀσκληπιός. Ἔτι ἐν τη, ἀτήλας. Ἔτι ἐν χθη, ἀχθηδών. Ἔτι ἐν γη ἀλγηδών· πλὴν τοῦ ἀλκυών, τῷ υ· καὶ ἀλγεινός, τῇ ει. Ἐν δὲ ἄρβηλα, τῷ η. Ἐν δὲ βει, τῷ ι, ἀμβεικ· πλὴν τοῦ ἀβρύνω, τῷ υ. Ἔτι ἐν γη, ἀγήνωρ· πλὴν τοῦ ἀγείλω, τῷ ει· καὶ ἀγυιά, τῇ υι· καὶ ἀγύρτης· ἄργυρος τῷ υ· καὶ ἀγείρω, τῇ ει. Ἔτι ἐν γι, εἰ μὴ ἀπὸ τοῦ ἄω.

Ἔτι ἐν γρι· ἄγριον· πλὴν τοῦ ἀγρείφνη· τῇ ει· καὶ ἀγροὶ κι· ἀγροιώ-
ται· τῇ οι. Ἔτι ἐν δρι, ἀδρία· πλὴν τοῦ ἀδρύνω, τῷ υ· καὶ ἀνδρεῖος·
τῇ ει. Ἔτι κατὰ εὐφρ· ἀΐω· πλὴν τοῦ ἀηδὼν, τῷ η. Ἔτι ἐν κι· ἀκι-
δνόν· πλὴν τοῦ ἄγκυρα· ἀγκύλον ἄκυλον· ἀκυλίς· τῷ υ· καὶ ἄλκηστις·
τῷ η. Ἔτι ἐν κρι, ἀκριβής. Ἔτι ἐν νι, ἀνία· πλὴν τοῦ ἀνύω· τῷ υ.
Ἔτι ἐν ξι, ἀξία. Ἔτι ἐν ρι, ἀριθμός· πλὴν τοῦ ἀρήγω τῷ η· ἀρύτη-
μα· τῷ υ. Ἔτι ἐν σι· ἀσιώνη. Ἔτι ἐν χι, ἀχιλλεύς· πλὴν τοῦ ἄχυρα·
τῷ υ. Ἔτι ἐν ψι, ἀψίνης· πλὴν τοῦ ἄψυρος τῷ υ. Ἔτι ἐν φι, ἀλ-
φιτα· πλὴν τοῦ ἀλφεῖος τῇ ει· καὶ ἀλφηστὴς τῷ η· καὶ ἀφύη· ἀφύσσω, τῷ υ.
Ἔτι ἐν πι, ἄρτιον· ἐν δὲ μι τὸ υ· ἀμύνω· πλὴν τοῦ ἀμείβω· τῇ ει· καὶ ἄ-
μησος· τῷ η· καὶ ἄμιλλα· τῷ ι. Ἔτι ἐν χρυ, ἀχρυλίς. Ἔτι ἐν βυ, ἀ-
βυδὸς· πλὴν τοῦ ἀβίς, τῷ ι· καὶ ἀρβηλος· τῷ η. Ἔτι ἐν μὲν βω τῷ μέγα·
ἀβωρ. Ἔτι ἐν γω, ἀγωγή· πλὴν τοῦ ἀγορὰ· καὶ ἀγορος. Ἔτι ἐν γρω·
πλὴν τοῦ ἀγρότης. Ἔτι ἐν δω, ἀδωρος. Ἔτι ἐν βλω, ἀβλώσκω. Ἔτι ἐν
πω, ἄμπωτις. Ἔτι ἐν θρω, ἀθρόος. Ἔτι ἐν σκω, ἀσκωλιάζειν. Ἔτι
ἐν σω, ἄσωτος. Ἔτι ἐν βρο, τὸ μικρὸν· ἀβρότονον. Ἔτι ἐν κο, ἀκό-
νη· πλὴν τοῦ ἀκωκή. Ἔτι ἐν κρο, ἀκροατὴς· πλὴν τοῦ ἀκρωτήριον.
Ἔτι ἐν λο, ἀλοῦ· πλὴν τοῦ ἀλώπηξ. Ἔτι ἐν μο, ἁρμόττω· πλὴν τοῦ ἀμωροῦ.
Ἔτι ἐν ρο, ἄροτρον· πλὴν τοῦ ἄρωμα. Ἔτι ἐν σφο, ἀσφόδελος. Ἔτι ἐν
φρο, ἀφροδίτη. Ταῦτα μὲν οὖν πρῶτα καὶ ἁπλᾶ· οὕτω ληπτέον· τὰ δὲ ἐκ
τούτων οὐ χαλεπὸν δὴ ἐτυμολογοῦντα ὀρθογραφεῖν· οἷον πολύδωρος, ἢ μὲν λυ,
τῷ υ· ἢ δὲ δω, τῷ μεγάλῳ ὅτι ἐκ τοῦ πολὺ καὶ τοῦ δῶρον. Καὶ συμφέ-
ρει· ἢ μὲν συμ, τῷ υ· ἢ δὲ φε, τῷ ε· ὅτι ἐκ τοῦ σὺν καὶ τοῦ φέρω. Καὶ ψη-
φίζομαι τῷ η· ὅτι ἀπὸ τοῦ ψῆφος· καὶ ψήφισμα ἔτι τῷ ι ὅτι ἀπὸ τοῦ ψη-
φίζομαι.

## ΣΥΜΦΩΝΩΝ ΔΙΠΛΑΣΙΑΣΜΟ΄Σ.

Κοινὸν δ᾽ ἄρα ὀρθογραφίας παρέπεται ὁ τῶν συμφώνων διπλασιασμός. δι-
πλασιάζεται γὰρ ἐπὶ τινῶν, τά τε μέσα· καὶ τὰ ψιλά· καὶ τὰ ἀμετάβολα·
καὶ τὸ σ· οἷον κάββαλε· ἄττελος· ἄδδην· κόκκος· ἵππος· ἀττικὸς· ἄγος· συμ-
μορία· θύννος· πέρρα· θάλασσα· διπλοῦν δὲ ἢ δασὺ οὐδέποτε· γίνεται δὲ τὸ
τοιοῦτο, ἢ διὰ τὸ εὐφωνότερον· οἷον τὸ ἄλλα· καὶ πίννα· καὶ ἄμ-
μος καὶ ἵππος· καὶ τὰ τοιαῦτα, ἢ τοῦ μακροῦ χάριν· οἷον ψάλ-

μω· ἢ κατὰ συμπάθειαν καὶ μεταβολήν· οἷον ἐγγύη·
Τὸ γὰρ τελικὸν ν, ἐπὶ πρὸ τοῦ γ, ἢ κ, ἢ χ ἢ ξ, σώζεται συντιθέμενον· ἀλλὰ τρέ
πεται εἰς τὸ γ· οἷον ἐγγύη· ἐγκέφαλος· συγχέω· συγξενίζω. Οὕτω πρὸ τοῦ
β· ἢ π· ἢ φ· ἢ ψ· ἢ μ· ἀλλ' εἰς τὸ μ μεταβάλλεται· οἷον σύμβουλος· συμπώ
της· σύμφωνος· σύμψηφος· σύμμαχος. Οὕτω μὴν πρὸ τοῦ λ· ἢ ρ· ἢ σ·
ἀλλ' εἰς τὸ ἐπιφερόμενον αὐτὸ τρέπεται· συλλαβή· σύρρους· σύσσιτος. Ὅθεν δὴ
καὶ τὰ ἀπὸ τῶν εἰς εις ἀρσενικῶν θηλυκὰ εἰς σσα, τῷ διπλῷ γράφεται·
χαρίεις, χαρίεσσα· ἀπὸ γὰρ τοῦ χαρίεντος· μεταβαλόντος μὲν δὴ τοῦ ν ὡς
εἴρηται. Τό γε τι ρ διπλασιάζεσθαι συμβαίνει· ἢ τὸ μ· καὶ λ· καὶ ρ· ἢ σ·
αὐτὸ δὲ τὸ ν, ὥστε τῇ συνθέσει συμβαίνει διπλασιάζεσθαι, τῆς συλ
λαβῆς ἀπὸ τοῦ αὐτοῦ ἀρχομένης· ἔννοια· σύννους. Καὶ ἄλλως ἐπὶ
τῶν εἰς νω παραγομένων ἀπὸ τῶν εἰς ω καθαρῶν ῥημάτων· τίνω, τιννύω·
κἀντεῦθεν καὶ ἐπὶ τῶν εἰς μι, φυλασσομένου· τίννυμι. Τοὐναντίον δὲ συμ
βαίνει ἐκλείπειν ν, ἐν ταῖς συνθέσεσι παντελῶς· ἐφ' ὧν σ ἐπιφέρεται· συ
στέλλω· σύστημα· συστοιχία. Τὸ δὲ λ διπλοῦν ἢ ἐπὶ τῶν παραγομένων
μὴ μακρᾷ φύσει παραληγόντων· ὀφθαλμός· ποικίλλω· βδύλλω· ἀτιτάλλω·
ὄλλυμι· πλὴν τοῦ θέλω ἢ πέλω. Τὸ δὲ μ, ἢ μεταβολῇ τοῦ κ διπλα
σιάζεται· οἷον ἐπὶ τῶν προπαροξυτόνων· γέγραμμαι· τέτυμμαι. Τὸ δὲ ρ
ἢ μεταβολῇ τοῦ σ, διπλασιάζεται διὰ τὸ συγγενὲς δηλονότι ἢ τοῦ
τοῦ· πυρσός· πυρρός· πρόσω πόρρω· καθόλου δὲ ἢ ὅταν ἀρχομένῃ λέξει συν
τεθῇ τῇ λήγουσιν εἰς φωνῆεν· ῥῆμα· ἐπίρρημα ῥῆσις, ἀρρησία· ῥωσ·
ἄρρωστος· οἷον πλὴν ἢ τὸ αὔξησιν γινόμενον συλλαβικῇ· ῥίπτω, ἔρριπτον.
Ἐξαιρείσθω τὰ ἐκ τοῦ ἀντιλέγεσθαι· τὸ δὲ ἀμφίρυτον ἢ ἄρριχον· διὰ μέτρον
οὐκ ἀπείληφε τὸ διπλοῦν. τὸ δὲ σ διπλοῦν καὶ ἐπὶ τῶν εἰς σσα θηλυκῶν ἐ
θνικῶν· κίλισσα· λίβυσσα· θρᾷσσα· μάγνησσα. Καὶ ἐπὶ τῶν ἰωνικῶν δοτι
κῶν τῶν πεμπτοκλίτων· πάντεσσι· θήρεσσι· καὶ τῶν τοῖς ἀττικοῖς, εἰς τὸ δύο τ
τὸ μεταπεποιημένων· γλῶσσα· γλῶττα· δισσόν, διττόν· ὀρύσσω, ὀρύττω.
Εὐλογώτερον μέντοι ἐπὶ τοῦ ὀρύττω, καὶ τῶν ὁμοίων, τὸ γράφειν· ὀρύσσω,
καθάπερ καὶ τοῖς παλαιοτέροις τῶν ἀντιγράφων εὑρίσκομεν. Οὐκ ἔξω δὲ
καὶ τοῦτο εἰδέναι τῶν ποιητῶν διὰ τὸ μέτρον διπλασιασμοί· τὰ γὰρ ἀπὸ τοῦ δ· ἢ
σ· ἤτοι τῶν μεταβόλων ἀρχόμενα ῥήματα διπλασιάζουσι κλινόμενα

h iiii

εἰς παρατατικοὺς καὶ ἀορίστους· οἷον, ἔδδεισεν· ἔσσυτο· ἔλλαχεν· ἔμμορεν· ἐννάειν· τὸ δ' ἔρρειν, κοινόν. Καὶ ἐπὶ τῶν ὀνομάτων δὲ τά τε ἀμετάβολα καὶ τὸ σ· ἀγάννιφον· ἐννοσίγαιος· περιαλλίη· μέσσον. Καὶ μὴν ἐπὶ τῶν βαρυτόνων μελλόντων καὶ ἀορίστων· οἷον σβέσσω, ἔσβεσσα· γελάσσω, ἐγέλασσα· τὸ δὲ κάββαλεν καὶ κάππεσεν καὶ τὰ τοιαῦτα, οὐχ ἕνεκα μέτρου διπλασιάζεται· ἀλλὰ τῷ τὸ μεταβάλλον εἰς τὸ ἑπόμενον σύμφωνον, διὰ τὴν συμφωνίαν ἀποκοπέντος τοῦ α· κατέβαλε, κάββαλεν· καὶ τὰ ἄλλα δέ. Ἔτι τὸ δ καὶ τὸ π, ἐν τοῖς ἐπιρρήμασιν· ἄδδην· ὁππότε· καὶ τὸ τ, ἐν τῷ ὅττι. Δῆλον δ' ἄρα κἀντεῦθεν ὅτι βραχυντικὴ ἡ παραγωγή· ἐννέα μὲν γὰρ τῷ διπλῷ, ἔνατος δὲ τῷ ἁπλῷ. καὶ τέσσαρα μὲν, τέταρτος δέ· καὶ θάλλω μὲν, θαλερὸν δέ. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ἀλλὰ περὶ μὲν προσῳδίας τε καὶ ὀρθογραφίας ἀποχρώντως σχεδόν τι εἴρηται:~

:~ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ:~

## ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ, ΤΟ ΤΕΤΑΡΤΟΝ·

ΛΟΙΠΟΝ δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. γραμματικοῦ γὰρ καὶ ἡ περὶ ταῦτα θεωρία, καὶ τῆς γε τοιαύτης συντάξεως τοῦ λόγου ἕνεκα πραγματεύεται, ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει, ἢ προσῳδίας, ἢ ὀρθογραφίας· καθάπερ καὶ ὁ διαλεκτικὸς τοῦ συλλογιστικοῦ λόγου ἕνεκα, περὶ ὀνόματος καὶ ῥήματος καὶ προτάσεως θεωρεῖ. Λεκτέον τοίνυν καὶ ὅπως ἄρα τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συντακτέον μὲν ἀποτελοίη τὸν λόγον, ἵνα τέλος ἡ εἰσαγωγὴ ἔχῃ· καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα καὶ ὁριστέον ἐνταῦθα:~

## ὍΡΑΣΙΣ ΣΤΟΙΧΕΙΟΥ.

Ἀρκτέον δ' ἐντεῦθεν ἀπὸ τῶν πρώτων· οἷον τῶν στοιχείων· ταῦτα γὰρ πρῶτά ἐστιν ἀμερῆ ὄντα τῆς φωνῆς· τὸ γὰρ ὡς ἔτυχεν ἐπιπλέκεσθαι ἀλλήλοις εἰς σύστασιν συλλαβῆς· ἀλλ' ὥς ἐστι τοῦτο μὲν δῆλοι, εἰ ἔχει τι ἀδιατάκτως κινούμενα πως συντάσσεσθαι κατὰ λόγον.

## ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΣΤΟΙΧΕΙΩΝ.

Τῶν οὖν στοιχείων τὰ μὲν ἀφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα φωνήν· οἷον τὰ φωνήεντα καλούμενα· τὰ δὲ ψόφον· οἷον τὰ σύμφωνα πάντα· φωνὴν δ' οὔ, ἄνευ γε τῆς τῶν φωνηέντων ἐπιπλοκῆς. Τούτων δ' αὖ πάλιν τὰ μὲν ψόφον ἀτελέστερον· οἷον τὰ ἄφωνα· τὰ δὲ τελεώτερον· οἷον τὰ ἡμίφωνα.

Συμπάντων δὲ τὰ μὲν προτακτικά· τὰ δὲ ὑποτακτικά· τῶν μὲν γὰρ φωνηέντων προτακτικά, ὡς ἐπὶ τῶν διφθόγγων τὰ α·ε·ο, ὑποτακτικὰ δὲ τὰ ι·υ· προτακτικὸν γε μὴν καὶ αὐτὸ τὸ υ, τοῦ ι· ὡς ἐπὶ τοῦ μυῖα· υἱός· ἅρπυια· καὶ ἑτέρων πλειόνων. Τῶν δὲ συμφώνων προτακτικὰ μέν, ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα λέξεως· τὰ δασέα καὶ ψιλὰ καὶ μέσα· τῶν ἀμεταβόλων τὸ μ· καὶ ν· καὶ τῶν διπλῶν τὸ ζ. Καὶ τῶν μὲν δασέων, τὸ φ· καὶ χ, ἐπιδέχεται τὸ θ· ἐχθρός· φθορά· ἀνάπαλιν δ' οὔ. Τούτοις δ' ὁμοίως ἐστὶ τὰ ψιλά τε καὶ μέσα ἔχει· ἀκτίς· ἄπτω· ὄγδοον· βδέλλω· ὅτι μὴ ἡ τοῦ γ δ σύνταξις ἐπὶ ὑποτακτικῶν συλλαβῶν μόνων. Ἔτι τε τὰ δασέα τοῖς ψιλοῖς τε ἐν μέσῳ οὐδέποτε συμφέρεται προτασσόμενα· ὑποτασσόμενα δὲ τοῖς ψιλοῖς ἐστιν ἐν διαστάσει· ἀτθίς· σαπφώ· ἴακχος· οὐκέτι δὲ ἐστὶ τοῖς μέσοις.

## ἈΜΕΤΑΒΟΛΑ.

Τῶν δὲ ἀμεταβόλων τὸ μὲν ν πρὸ τοῦ μ, κεῖσθαι οὐ πέφυκεν ἐπί γε αὐτῆς λέξεως· διὸ καὶ ἐπὶ τοῦ κέκλιμαι· καὶ κέκριμαι, τὸ πρὸ τοῦ μ συμβαῖνον ν, ἀποβάλλεται· ἐπικεῖσθαι μέντοι κατὰ σύμφωνον· ὡς ἐπὶ τοῦ μνεία· ἀμνός· ἀνάπαλιν δὲ τὸ σ· οὐδέποτε γὰρ ὑποτακτικὸν τοῦ μ ἐπὶ τῆς αὐτῆς· καὶ τοῦ λ· καὶ ν· ἀσυντάκτων μόνον· ὡς ἐπὶ τοῦ ἄλσος· καὶ τίρυνς· καὶ ἕλμινς. Τοῦ δὲ ρ, ὡς μάλα· πέρσω, πυρσός· διὰ τὸ φωνήεντος δύναμιν ἔχειν τὸ ς αὐτὸ δέ τι ρ, οὐκ ἔστιν ὅτε προτάσσοιτ' ἂν συντασσόμενον. Ἔτι τῶν δασέων τὸ θ καὶ χ· συζευγνύμενα τῷ μ ἀποτελεῖ συλλαβὴν ὑποτακτικήν· προτακτικὴν δ' οὔ· ἀριθμός· αὐχμός. Ὡσαύτως δὲ ἐστὶ τῶν ψιλῶν, τὸ κ· ἐστὶ τῶν μέσων· τὸ γ· ἀκμή· ὄγμος. Ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ πρὸ τοῦ δ τῷ γ· ὄγδοος· καὶ τῷ φ καὶ τ πρὸ τοῦ ν· ἔτνος· ἀφνειός. Ἔτι τὸ θ· καὶ χ· τῷ μὲν λ· καὶ ν· καὶ ρ, τῶν ἀμεταβόλων,

συμπέσει προτίθεμαι εἴτε προτακτικὸν εἴτε ὑποτακτικὸν ὧν ἐστὶ μ̄, εἰς ὑποτακτικὴν μόνον ὡς εἴρηται. Τὸ δὲ φ̄, ὁμοίως μὲν καὶ τὰ σύστοιχα πρὸς τὸ λ̄. καὶ ρ̄. εἰς μόνην δὲ ὑποτακτικὸν πρὸς τὸ ν̄. ἄφνω ἀσυλλήπτως δὲ πρὸς τὸ μ̄ ἔχει παντάπασι. Καὶ τὰ ψιλὰ δὲ καὶ μέσα τοῖς ἀμεταβόλοις συμπέσει. ὡς τὸ θ̄. καὶ χ̄. πλὴν τὸ π̄ ἀσυμβαίνοντι ἔχοντος πρὸς τὸ μ̄. Καὶ πλὴν τοῦ τ̄. ἀσυντάκτου μὲν τῶν ν̄ εἰς προτακτικὴν συλλαβὴν τὸ μ̄ δὲ προσλαμβάνοντος ὑποτακτικὴν ἐν παμφωνήμῃ μὲν αἴτμις. Καὶ πλὴν τοῦ β̄. ἀσυντάκτου πρὸς τὸ μ̄ καὶ ν̄, ἔχοντος ὁ λ̄. Καὶ πλὴν τοῦ δ̄. τοῦ μὲν μ̄, καὶ ἐπιπλεκομένου. καὶ προπλεκομένου δμωός. ἀδμῆτος. ὧν δὲ λ̄ μὴ δόλους οὕτω τι ὄντος συναπτέσθαι. Καθόλου δὲ περὶ συμφώνων μεταξὺ ὂν δυοῖν φωνηέντων περὶ μίαν λέξιν, ὧν ἀμφοτέρων συλλαβισθῆ· ἄγρα. φθόγγος. ἐὰν μὴ δὲ μία λέξις ἀλλὰ δύο. πάθος δὲ ἐκθλίψιν ἡ πρώτη, τὸ πρὸ τοῦ ἀποστρόφου σύμφωνον τῷ ἑπομένῳ φωνήεντι συντακτέον. κατ᾽ ἐκείνου, κατ᾽ ἐκείνου.

Ἔτι ἐὰν τύχῃ κατ᾽ ἀρχὴν λέξεως σύμφωνον συμφώνου ἡγησάμενον ἐν συλλήψει, τὸ δ᾽ ἐν μέσῳ λέξεως συνήθως χωρίζεται. Καὶ ὅλως τὰ κατ᾽ ἀρχὴν λέξεως πρὸ ἑτέρων τῶν εἰδῶν συμφώνων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέσῳ λέξεως εὑρίσκοιτ᾽ ἂν ἐν συλλήψει. οἷον ὕβρεις, ὅτι καὶ βρέχω. ἄγρος, ὅτι καὶ γράφω. ὅπλον, ὅτι καὶ πλέω. ὕμνος. ὅτι καὶ μνεία. ὅσα δὲ μὴ, ἐν διαστάσει κεῖται ἀεί. οὐκ οὖν τὸ ἔθνος, ἐν συλλήψει. ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ σ̄. θ̄. λ̄, τυγχάνει τις ἀρχομένη. οὐδὲ τὸ ὄγδοον, ὅτι οὐκ ἀπὸ τοῦ γ̄ δ̄ ἀρχή. οὐδὲ τὸ ὄγκος ὅτι οὐκ ἀπὸ τοῦ γ̄ κ̄. Ἔτι τὰ αὐτὰ σύμφωνα οὐδέποτε ἐν συλλήψει. ἐκκόπτω. ἴδδεισεν. κάββαλε. καὶ τὰ τοιαῦτα ἐν διαστάσει. Ἔτι πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. Ἔτι οὐκ ἔστιν εὑρεῖν τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύο ταυτοδυναμεῖ.

ΜΕΤΑΘΕΣΙΣ

Γίνεται δὲ ἡ μετάθεσις τῶν στοιχείων. καρδία, κραδία. ἄξαντες, ἀτξαντες. σφάραγγα. φάσγανον. ὀλίσθος, λοισθός. Καὶ πάθη συμβαίνει τοιαῦθ᾽ ἅμα τὸ μὲν μακρὸν εἰς βραχία διαλύεται. ἦγε, ἄγε. καὶ ἀνάπαλιν συναιρεῖσθαι. ἱερόν, ἱρόν. δῖος, δῖος. ταῦτα τὰ μὲν ἑτέρας ἂν θεωρίας εἴη.

## ΟΡΟΣ ΣΥΛΛΑΒΗΣ.

Οὕτω μὲν οὖν τὰ στοιχεῖα πρὸς ἄλληλα ἔχοντα συντίθησι διαφόρως τὴν συλλαβήν, σύλληψιν οὖσαν στοιχείων εὐαρμόστως συντεταγμένων. Ὃν δὲ τρόπον ἡ τῶν στοιχείων συμπλοκὴ ἐθὲν ἀπαρτίζει, οὕτω καὶ αἱ συλλαβαὶ κατὰ λόγον ἀλλήλαις συνιοῦσαι τὴν λέξιν ποιοῦσι· καὶ αὖ πάλιν αἱ λέξεις τὸν λόγον:~

## ΟΡΟΣ ΛΟΓΟΥ.

Ἔστι γάρ τοι ὁ λόγος, σύνταξις λέξεων εὐαρμόστως συντιθεμένων διάνοιαν ἔχουσα αὐτοτελῆ:~

## ΟΡΟΣ ΛΕΞΕΩΣ.

Λέξις δὲ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. Καὶ μέντοι καὶ πολλαχοῦ ὅμοιόν τι ἐπί τε τῶν στοιχείων καὶ ἐπὶ τῶν λέξεων. καὶ ἐπὶ τῶν λόγων ἔστι θεωρεῖν. Διπλασιάζεται γὰρ οὐ μόνον στοιχεῖον· ἴππος· ἄλλος· ἀλλὰ καὶ συλλαβή· ἀλαλάζω· μεμένηκα· προπροκυλινδόμενος· καὶ λέξις· ἆρες ἆρες, τὸ Ὁμήρου· καὶ τὸ κύκλωψ κύκλωψ, τὸ Θεοκρίτου· καὶ ἰοὺ ἰού, Ἀριστοφάνους· καὶ λόγος· τὸ δ' ἐγὼ ἄρτιός εἰμι· καὶ εἰ πυρὶ χεῖρας ἔοικεν· εἰ πυρὶ χεῖρας ἔοικε· μένος δ' αἴθωνι σιδήρῳ, τὸ Ὁμήρου· καὶ τὺ δ' ὠδᾶς ἄρχεο πρᾶτος· τὺ δ' ὠδᾶς ἄρχεο πρᾶτος, τὸ Θεοκρίτου:~

## ΠΛΕΟΝΑΣΜΟΣ.

Ἔτι καθάπερ στοιχεῖον ἔστιν ὅτε πλεονάζει, οἷον τὸ α· στάχυς, ἄσταχυς· πνοή, πνοιή· τοῦτον, τουτονί· οὕτω καὶ συλλαβή· λοιπὸν, προλοιπών· ἔτυμον· ἐτήτυμον· ἔφη, ἔφησθα. Καὶ λέξις. τοῦτο μὲν ἐν συνθέσει. τοῦτο δὲ ἐν παραθέσει· βοῶν ἐπιβουκόλος ἀνήρ· χρυσοῦ δὲ στήσας ὅ δύνασθαι δὴ κατὰ πάντα τάλαντα· καὶ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός· ἐνθάδε μὲν γὰρ τὸ πάντα, ἐνθάδε δὲ τὸ μάλα πλεονάζον· τοιοῦτον δὲ καὶ τὸ ὀφθαλμοῖσιν ἴδωμαι· καὶ οἱ παραπληρωματικοὶ δὲ οὐθὲν πολλαχοῦ εἰς ἔννοιαν συντελοῦσι· καὶ λόγος· ἔοικέ τοι οὔ τοι ἀεικές· τὸ γὰρ οὔτοι ἀεικὲς περιττόν· καὶ ἅσσα οἱ αἶσα γινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τίκε μήτηρ· πλεονάζει γὰρ τὸ ὅτε μιν τίκε μήτηρ:~

## ΕΛΛΕΙΨΙΣ.

Ἔστι στοιχείου μὲν ἔλλειψις· γαῖα· αἶα· ἑκατέρωθεν, ἑκάτερθεν· πολλάκις, πολλάκι· συλλαβῆς δὲ, ἀστράπτει, στράπτει· ἀμφιφορεύς· ἀμφορεύς· ἀπόλλωνα, ἀπόλλω· λέξεων δὲ, εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης· ἐνδεῖ γὰρ τὸ ἐστίν· καὶ τὸ Θεοκρίτου ὁ δέ μοι τὸ λαγωβόλον

ἡδὺ γελάσας ὥσπερ ὁ ἐκ μοισᾶν ξυνήκιον ὡς πᾶσιν εἶμεν. ἔνδεια τὸ ὑπέχεσθαι λόγου ἢ ἐλλείψεις· καθάπερ τὸ παρ' οὗ τοὺς θεοὺς ὑπερφρονεῖν· ἀλλ' οὐκ ἀπὸ γῆς ὑπερίλλει, ὥσπερ τὸ ἠβέλτερον τοιοῦτον καὶ τό, εἰ μὲν καταλύσαιντό τινα, εἰ δὲ μὴ ἀνεκρούοντο πρὶν εἰς χεῖρας ἐλθεῖν· ἐνδεῖ δὲ τὸ ἐὰν εἶχεν· ὁμοίως δ' ἂν εἴη καὶ τὸ, τὸν ἅπαξ ῥηθέντα λόγον δὶς καὶ τρὶς καὶ πολλάκις λαμβάνοντα ἀπὸ κοινοῦ ἐννοεῖν· οἷον κόσμος ἀνθρώπου φρόνησις· σωφροσύνη· δικαιοσύνη· ἀνδρεία· πᾶσι γάρ τοι προσυπακούεται τὸ κόσμος ἐστί:~

## ΥΠΟΤΑΚΤΙΚΗ ΘΕΣΙΣ.

Ἔτι ὥσπερ ἐπὶ τῶν συλλαβῶν ἔστιν ἃς ὑποτασσομένας μηδέποτε προτασσομένας εὑρεῖν, οὕτω τοι καὶ ἐπὶ τῶν λέξεων· τὰ γὰρ ὑποτακτικὰ τῶν ἄρθρων καὶ αἱ ἐπιταγματικαὶ ἀντωνυμίαι, καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων τοιάδε· ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τοῦ λόγου· τοῦτο γάρ τοι συνημμένον· εἰ περιπατεῖ Σωκράτης, κινεῖται:~

## ΔΙΑΛΥΣΙΣ ΚΑΙ ΣΥΝΑΙΡΕΣΙΣ.

Ἔτι ὥσπερ τὰ στοιχεῖα ἀνάλυσιν καὶ συναίρεσιν πάσχει, οὕτω καὶ συλλαβή· πηλείδου, πηλείδαο· ὁμοίως καὶ ἡ λέξις [illegible] καὶ δακρυχέων, καὶ λόγος· συντίθενται μὲν γὰρ συνδεδεμένοι ἀλλήλοις οἱ λόγοι· διήρηνται δὲ ἀσύνδετοι ὄντες:~

## ΜΕΤΑΘΕΣΙΣ.

Καὶ μὲν δὴ καὶ συλλαβαὶ μετατίθενται τοῖς στοιχείοις ὁμοίως· κελάρυζα· λακέρυζα· κρυπτοκέφαλος, κεπτοκρύφαλος· καὶ λέξις· οἷον εἴ τις θεὰς σεμνὰς τὰς σεμνὰς θεὰς λέγοι· καὶ ἄπυρον θεῖον τὸ θεῖον ἄπυρον· ἐνθάδε μὲν γὰρ τὸ σεμνάς· ἐνθάδε δὲ τὸ θεῖον προτέτακται συνήθως· καὶ λόγος· οἷον τὸ καλούμενον πρωθύστερον· οἱ δ' ἀνέστησαν πύλας καὶ ἀπῶσαν ὀχῆας:~

## ΔΥΝΑΜΙΣ.

Ἔτι ὃν τρόπον τῶν στοιχείων τὰ μὲν φωνήεντα, τὰ δὲ σύμφωνα, ταύτῃ καὶ τῶν λέξεων· τὰς μὲν, οἷον τε προφέρεσθαι καθ' αὑτάς· οἷον τὰ προστακτικὰ τῶν ῥημάτων· καὶ τὰς κλητικὰς τῶν ὀνομάτων καὶ ἀντωνυμιῶν ἔσθ' ὅτε· τὰς δὲ, οὐκ ἔστιν ἄνευ ἑτέρου τοῦ προσυνεχθῆναι κατὰ διάνοιαν ἐντελῆ· οἷον προθέσεις τε καὶ συνδέσμους· αἱ γὰρ τοιαῦται λέξεις αἰεὶ συσσημαίνουσι προσκείμεναι δηλονότι ἑτέροις· ὅθεν δὴ αἱ σημασίαι

τούτων μετὰ τέτταρσιν· ἢ μὲν οὖν ἀλλήλοις ὅμοια στοιχεῖον καὶ συλλαβὴ ἢ λέξις ἢ λόγος, εἰρήσθω ἐπὶ τοσοῦτον:~ ΑΝΑΛΟΓΟΝ.

Κοινὸν δὲ παράλογον λέξεως ἢ λόγου. τὸ τὸν μὲν λόγον παρὰ τὴν τοιαύτην λέξεων σύνθεσιν ὀρθῶς ἔχειν ἢ μή· τὴν δὲ λέξιν παρὰ τὴν τῶν συλλαβῶν ἢ στοιχείων. ὅ,τι γὰρ βαρβαρισμὸς ἁμάρτημα περὶ λέξιν ἐστίν, ὅ,τι σολοικισμὸς ἁμάρτημα περὶ λόγον:~ ΒΑΡΒΑΡΙΣΜΟΣ.

ΚΑΙ τετραχῶς μὲν ὁ βαρβαρισμός, τοσαχῶς δὲ καὶ ὁ σολοικισμός. ἢ γὰρ ἐνδείᾳ βαρβαρίζων τις ἐλέγχεται· δημοσθένους· δημοσθένου. γεγράφασιν· γέγραφαν. Ἢ πλεονασμῷ· αἰσχίνου, αἰσχίνους. κοιμῶ· κοιμῶσαι. τοιοῦτο δὲ καὶ τὸ διαιρούμενον φαύλως· κοῖλον, κόϊλον. Ἢ μεταθέσει· κρόταφον· κότραφον· δίφρον· δρίφον. Ἢ ἐναλλαγῇ· φιάλη, φιέλη· ὕαλον, ὕελον· αἰνείου, αἰνεία. Καὶ περὶ προσῳδίας. φίλος, φιλός· μισθωτὸς, μίσθωτος. Καὶ περὶ χρόνον τε καὶ γραφήν. νῖκος γὰρ τὸ ἴδιον τῇ ει. περὶ τὸν ἀέρα καὶ εἴρηται πρότερον τὸ ὀρθόν:~

ΣΟΛΟΙΚΙΣΜΟΣ.

Ὁμοίως δὲ τοι καὶ ὁ σολοικισμός. ἢ γὰρ ἐνδείᾳ. ἔρχονται πεδίοιο. ἐνδεῖ γὰρ ἡ διά. Ἢ πλεονασμῷ. ἐξ οὐρανόθεν. πλεονάζει γὰρ ἡ ἐξ. Ἢ ἐναλλαγῇ. τόξων εὖ εἰδώς· ἀντὶ τοῦ τοξείας. νέον δὲ ἐσπαίρας θυμόν· ἀντὶ τοῦ νεωστί. ἀκτίνεσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν. τῶν προπροφρονέως ἱερῶν· ἀντὶ τοῦ διό. εἴσω ἁλὸς εὐρέα κόλπον· ἀντὶ τοῦ εἰς εὐρέα κόλπον. τοῦτο δὲ καὶ τὸ γὰρ παρεπόμενα τοῖς τοῦ λόγου μέρεσιν. οἷον εἶδος γένος ἀριθμὸς. σχῆμα. πτῶσιν. Ἢ ἐπιρρήματα. ἢ προθέσεις. ἢ τάξιν συνδέσμων. ἢ συνδέσμους αὐτοὺς ἐναλλάσσει:~ ΕΙΔΟΣ.

Εἶδος μὲν· διαγνωσθῶ καὶ μελάντερον ἠΰτε πίσσα. Γένος δέ· αἱ θηθῆλυς ἵπποι. ἢ οὐκ ἂν ἐφημετέρων ὀχέων πλησθέντος ἀντὶ τοῦ πλησθεισῶν. ἀριθμοῦ δέ· θέατρα γράφεται· ἀντὶ τοῦ θεαταί. Σχῆμα δέ· αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἀντὶ τοῦ ἐμαυτόν. Πτῶσιν δέ· νεστορίδα δὲ μὲν οὔτασεν· ἀντὶ τοῦ νεστορίδην. καὶ ἀστράπτων ἐπιδέξια· ἀντὶ τοῦ ἀστράπτοντος. καὶ δὴ ἴσως διὰ ῥύπα λύθη θάμνος ἐξομόθεν πεφυῶτος. ὁ μὲν πτελέης. ὁ δὲ ἐλαίης. Διάθεσιν δέ· ὁρῶμαι· ἀντὶ τοῦ ὁρῶ. Πρόσωπον δέ· οἱ δὲ θεοὶ εἰσὶν ὀλύμπου. σοί τε ἐπιπείθονται καὶ δεδμήμεθα ἢ σφέτερον

πατέρ' ὑμνείτωσαν· ἀντὶ τὸν ὑμέτερον. Χρόνον δὲ, ἐπεὶ δ' αὖ τῷ βρισηΐδα ἀντὶ οὐ ἄξω. Περὶ ἐπιρρήματα δὲ σολοικισμὸς ἐξ ἀναλλαγῆς· εἴσω δ' ὅρπου ἐκόσμει· ἀντὶ τοῦ ἐντός. καὶ ἐνδύθεν ἱσταμένη, ἀντὶ τοῦ ἔσω. Περὶ δὲ προθέσεις· εἰς Ἀγαμέμνονα δῖον· ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα. καὶ ὑπὸ Ἴλιον ἦλθον· ἀντὶ τοῦ ἐπὶ Ἴλιον.

Περὶ συνδέσμους αὐτὸς μὲν ἐγὼ μαρίω, ἀλλ' ἑτέρου πέμπω, ἀντὶ τοῦ ἑτέρους δέ. καὶ κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν· ἀντὶ τοῦ κρατερὸν γάρ:~

ΜΕΤΑΘΕΣΙΣ.

Σολοικισμὸς δ' ἐκ μεταθέσεως· ὡς τὸ Μενάνδρου θυγάτριον ἡ νῦν ἡμέρα δίδωσι μοι ἢ δόξαν· ἤτοι διαβολήν. τὸ γάρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν ἢ διαβολήν. ταῦτα γε μὴν πάντα εἰ καὶ τοῖς ποιηταῖς σχήματα θεῖα ἐστίν, ἡμῖν μέντοι ὡς ὑποδείγματα κείσθω τοῦ περὶ τὸν πεζὸν λόγον σολοικισμοῦ.

Ἐπεὶ δὲ περὶ λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ· εἶτα περὶ ἑκάστου τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε καὶ μή. Ἔστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκατάλληλον καὶ μή, ἀλλ' ἐν τῇ συντάξει τῶν λέξεων αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. εἰ οὖν ὑπούσης θηλείας λέγοι τις αὐτή με ἔτυψεν, σολοικίζει· κἂν ἀληθεύει τῷ γένει. εἰ μὲν τοιοῦτος με ἔτυψεν, οὐδὲν ἁμαρτάνει· ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος. ὥστε αἱ λέξεις ἀναμεμερισμέναι εἰς θέσεις ἰδίας, τὰ ὁπωσοῦν παρεμπίπτοντα εἰς οὐκ ἐπιβάλλουσαν θέσιν ἐλέγχουσιν διὰ τῆς παρ' αὐτῶν ἀκολουθίας. Τῶν τοίνυν τοῦ λόγου μερῶν, ἃ μὲν εἰς ἀριθμοὺς καὶ γένη καὶ πτώσεις μετασχηματιζόμενα, ἃ δὲ εἰς πρόσωπα καὶ ἀριθμούς, ἃ δὲ μηδὲν ἐπιδεχόμενα τοιοῦτόν τι· ἀλλὰ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα. ταῦτα δὴ μεταληφθέντα ἐξ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν ἢ προσώπων ἢ γενῶν τῇ τοῦ λόγου συντάξει, ἀναμεμέρισται εἰς ἐπιπλοκὴν τοῦ πρὸς ὃ φέρεσθαι ἕκαστον δεῖ. οἷον εἰ οὕτω τύχῃ πληθυντικὸν πρὸς πληθυντικόν· κατὰ τὸ τοῦ αὐτοῦ προσώπου ἐὰν ἐμπίπτωσιν· γραφόμεθα ἡμεῖς. μανθάνουσιν ἄνθρωποι. τὸ δ' ἐγὼ μετα-

βάσει τοῦ προσώπου οὐ πάντη ἀπαιτήσει τὸν αὐτὸν ἀριθμόν. ὥσπερ φαμὲν καὶ τύπτουσι τὸν ἄνδρα. καὶ τύπτουσι τοὺς ἄνδρας:~ ΚΑΤᾺ ΠΤΩ΄ΣΙΝ.

Ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν κατὰ γένος ἢ πτῶσιν ἢ πρόσωπον λαμβανομένων. ἔστι γὰρ καὶ τὸ ἐν μεταβάσει ἀδιαφορεῖ. ἡμῶν αὐτὸς ἀκροᾶται. ἡμῶν αὐτοὶ ἀκροῶνται. καὶ οὐκ εἰ συνέλθῃ κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον. ἡμῶν αὐτῶν ἀκροῶνται. εἰ μὴ παρέμπτωσις συνδεσμικὴ τὸ πρόσωπον διαστήσει. ἡμῶν γε αὐτῶν ἀκροῶνται:~

ΚΑΤᾺ ΓΈΝΟΣ.

Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν γενῶν. οὗτοι οἱ ἄνδρες. τούτους τοὺς ἄνδρας πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ προσώπου ἀδιαφορήσει γε κατὰ γένος. καὶ κατὰ ἀριθμόν. τούτους γυνὴ ὕβρισεν:~

ΚΑΤᾺ ΠΡΌΣΩΠΟΝ.

Καὶ ἐπὶ προσώπου. ἐκεῖνος πατὴρ ὢν ἐπιμελήσεται τοῦ παιδός. ἀλλὰ δὴ καὶ σοῦ. καὶ ἐμοῦ. εἴπερ οὖν μὴ ἐπισυμβαίνει τῇ λέξει τὸ τὴν διάκρισιν διαλάμβανον φανερῶς ποιεῖσθαι, ἀδιαφορήσει τῷ τὸ ἐπιπλέκεσθαι διαφόροις τῷ γένει. ἢ τῇ πτώσει ἢ τῷ ἀριθμῷ. ἢ τῷ προσώπῳ. ἢ τοιούτῳ τινί. ἀνέλεγκτα γὰρ οὕτω τὰ τοῦ μετασχηματισμοῦ γίνεται. καλῶς γράφω. γράφεις, ἔγραψα. δῆλον γὰρ ὅτι κατάλληλος πάντη ἡ σύνταξις. ἡ γὰρ τοῦ ἐπιρρήματος σύνοδος μὴ οὖσα δεκτικὴ ἀριθμῶν. ἢ προσώπων ἢ πτώσεων. ἢ χρόνων, ὧν παραδέχεται τὸ ῥῆμα, ἀκώλυτον τὴν ἐπιπλοκὴν ἔχει καὶ ἥκιστα ἐκ τοῦ ἐλεγχομένην ὁμοειδοῦς. οὐκ ἔτι δὲ ταυτὸ συμβαίνει γε ἐπὶ τοῦ καλός. προσώπου γὰρ τρίτου ἀριθμοῦ ἑνικοῦ τουτί. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις. καλὸς γράφει. καὶ αὖ πάλιν ἐπεὶ τὸ καλὸς οὐ παρέμπτωσιν χρόνου σημαίνει ἀδιαφορεῖ χρόνοις συντασσόμενον διαφόροις. καλὸς γράφει. ἔγραψε. γράψει:~

ΚΑΤᾺ ἘΠΊΡΡΗΜΑ.

Ἔτι τῶν ἐπιρρημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους. προσώποις μὲν διαφόροις καὶ ἀριθμοῖς συντάσσεται. χρόνοις δ' οὔ. κατέβην χθές. κατέβης. κατέβη. καταβαίνει δὲ ἢ καταβήσομαι οὔ. Ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ἐπιδέχεται ἰσοτελῶς. οἷον

ἔσθι· ἄγε· ἡ γὰρ προστακτικὴ ἀνεπίπλοκος τῇ εὐκτικῇ. τὰ δὲ ἄλλα σημασίας ἀμοιροῦντα τοιαύτης ἀκώλυτον ἔχει ἐπὶ πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν.

## ΚΑΤΑ ΣΥΝΔΕΣΜΟΝ.

Καὶ οἱ σύνδεσμοι δὲ οὐδὲν τῶν εἰρημένων τηρούμενοι ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη ἢ πτώσεις ἢ πρόσωπα. εἴγε μὴν καὶ ἐπ' αὐτῶν γίνηταί τις ἐν μέρει διαφορά, κἂν τὰ περὶ τὴν σύνταξιν σώζοιτο· οἷον ὁ ἂν ὅτι τὰ μὴ γεγονότα ἀναιρῶν θέλει παριστᾶν αὐτὰ εἰς τὸ δυνατόν· ὅθεν ἄρα ὁ δυνητικὸς εἴρηται. διὰ τοῦτο παρῳχημένοις συντάσσεται πλὴν τοῦ παρακειμένου. εἰ οὖν τις λέγοι γράψω ἄν, ἀκαταλλήλως συντάττει.

## ΚΑΤΑ ἈΝΤΩΝΥΜΊΑΝ.

Ἔτι ἐπὶ τῶν ἀντωνυμιῶν τὸ ἐμοὶ ἐπὶ ξένου οὐ τίθεται, ὡς δὴ ἐλεγχόμενον ἂν ὑπὸ τοῦ συζύγου τοῦ οἷ. δῆλον δ' ὅτι οὐδὲ τὸ οἷ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον. ἥγε μὴν αὐτὸς ξένου οὖσα, καὶ πρώτου καὶ δευτέρου συντάττεται. ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχει, ὃ ἂν τὸ ἀλλότριον συνελέγξειν· αὐτὸς οὖν ἐγώ· αὐτὸς σύ. ἙΑΥΤΟΎΣ.

Ὅλως γὰρ οὐθὲν συμβαίνει ἁμάρτημα περὶ τὰς ἐν ἀκολουθήσει ὡρισμένας μὴ οὔσας, γινόμενά γε μὴν ἐκτὸς ἀκόλουθα. οὐκ ἔτι παρὰ τὸ δέον συνοισθήσεται· οὐκ οὖν τὸ ἑαυτοὺς ἐπὶ πρώτου ἐν κακῷ· οὐ γὰρ ὑπὸ τοῦ ἐμαυτοὺς διελέγξεται. τὸ ἑαυτὸν δισσῶς· ἔστι γὰρ καὶ τὸ ἐμαυτόν, οὔτε μὴν τὸ σύ· ἢ ἐγὼ ἐπὶ διαφόρων γενῶν φαύλως· οὐ γὰρ τὸ διακριτικὸν γένους· σὺ οὖν αὐτός· σὺ αὐτή· ἐγὼ αὐτός· ἐγὼ αὐτή.

## ῬΗΜΑΤΑ.

Ὁ αὐτὸς δὲ καὶ ἐπὶ τῶν ῥημάτων λόγος· αἱ γὰρ ὧν κοινῶς ἐγκλίσεις εἰς πρόσωπα καὶ ἀριθμοὺς μερισθεῖσαι, τὸ ἀκατάλληλον συνελέγχουσι διὰ ἀριθμῶν καὶ προσώπων. ἡ δὲ ἀπαρέμφατος ἀμοιρήσασα τούτων, ἐπὶ πάντα πρόσωπα καὶ ἐπὶ πάντας ἀριθμοὺς ἐπιβάλλει· γράφειν ἐμέ· ὑμᾶς· σέ· ἡμᾶς. χρόνου γε μὴν καὶ διαθέσεως οὐκ ἀμοιροῦσα, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει.

## ΜΕΤΟΧΑΙ.

Δῆλον ταὐτὸ τοῦτο καὶ ἐκ τῶν μετοχῶν· αἷς μετουσία γένους καὶ πτώ

σεως καὶ ἀριθμοῦ· οὐ μὴν δὲ καὶ προσωπικῆς διαιρέσεως καὶ ψυχικοῦ τοῦ βουλήματος. διὸ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα οὐδὲν φαῦλον συμβαίνει· γράψας ἀνέστη· ἀρίστης· ἀνέστη· ἀνάστηθι· ἀμαρτάνω:~

## ῬΗΜΑΤΑ.

Ἔτι τὸ ἔλεγον καὶ τὰ ὅμοια ἀρσενικὰ ὄντα διὰ τὸ συμπίπτειν τῷ τρίτῳ πληθυντικῷ, καταλλήλως συντάσσεται τῷ πληθυντικῷ· ἔλεγον ἐκεῖνοι· ὑπεξαιρείσθω τὰ δωρικά· ἡ γὰρ ἐν αὐτοῖς κατεβιβαζομένη ὀξεῖα ἀφίστησι τὴν πρὸς τὸ ἐνικὸν σύμπτωσιν:~

## ὈΝΌΜΑΤΑ.

Ὁμόλογον δὲ καὶ τὸ τὰ συμπίπτοντα ἤτοι κατὰ γένος ἢ καθ' ὁτιοῦν ἀφίστασθαι τοῦ ἀκαταλλήλου· οἷον σοφὸς ἡ θεός· καὶ ὅλως τὰ τριγενῆ· τὸ μὲν θεός, σαφὲς κἂν πρὸς θηλυκὸν τάσσηται· τὸ δὲ κλυτὸς καὶ ἄγριος· ὅθεν ἐναγωγὴ τὸ κλυτὸς ἱπποδάμεια:~

## ΜΕΤΟΧῊ.

Ὁμόλογον δὲ καὶ τὸ, τὸ γράφων συντάττεσθαι παρατατικῷ· ἢ δηλονότι συνέμπτωσιν παρατατικοῦ ἐπιδέχεται· γράφων ἔχαιρον:~

## ἈΠΑΡΈΜΦΑΤΟΝ.

Καὶ τὸ ἀπαρέμφατον δὲ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατάλληλον ἀποτελεῖ λόγον ἐν συντάξει τῶν τοιούτων ἐπιρρημάτων· συνέβη χθὲς γράφειν Σωκράτη· συμβαίνει σήμερον γράφειν Σωκράτη:~

## ΔΙΆΘΕΣΙΣ.

Δῆλον δέ τοι καὶ ἐπὶ διαθέσεως· τὰ γὰρ καλούμενα μεσότητος ῥήματα συνέμπτωσιν ἀναδεχόμενα ἐνεργείας καὶ πάθους οὐδὲν παρὰ τὰς διαθέσεις ἁμαρτάνεται:~

## ΠΡΌΣΩΠΟΝ.

Καὶ ἐπὶ συμπτώσεως δὲ προσώπου δῆλον ταυτό· τὸ γὰρ νικῶ, κατάλληλον μὲν ἐπὶ πρώτου ὁριστικοῦ καὶ τρίτου εὐκτικοῦ· ὡς ἔχει τὸ παρ' Ἀλκμᾶνι νικῷ δὲ καὶ ἄρχων· ἀκατάλληλον δὲ ἐπὶ δευτέρου ὁριστικοῦ· ἢ δεύτερον τὸ νικᾷς. Τὸ μὲν οὖν κατάλληλόν τε καὶ μή, τῆς συντάξεως οὕτω πως ληπτέον· καὶ ὅτι τὸ μεταβατικὸν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν, πρὸς γὰρ τὰς διαφορὰς τούτων δυνάμεις. διάφορα καὶ τὰ τῆς συντάξεως ἐν τοῖς καθ' ἕκαστα ἔσται δῆλον.

## ΤῚ ΤῸ ΕὖΥ ΣΥΝΤΆΤΤΕΙΝ.

Διὸ καὶ εἴη ἂν τὸ εὖ συντάττειν, καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ

ι ϛ

τοῦ λόγου μερῶν· ὡς ὁ λόγος ὁ ὀρθὸς λέγεται· καὶ τοὐναντίον τὸ σολοικίζειν. ἁμαρτία γὰρ περὶ σύνταξιν τε καὶ φράσιν ὁ σολοικισμός. τὸ δὲ ὀρθὸν ἐν τοῖς παρὰ ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπὶ τὸ πολὺ λεγομένοις. ἐκ τούτων γάρ ἐστι καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία καὶ μέθοδος:~

## ΠΕΡῚ ὈΝΌΜΑΤΟΣ.

Τῶν δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα καὶ ῥῆμα. τῶν μὲν γὰρ ἄλλων χωρὶς γίνοιτ᾽ ἂν λόγος τέλειος· ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γένοιτο. διαφερέτω δὲ μηδὲν ὄνομα λαβεῖν ἢ ἀντωνυμίαν.

## ὊΡΟΣ ὈΝΌΜΑΤΟΣ.

Ἔστι δὲ τοὔνομα μέρος λόγου πτωτικὸν σημαντικὸν ἄνευ χρόνου. εἴδη δὲ τούτου τὰ μὲν, κατὰ φωνήν· τὰ δὲ, κατὰ σημασίαν. κατὰ μὲν φωνὴν πρωτότυπον καὶ παράγωγον. κατὰ δὲ σημασίαν, κύριον· προσηγορικόν· ἐπίθετον· καὶ ὅσα εἴρηται πρότερον· διήρηται δὲ καὶ τὰ τοῦ παραγώγου· εἰς πατρωνυμικόν· κτητικόν· συγκριτικόν· ὑπερθετικόν· ὑποκοριστικόν· παρώνυμον· καὶ ῥηματικόν·

## ΚΎΡΙΟΝ.

Ἔστι δὲ κύριον τὸ τῆς πρώτης καὶ κατὰ μέρος οὐσίας σημαντικόν· οἷον Σωκράτης, Πλάτων:~

## ΠΡΟΣΗΓΟΡΙΚΌΝ.

Προσηγορικὸν δὲ, τὸ τῆς δευτέρας καὶ καθόλου οὐσίας· οἷον ἄνθρωπος· ἵππος:~

## ἘΠΊΘΕΤΟΝ.

Ἐπίθετον δὲ, τὸ κατὰ κυρίων ἢ προσηγορικῶν λεγόμενον· οἷον ἀνδρεῖος· ταχύς:~

## ΣΎΝΤΑΞῚΣ ἘΠΙΘΈΤΟΥ.

Τοιοῦτο δ᾽ ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμογενές τε καὶ ὁμόπτωτος καὶ ὁμοάριθμος τοῖς κυρίοις καὶ προσηγορικοῖς προστίθεται· ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ· ἡ γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τοι ἀκριβής· ὑγιὴς οὖν τὸ σῶμα· καὶ λευκὸς τὴν τρίχα καὶ πυρρὸς τοὺς ὀφθαλμούς:~

## ἘΝΆΡΘΡΩΣ.

Καὶ τὰ μὲν, ἐνάρθρως· τὰ δὲ, ἀνάρθρως· ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀπούσα· οἷον ἀγαθὸς Σωκράτης φιλοσοφεῖ· ὁ Σωκράτης ὁ ὢν ἀγαθός· ὥστε εἰ καὶ τὸ κύριόν γε προτάττοιτο, οὐδ᾽ οὕτως ἄνευ ἄρθρου τὸ ἐπίθετον λέγεται· τ᾽ ἄρα ὁ Σωκράτης γέγονεν ὁ ἀγαθὸς φαμὲν, ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συνάπτοντες· οὕτω δὲ

συμβαίνειν ἀνάγκη προσυπακουομένου τοῦ κυρίου ἢ προσηγορικοῦ. Ἀναφορικὸς δέ τοι προσφέρεται ἔνθα τὸ ὑπερεκτικὸν αὐτὸ ἐπίτημα μονα ἢ λεγόμενον, ἢ νοούμενον· Σωκράτης εἰ ἦν ἀγαθός. Ἀριστοτέλης σοφός· πάντα γινώσκων· εἰ δ' ἕτερον γνωστικὸν πληθυντικὸν μεταβάλλειν. οὐδὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν. Ἀριστοτέλης τῶν σοφῶν. Τὰ μὲν οὖν κύρια καὶ τὰ προσηγορικὰ καὶ ὁμοιογενῆ ἐστὶ καὶ ὅμοια· Ἀφαν- ὁπωσοῦν καὶ ὁμοιοειδῆ μάλιστα φύσει τὰ ἀνάλογα ἔχει. Συμπαραλήφθω δὲ τούτοις καὶ τὰ ὁμώνυμα· ὧν ὄνομα μὲν κοινόν· ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας διάφορος. Καὶ τὰ συνώνυμα· ὧν τό τε ὄνομα καὶ ὁ λόγος κοινόν. Καὶ τὰ ἔθνη δηλωτικά. Καὶ τὰ περιεκτικά· οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον καὶ τὸ περιεχόμενον· οἷον ἀνδρῶν· κοιτών. Καὶ τὰ μιμητικὰ πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα. Καὶ πρὸς τούτοις τὰ γένους ἢ εἴδους σημαντικά.

Καὶ τὰ ἀπολελυμένα· οἷον τὰ καθ' ἑαυτὰ νοούμενα· θεός· λόγος.

Περὶ δὲ τῶν λοιπῶν κατὰ σημασίαν εἰδῶν ἃ τινὰ σύνταξιν ἔχει λέγωμεν.

Τὰ μὲν οὖν πρός τι ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ' ὑπεροχὴν μὲν ὄντα ἢ καθ' ὑποταγήν, ἀπ' εὐθείας εἰς γενικὴν τὴν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται· οἷον πατήρ. υἱοῦ· δοῦλος, δεσπότου· διπλάσιον ὑποδιπλασίου. Ὡσαύτως δὲ καὶ κατὰ διαφορὰν λεγόμενα· οἷον ἄλλο· ἕτερον· διάφορον· καλείσθω δὲ διαφορικά· ἐξ ἴσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικήν· ὡς τὸ φίλος τῷ δεῖνι· καὶ ἴσος· καὶ γείτων· καὶ ὅμοιος· καὶ ὁ αὐτός· καὶ ὁ ἐναντίος· καὶ ὅσα ἐκ τοῦ ὁμοῦ ἢ τῆς σὺν συγκείμενα· οἷον ὁμοούσιος· ὁμοφυής· σύμψηφος· σύνεδρος. Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσεσθαι κτητικῶν ἂν εἴη, οὐ τοῦ περὶ τὸ πρός τι ἐτύμου· ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ὁμοίου καὶ ἴσου· καὶ τῶν τοιούτων· οἷον ὁμοιοσχήμων· ἰσοπαλής.

Τὰ δὲ ὡς πρός τι· οἷον τὰ ἀμέσως ἀντικείμενα, διεζευγμένα ἀλλήλοις συνεπινοεῖται· ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ. ἢ φῶς ἢ σκότος· ἢ ζωὴ ἢ θάνατος· ἢ νόσος· ἢ ὑγίεια.

ΩΣ ΠΡΟΣΤΙ.

ΠΕΥΣΤΙΚΑ.

Τὰ δὲ πευστικά· οἷον τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα, ἤγουν ἄρθροις συνταττόμενα ἐπ' ἐρωτήσει ἀρκτικὴν λόγου· ὅτι τὸ μὲν

i i ii

πευσματικὰ ποιότητος· τὸ δ᾽ ἀόριστον ἀναφερόμενον· τίς· ποῖος· πότερος· πόσος· πηλίκος· ποδαπός· ποσταῖος· ἐπερωτήσει δέ τι τὸ ἀπειράκις καὶ ἀναφορικὸν ἐθετικῶς ποῖα λέγεις; τὸν τίνα; ἢ ἐπὶ τῆς ἐρωτήσεως; συνεπτύχθη τὰ ἐρωτηματικὰ ταῦτα ἢ μάλιστα τὸ τίς, τὸ ἐρωτηματικὸν τὸ ὑπαρκτικόν τε καὶ κλητικόν, ἐπαγγελλόμενον τὸ ὄνομα τὸ· καὶ εἰ ἀντωνυμία ἐκ ξένου προσέχεται· τίς ἐστιν οὗτος; ἢ τίς οὗτος καλεῖται; ὅτι Σωκράτης· ἢ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ· τίς οὗτος; εἴγε μὴν τὸ τίς πάθη μόνον, ἀλλὰ τι ῥήματι συνάπτεσθαι δυνατὸν ἂν εἴη· τίς βαδίζει; τίς διαλέγεται; ἢ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἥκιστ᾽ ἂν ἐπερωτήσεως δέοι· οἷον τίς γράφει; ἐγώ· εἰ δ᾽ ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον καὶ ἄγνωστον τὸ λύσιμον· τίς γράφει; Ἡσαΐας· τίς Ἡσαΐας; ὁ Νικολάου·

Διαιρετικὸν δὲ ἐρωτήσεων, πρὸς ὑποτακτικὸν συντάσσεται· πότερον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις, ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ· βούλει, εἴπω·

## ἈΟΡΙΣΤΑ·

Καὶ ταῦτα μὲν δηλοῦνται ἀορισμένως μηδέν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, ἃ συντάσσεται ἄρθροις· ὅστις· ὁποῖος· ὁπότερος· τίς, ἐγκλινόμενον· τὸ δὲ τούτοις ἀρκτικὸν ὅ, οὐκ ἄρθρον ἀλλὰ λέξεως μέρος.

## ἈΝΑΦΟΡΙΚΑ·

Τὰ δὲ ἀναφορικά, ἢ αὐτὰ ὡς τὰ πευστικὰ ἢ ἀόριστα ἐστί τι ποσοῦ καὶ τοιοῦ λέγεται· τοῖς τε κυρίοις καὶ προσηγορικοῖς συντάσσεται· ὁμοιολογοῦσι καὶ ὁμοιοπτώτως, καὶ ὁμοιώσεως ἢ δείξεως ἕνεκα. Ἔστι δ᾽ ὅτε καὶ θαυμαστικῶς προφερόμενα· καλεῖται δ᾽ οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπί τι ἀναφέρεσθαι τῶν προεγνωσμένων· συμβαίνει γὰρ τὸ τοιοῦτο ὅταν τις λέγῃ, τοιοῦτος ἦν Ἀχιλλεύς, οἷος Αἴας. Ταῦτα μὲν οὖν εἴη ἂν ἀναπολητικά τοῦ τῶν προεγνωσμένων· καὶ ὁμοιωματικά.

## ΔΕΙΚΤΙΚΑ· ἈΝΤΑΠΟΔΟΤΙΚΑ·

Ἐξίσω δ᾽ ἤτοι ταῦτα καὶ δεικτικὰ καὶ ἀνταποδοτικὰ ὀνομάζειν· ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν ἄρτι τι τὸ ὅμοιον· καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται ἡγούμενα ἢ ἑπόμενα· Κυρίως δὲ ἀνταποδοτικά, τὰ ἔχοντα τὸ τ. ἀρκτικόν· τοιοῦτος· τη-

λίκος· τόσος. ἃ δὴ καὶ τῶν δὲ ἐπεκτείνεται· τοιόσδε. καὶ ἄρθροις συντάσσεται· τάσιν μὲν ἀπὸ φωνήεντος ἀρχόμενα, οὐ συντάσσεται ἄρθροις· οὐ γὰρ ὁ οἷος λέγομεν· οὐδὲ ὁ ὅσος. Ἢ ἔτι μὲν δὴ ἀλλήλων ἐν τῇ συντάξει καὶ ἐπιφέρεται ὡς εἴρηται· οἷον αἴθ᾽ ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην· καὶ ἄλλο τόσσοι ἦσαν ὅσοι ἑλίκωπες ἀχαιοί. καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ ἀπολύτως, ἤτοι ἀπροσηματικῶν ἢ θαυμαστικῶν· τοίην κεφαλὴν προθέω· πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ, δίχα τῶν ἀνταποδοτικῶν, συμφορεῖν ἐπιπείραται· οἵων οὐδεὶς φαμέν· καὶ σοφοῖς ἐμὲ τυχεῖν οἵοις οὐδείς· καὶ πολέμους διήνυσεν ὅσους οὐδείς.

## ΠΕΡΙΛΗΠΤΙΚΑ.

Τὰ δὲ περιληπτικὰ, οἷον τὰ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. ὁ δῆμος εἶπεν. καὶ ὁ δῆμος εἶπον· καίτοι τἄλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα, ἑνικοῖς συντάσσεται ῥήμασι· δυϊκῶς δὲ, δυϊκοῖς· πληθυντικῶς δὲ, πληθυντικοῖς· πλὴν τῶν ἀττικῶς συνταττομένων ἑνικοῖς οὐδετέρων πληθυντικῶν. ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάττουσι ῥήμασι· παίζει τὰ παιδία. Κἂν δὲ ἄττα τῷ μὲν σχηματισμῷ πληθυντικὰ, τῇ δὲ σημασίᾳ ἑνικὰ ἢ δυϊκὰ, ταῦτα τῶν μὲν σημαινομένων ῥήμασιν ἑνικοῖς ἢ δυϊκοῖς, οὐκ ἔχει συντάττειν· τῷ δὲ σχηματισμῷ πληθυντικοῖς· ἀθῆναι φιλοσοφίαν διέπρεπον· οὐ διέπρεπε. καὶ ἀμφότεροι γράφουσιν· οὐ γράφετον· τὸ δὲ ἄμφω καὶ δύο δυϊκῶς ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ, δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν· τὸ μὲν, διὰ τὴν φυσικὴν σημασίαν· τὸ δὲ, διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τό τε ἓν καὶ τὰ δύο. ἄμφω οὖν τρέχετον λέγομεν· καὶ ἄμφω τρέχουσι. Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ἐπιθετικὴν ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις. ὁ γὰρ εἷς λέγοι ἂν ἡμεῖς ἐγράφομεν. ἀνάπαλιν γε μὴν ἑνικοῖς χρῆσθαι ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν, φαῦλον· τὸ δὲ ὁμήρου, μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου, ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι

ι ι iii

καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον ἐστί· ἀλλ᾽ οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα· δυάδος γάρ ἐστι σημαντικὸν ἀεὶ τὸ δυϊκόν. Τὰ μὲν δὴ περιληπτικὰ ταῦτα προσηγορικὰ ὄντα, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα σχηματίζει· ὁ εὐτυχὴς δῆμος· ἡ εὐδαίμων πληθύς:~

ἘΠΙΜΕΡΙΖΌΜΕΝΑ·

Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων τὸ μὲν εἷς ἐκ δύο· ὡς ἕτερος· δύο καθ᾽ ἕνα, ὡς ἑκάτερος· εἷς ἐκ πλειόνων, ὡς ἄλλος· πολλοὶ καθ᾽ ἕνα, ἕκαστος· ἕτερον καὶ ἄλλο ἐπιδέχεται ἄρθρον· τὸ δὲ ἑκάτερον καὶ ἕκαστον, οὔ· πάντα δὲ τοῖς πρὸ συνίῃ ἢ κτητικῶς ἢ διαφορικῶς· οἷον ἕκαστον τῶν ζώων, ἕτερον τοῦ λίθου ἐστίν· ἐπιθετικῶς μέντοι καὶ ταῦτα· ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς:~

ΤΑΚΤΙΚΆ·

Καὶ τὰ τακτικὰ δὲ ὅμοιον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται· ὁ πρῶτος θεός· ἡ πρώτη οὐσία· τὸ πρῶτον εἶδος:~

ΜΕΤΟΥΣΙΑΣΤΙΚΆ·

Τὰ δὲ μετέχοντα οὐσίας τινός, καὶ ταύτῃ καλούμενα μετουσιαστικὰ πρὸς τὰ κύρια καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει ὡς τὰ ἐπίθετα· ξύλινος πίναξ· ὀστράκινον σκεῦος· ὁμοιογενῆ τε ὄντα καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις· οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη:~

ΓΑΤΡΩΝΥΜΙΚΆ·

Τῶν δὲ κατὰ φωνὴν τὰ μὲν ἀπὸ πατρὸς καὶ προγόνων ἐσχηματισμένα, καὶ πατρωνυμικὰ διὰ τοῦτο καλούμενα, κύρια τε δυνάμει ἐστί· ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς τὰ ἐπίθετα· οἷον Πηλείδης γενναῖος. καὶ συντάσσειν δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα τοῦ σαφοῦς χάριν· ἔνθα κοινὸν πλείοσιν ἡ πατρωνυμία· οἷον Ἀτρείδης Μενέλαος· ὁ Πριαμίδης Ἕκτωρ:~

ΚΤΗΤΙΚΆ·

Οὐ μὴν δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως· ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον· ἀλλ᾽ ἀνάγκη προσυπακούεσθαί τι· εἰ γάρ τις λέγων ἀνθρώπινον, μὴ ἐπιφέροι σῶμα ἢ τοιοῦτό τι, ἀτελὲς ἄν τι φράζοι· δεῖ τοίνυν προστιθέναι τι τῶν κυρίων ἢ προσηγορικῶν· συντάσσεται δὲ καὶ ταῦτα ὡς τὰ ἐπίθετα ὁμοιοπτώτως καὶ ὁμοιογενῶς τοῖς κυρίοις καὶ προσηγορικοῖς τήν τε σύν-

τάξιν τοῦ ἄρθρου, ὁμοίως ἔχει τοῖς ἐπιθέτοις· ἡ ἰωνικὴ στολή· ἡ στολὴ ἰωνική· καὶ μεταλαμβάνοντι τὸ ἰωνικὸν περὶ στολῆς· ἀνάλυσίς τε εἰς τὴν τοῦ πρωτοτύπου γενικήν· τελαμώνιος υἱός· Τελαμῶνος υἱός· τὸν ἐμὸν φίλον· τὸν φίλον μου· πλατωνικὴ δόξα· Πλάτωνος δόξα.

## ΣΥΓΚΡΙΤΙΚΑ ΚΑΙ ὙΠΕΡΘΕΤΙΚΑ.

Τὰ δὲ συγκριτικά τε καὶ ὑπερθετικὰ κοινὴν μὲν πρὸς τὰ ὑποκείμενα προσηγορικά τε καὶ κύρια ὧν κατηγορεῖται, συντάσσεται ὡς τὰ ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως· πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν γενικὴν ἀπαιτεῖ· ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος· ὁ ἰσχυρότατος ἑλλήνων.

Διαφέρει δὲ ἢ τὰ μὲν, οὐ μόνον ἑνικοῦ ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικῆς· τὰ δ' ὑπερθετικὰ, πληθυντικοῦ μόνον· συγκριτικὸν μὲν γὰρ τὸ κατὰ παράθεσιν ἢ πρὸς ἓν λαμβανόμενον ἢ πρὸς πλείω· Σωκράτης Μελίσσου σοφώτερος, καὶ ἑτέρων ἐνδόξων. Ὑπερθετικὸν δὲ τὸ κατὰ παράθεσιν πρὸς πλείω ἀεί· Σωκράτης ἑλλήνων σοφώτατος· τὸ δὲ ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μὲν οὐ πρὸς τὸ πρόσωπον δὲ οὐ ἡ σύγκρισις, ἡ παράθεσις· ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις· ὅλως οὖν ἀλλὰ ἀεὶ τὸ περὶ τὸ πρόσωπον θεωρητέον· ἐν γὰρ τοῖς τοιούτοις τὸ ὑπερθετικόν· ὡς ἂν εἰ λέγοι τις, ἄμεινον τῶν ἄλλων ἑαυτοῦ διαλέξει. Καὶ τὰ μὲν, οὐ μόνον πρὸς ὁμοφυὲς ἢ ὁμότεχνον ἢ συγγενὲς, ἀλλὰ καὶ πρὸς ἑτερογενές· Διονύσου εὐφυέστερος Δίωνος· Ὁμήρου Ὀρφεὺς σοφώτερος· Δημοσθένης αἰσχίνου δεινότερος· Διομήδους ἥττων ἀχιλλέως· αἴας ἰσχυρότερος θηρίων. Τὰ δ' ὑπερθετικὰ πρός τι τῶν ὁμοίων ἢ συγγενῶν ἀεί· Ἕκτωρ ἀνδρειότατος τρώων· τὸ δὲ ὅμηρος πρώτιστος ἦν ποιητῶν χρῆμα μόνον ὑπερθετικοῦ ἔχει. Καὶ τὰ μὲν συγκριτικὰ, καὶ τοῦ ἢ μεσοσυλλαβοῦντος, ἢ μετ' αὐτὸ πτωτικοῦ ἢ καὶ τὸ συγκριτικὸν ἦν, ἐπακολουθουμένης συντάσσεται· οἷον ἀρείοσιν ἤπερ ὑμῖν ὁμίλησα· καὶ ἔτι μετὰ τοῦ ἢ περὶ κατὰ συναιτιατικὴν προσκειμένης· πλέον ἢ κατ' ἄνθρωπον· καὶ μετὰ τοῦ ὡς ἔθος τι· οἷον ὡς κατὰ ἄνθρωπον· καὶ μὴν καὶ πρὸς ἀπαρέμφατον λέγεται μεσοσυλλαβοῦντος ὅτε μὲν τοῦ ἢ καὶ ἅμα τοῦ ὥστε ἀποτελεστικοῦ, ὅτε δὲ τοῦ ἢ μόνου· οἷον τὸ νόσημα μεῖζον ἢ φέρειν· καὶ ἢ ὥστε δύνασθαι φέρειν. Ἔτι τὰ μὲν ὑπερ-

i i iiii

θετικὰ μετ᾽ ἐπιτάσεως ἔχοντα· οὐδὲν τῶν ἐπιτακτικῶν δέχεται ἐπιῤ-
ῥήματος· οἷον λίαν· ἢ μάλιστα· ἢ τοιοῦτο· τὰ δὲ συγκριτικά, ἅτε μὴ
τὴν τελειοτάτην ἐπίτασιν ἔχοντα, ἔσθ᾽ ὅτε δεύτερον ἐπιῤῥηματικὴν
προσλαμβάνει ἐπίτασιν· οἷον τὸ Ὁμήρου· πολὺ παυρότεροι ἀρηΐτεροι
δὴ μᾶλλον ἔσεσθαι. Ἔτι τὸ ὑπερθετικὸν ἔστιν ὅτε καὶ πρὸς οὐδεμίαν ἀπο-
δίδοται γενικήν· οἷον ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ· τὸ γοῦν ἀ-
στήρ, ἀντὶ τοῦ ἀστέρων κεῖται μεταληφθέν. Ἔστι δ᾽ ἃ καὶ παρὰ τὸ λεγόμενον ὑπερ-
θετικὸν τυγχάνει σύνταξιν, δι᾽ ὑπεροχὴν γινομένην χρῶνται σφίσιν· οἷον τὸ δῖα·
κατ᾽ ἐξοχὴν· τὸ κορυφαῖος· καὶ μόνον· δῖα θεάων· καὶ μόνος ἁπάντων· τὸ κορυ-
φαῖος τὸ ἐξοχώτατος ἁπάντων. Ἀνάπαλιν δ᾽ ἐνίοτε τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ θε-
τικοῦ ἔστι χρήσασθαι· καίτοι καὶ τοῦ θετικοῦ μειζότερον βούλεσθαι ὁ λέγων δοκεῖ.
Ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις ἐν δυοῖν· ἐμφαίνεταί γε μὲν ἤτοι προ-
σώπου μόνου, ἢ μετὰ τοῦ προσώπου καὶ πρᾶγμα· εἰ μὲν γὰρ λέγοιτο ὁ δεῖνά μοι γνω-
ριμώτερος ἢ σύ, παρὰ τὰ πρόσωπα· εἰ δὲ ὁ δεῖνα ἐμοῦ ἰσχυρότερος, δύο μὲν τὰ
πρόσωπα· ἓν δὲ τὸ πρᾶγμα ἡ ἰσχύς· ὥστε καὶ καλείσθω τὸ μὲν τῆς συγ-
κριτικῆς συντάξεως, προσωπικόν· τὸ δὲ, πραγματικὸν διὰ ταῦτα.

Τὰ δὲ ὑποκοριστικὰ, ἅπερ αὐτὸ ἔχει τὸ σχῆμα καὶ — ὙΠΟΚΟΡΙΣΤΙΚΑ.
σημαινόμενον· μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου· σύντα-
ξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει· ὁ-
μοιογενῶς γὰρ καὶ ὁμοιοπτώτως:~ — ΠΑΡΩΝΥΜΑ ΚΑΙ ῬΗΜΑΤΙΚΑ.

Τῶν δὲ παρωνύμων καὶ ῥηματικῶν, ἰδίᾳ ὀνομασθέντων, ὡς ἀπὸ ὀνόματος ἢ ῥή-
ματος ἐσχηματισμένων, ὅσα μὲν ἐστὶ κύρια ἢ προσηγορικὰ, ὁμοιογενῶς καὶ
ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα συντασσόμενα ἔχει ὡς εἴρηται·
ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ καὶ τὴν ἐπιθετικὴν λαμβάνει ἂν σύν-
ταξιν πρὸς τὰ κύριά τε καὶ προσηγορικά:~

## ἜΤΙ ΠΕΡῚ ΤΗ͂Σ ΤΩ͂Ν ὈΝΟΜΆΤΩΝ ΣΥΝ-ΤΆΞΕΩΣ ΣΥΝΟΠΤΙΚΏΤΕΡΟΝ.

Ἐπεὶ δ᾽ οὖν καὶ εἰς τρία διελόντι τὸ ὄνομα· κύριον καὶ προσηγορικὸν καὶ ἐπίθετον·
παρείτω κατὰ ταὐτὸ σύνταξιν θεωρεῖν· πάντα γὰρ ταῦτα συντάσσοιτ᾽ ἂν ἐπι-
θετικῶς τοῖς ὡς κυρίοις ἢ προσηγορικοῖς ὑποτιθεμένοις· καὶ κοινὸν
μὲν ἂν εἴη τὸ ὁμοιογενὲς καὶ ὁμοιόπτωτον καὶ ὁμοάριθμον συμφέρει-

ἐπὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς. Ἴδιον δὲ τῶν μὴ ἀπολύτως ἀλλὰ πρὸς ἕτερον λεγομένων τό, ἢ εἰς γενικὴν· ἢ εἰς δοτικὴν· ἢ εἰς αἰτιατικὴν· ἢ εἰς ἀπαρέμφατον· τετάχθαι συντάσσεσθαι· ὧδε δὲ· τὰ μὲν συγκριτικὰ καὶ ὑπερθετικὰ πάντα εἰς γενικήν. διαφέρει δὲ τῷ ὁμοιογενεῖ τε καὶ ἑτερογενεῖ· καὶ τῷ ἀριθμῷ ὡς εἴρηται. καὶ ἢ δὴ τὸ μὲν ὑπερθετικὸν, καὶ χωρὶς γενικῆς, τὸ δὲ συγκριτικὸν, οὔ. Ἔτι τε τὰ διαφορικὰ εἰς γενικήν. οἷον τὸ ἕτερον καὶ διάφορον· καὶ ἄλλο· καὶ τὰ πρός τι τὰ καθ᾽ ὑπεροχὴν καὶ ὑποταγήν. Καὶ τὰ στερητικά· πένης· ὀρφανός· ἐνδεής. Καὶ τὰ πληρωματικά· πλούσιος· μεστός· πλήρης. Καὶ τὰ ὡς κτητικὰ θεωρούμενα ὅλως. Τὰ δὲ ἐξ ἴσου τῶν πρός τι εἰς δοτικήν· φίλος· γείτων· ἴσος· ὅμοιος. Εἰς αἰτιατικὴν δὲ καὶ ἀπαρέμφατον τά τε κυρίως ἐπίθετα καὶ τὰ ἀναφορικά· οἷος· καλὸς τὸ εἶδος· καὶ καλὸς ἰδεῖν· καὶ οἷος εἰπεῖν καὶ ἀκοῦσαι. Καὶ νομοθετοῦντες οὖν λέγομεν ἢ παραθετικῶς· ἢ διαφορικῶς· ἢ καθ᾽ ὑπεροχὴν καὶ ὑποταγήν· καὶ ἰσότητα τῶν πρός τι· ἢ συνεκδοχικῶς. Σύνταξις μὲν τοίνυν τῶν ὀνομάτων τοιαύτη πρὸς ἄλληλα:~

## ΠΕΡΙ ΓΤΩΣΕΩΣ.

Πτῶσις ἐστὶ, μεταβολὴ μὲν εἰκότως ὀνόματος ἢ ὀνομαστικοῦ κατὰ τὸ τέλος. πέντε δὲ ἀριθμουμένων τῶν πτώσεων, ἡ πρώτη καὶ ὀρθὴ καταχρηστικώτερον λέγεται πτῶσις. ταυτὸ γάρ τοι ὀρθὸν εἶναι καὶ πεπτωκὸς ἅμα ἀχρεῖόν τι. ὀνομάζεται δὲ αὐτὴ καὶ εὐθεῖα καὶ ὀνομαστική· ἁρμόζει τε τῷ ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ:~ ΓΕΝΙΚΗ.

Τῶν δὲ τεσσάρων πλαγίων Ἡ μὲν γενική, γενεαλογίαις καὶ κτηματολογίαις συντέτακται· παῖδα τοῦ Σωκράτους εἶναι φαμὲν· καὶ οἶκον Ἀριστοτέλους· ὅθεν εἴτις καὶ κτητικὴν ταύτην καλεῖ, οὐκ ἂν ἁμαρτάνοι:~ ΔΟΤΙΚΗ.

Ἡ δὲ δοτικὴ τῷ τε διδόναι καὶ χαρίζεσθαι καὶ ἐπιστέλλειν καὶ καθόλου τῷ περιποιεῖσθαι ἔληχε τάξιν· Γλαῦκος Διομήδει ὅπλα ἐδεδώκει χρυσᾶ· Φέρεκλος Ἀλεξάνδρῳ ἐναυπήγει:~ ΑΙΤΙΑΤΙΚΗ.

Ἡ δ᾽ αἰτιατική, αἰτιολογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν· οἷον Σωκράτης ἄξιος ἐπαινεῖσθαι δι᾽ ἀρετήν:~ ΚΛΗΤΙΚΗ.

Ἡ δὲ κλητική, ὅτι τὸ καλεῖν τινα καὶ ἐπιστρέφειν, ἀμεταβάτως τοῖς

δευτέροις τῶν ῥημάτων προσώποις συντασσομένη· ὥσπερ λύων ὁ δύστανε μέγα κῦδος ἀχαιῶν:~

ΑΝΘΥΠΑΛΛΑΓΗ·

Ἀναμιχθεισῶν δὲ τῶν ὀνομάτων εἰς πέντε πτώσεις τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων, ἢ παραδεχόμεθα ὡς σχήματα ἄττα διαλέκτου τινὸς συνηθέστερον τὸ τοιοῦτο ἐνδεξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα ὡς ἀκαταλλήλους. ἀττικοὶ μὲν οὖν τὴν εὐθεῖαν λαμβάνουσιν ἀντὶ κλητικῆς· μακεδονικὸν δὲ ἢ θεσσαλονικὸν τὸ ἀνάπαλιν· αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι, πολλῇσι νήσοισι καὶ ἄργεϊ παντὶ ἀνάσσειν. ἔνθα γὰρ μὲν ἡ κλητικὴ καὶ εὐθεῖα συνεμπίπτει, οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔστι λαμβάνειν, ὡς εἴρηται:~

ΠΕΡΙ ῬΗΜΑΤΟΣ·

Τὸ δὲ ῥῆμα, ἔστι μὲν λόγου μέρος προσώπων τε διακριτικὸν καὶ χρόνων διαφορᾶς προσσημαντικὸν κατὰ διαφόρους μετασχηματισμούς. τί δὲ ἔστιν ὁ χρόνος, πλέον ἂν εἴη κατὰ γραμματικὴν θεωρῆσαί τε καὶ ὁρίσασθαι. λαβὼν δ' οὖν τὸν χρόνον ὡς ἐπὶ τὰ πολλὰ συνεχομένως χρῆναι φαμέν. ἀλλὰ μὴν περιορίζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. πλέον γάρ τοι οὐδὲν εἰς τὸ παρὸν ἢ τοῦ διωρισμένου γνῶσις ἡμῖν συμβαλεῖται. Διῃρημένου δ' ἄρα τοῦ χρόνου εἰς ἕξ. ὁ μὲν ἐνεστὼς, τὸ ἐνιστάμενον σημαίνει καὶ ἀτελές. Ὁ δὲ παρατατικὸς, τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ παρῳχημένου.

Ὁ δὲ μέλλων τὸ μήπω γεγονός. Ὁ δὲ ἀόριστος, τὸ παρεληλυθὸς μὲν καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν ἢ τὸ πάθος. Ὁ δὲ παρακείμενος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ ἐνεστῶτος. Ὁ δὲ ὑπερσυντέλικος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ παρακειμένου:~

ΔΙΑΙΡΕΣΙΣ ῬΗΜΑΤΟΣ·

Διῃρήσθω δὲ τὸ ῥῆμα καὶ ἐπὶ πλέον ὧδε. τὸ μὲν γάρ τοι προσωπικόν, οἷον λέγω. τὸ δὲ ἀπρόσωπον, οἷον χρή. προσωπικοῦ δ' αὖ τὸ μὲν, ἐνεργητικόν. τὸ δὲ, παθητικόν. τὸ δὲ, οὐδέτερον. οἷον ζῶ. καὶ τὸ μὲν, μέσον. οἷον βιάζομαι. τὸ δὲ, αὐτοενεργητικὸν μάχομαι. τὸ δὲ, αὐτοπαθητικόν, τὰ χω· καλείσθω δὲ καὶ ἕτερόν τι ὁ λόγου ἐνεργητικόν ἐν τοῖς οὐδετέροις. οἷον

τὸ ἀποβαίνω. καὶ τρίτον αὐτοῖς οὐδέτερον· οἷον τὸ πλουτῶ. ὥσπερ αὖ πάλιν ἢ ὁλοπαθὲς ἕτερόν τι τῶν αὐτοῖς ἐνεργητικῶν ἀντιδιαιρούμενον κατὰ γένος τὸ ἐπίμεσον ἢ ἐπίκοινον. καλῶ γὰρ ἐπίμεσον ἢ ἐπίκοινον, τὸ παθητικὴν μὲν ἀεὶ ἔχον φωνήν, σημασίαν δέ, τὴν μὲν ἐνεργητικήν, οἷον μάχομαι. τὴν δὲ παθητικήν, οἷον γίνομαι.

Ἔτι τε τῶν οὐδετέρων. τὸ μέν, ὑπαρκτικόν. τὸ δέ, οὔ. καὶ τὸ μέν, τέλειον. τὸ δέ, ἀτελές. Ἔστι δὲ ἢ τὸ ἀπροσώπου τὸ μέν, ὡς ἐνεργητικόν. οἷον προσήκει. τὸ δέ, ὡς παθητικόν. οἷον λέγεται. Συμπάντων δὲ τῶν ῥημάτων τὰ μέν, κατ' εἰσπομπὴν θεωρεῖσθαι ἔξωθέν τι λαμβάνοντα. τὰ δὲ κατ' ἐκπομπήν, οἴκοθεν προσλαμβάνοντά τι. τὰ δὲ ἢ περιποίησίν τινα ἢ ὑπουργίαν. καὶ τὰ μέν, ἀμεταβάτως. τὰ δὲ μεταβατικῶς. ἢ τὰ μὲν τελείως. τὰ δὲ ἀτελῶς. Σύνταξις δὲ τῶν ἐνεργητικῶν, ὥστε τὴν ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον τέμνω τὸν λίθον. ἢ ἰατρεύω τὸν νοσοῦντα. οἷς δὴ καὶ τὸ παθητικὸν εἰς προϋφισταμένης διαθέσεως ἐνεργητικῆς ἐπιφέρεται. ἰατρεύεται ὁ νοσῶν. τέμνεται ὁ λίθος:~ ΟΥ̓ΔΕΤΈΡΩΝ.

Οὐκέτι δὲ καὶ τὰ οὐδέτερα ὅμοια τοῖς ἐνεργητικοῖς. τὸ γὰρ ὑπάρχω. καὶ ζῶ. καὶ φρονῶ. ἢ πλουτῶ. ἢ ὑγιαίνω. ἢ τῶν τοιούτων, ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ οὐδὲ ἀπὸ ὁριστικῆς τούτων ἐγκλίσεως γίνονται ἄλλα καὶ προσδιατιθέντα παρίστανται. ὥστε εἴ τις τὰ τοιαῦτα κλίνει εἰς παθητικὰς προφοράς, μελέτημα φωνῆς οὐ φυσικήν τινα ἢ συνεκτικὴν κλίσιν ποιεῖται. οἷον εἰ καὶ ἀρσενικὸν τὸ γαλουχήσασα. ἢ ἐκτρέφουσα λέγοιτο ἢ ἐπὶ τούτων τῶν τρεφομένων συμπιπτόντων ἐν παραδοχῇ δὲ λόγου μὴ δυναμένων. τὰ μὲν γὰρ οὐδέτερα αὐτοτελῆ μόνον ἐμφαίνει ὁρισμοῦ τοῦ συνεῖναι τὸ σημαινόμενον. οἷον τὸ ζῆν. ἢ φρονεῖν, ἢ γηρᾶν. καὶ τὰ εἰς μαι κατὰ λῆξιν οὐ προσίεται τὸ παράπαν:~ ΜΈΣΩΝ ΚΑῚ αὐ||τοενεργητικῶν.

Ἀνάπαλιν δὲ τὰ μέσα ἢ αὐτοενεργητικὰ τούτων ἀπαράδεκτον τὸ λήγειν εἰς ω. βιάζομαι. μάχομαι. δῆλον δὲ ὅτι παντὸς παθητικοῦ εἰς μαι λήγοντος ἐνεργητικὸν ἔστι παραδέξασθαι, ἐὰν μετὰ τῆς λήξεως ἢ τὰ τῆς συντάξεως ὥστε ἢ διανοίας σώζηται. οἷον φιλῶ σε, φιλοῦμαι. ἔχει δὲ ἄρα ἅπαντα τὰ παθητικὰ προϋφισταμένην ἐκ πρώτου ὀρθοῦ. ἢ τὸ συμ-

φέρε εἰπεῖν λέγε μὴ γίνου μὴ ἐπὶ πάσης κλίσεως καὶ ἀριθμοῦ καὶ προσώπου καὶ χρόνου· πλὴν τῶν ἀπαρεμφάτων· ταῦτα γὰρ αἰτιατικὴν περιέχει:~

Ἢ γοῦν ἐν συντάξει ἐστίν· οἷον Σωκράτης ||ΣΥΜΠΛΟΚΗ λόγου· φιλοσοφεῖ· ἢ ἐν δυοῖν· Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ:~

Τοῦτο δὲ ἤτοι φύσει ἢ σχήματι· φύσει μὲν ἐὰν τὸ ῥῆμα προτάττηται ἢ μέσον συλλαμβάνηται ἑνικόν· οἷον φιλοσοφεῖ Σωκράτης καὶ Πλάτων· Σωκράτης φιλοσοφεῖ καὶ Πλάτων:~ ΣΧΗΜΑΤΙ προεπιζευκτικῷ·

Σχήματι δὲ προεπιζευκτικῷ, ἐὰν πληθυντικῶς· φιλοσοφοῦσι Σωκράτης καὶ Πλάτων· Σωκράτης φιλοσοφοῦσι καὶ Πλάτων:~

Ἔτι φύσει ἐὰν ἐπιτάττηται πληθυντικῶς Σωκράτης καὶ Πλάτων φιλοσοφοῦσι:~ ΣΧΗΜΑΤΙ ἘΠΙΖΕΥΚΤΙΚΩ͂Ι·

Σχήματι δὲ ἐπιζευκτικῷ, ἐὰν ἑνικῶς· Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ· ᾧ αὐτίκα τοῦτο πως τὸ περιληπτικόν· ὡς φασιν ἡ πληθύς· καὶ ἐσκίδναντο ἕκαστος· Ἐκδέχονται μὲν οὖν αἱ πλάγιαι τὰ ῥήματα μεταβατικῶς· οἷς ἀμεταβάτως ἡ εὐθεῖα συντάσσεται:~

## ΕἼΔΗ Τῶν μεταβατικῶν προσωπικῶν·

Εἴδη δὲ τῆς καθ' ἕκαστα μεταβάσεως τῶν προσωπικῶν ὑποκείσθωσαν καθόλου τε καὶ ἁπλᾶ τρία· Πρῶτον μὲν εἰς αἰτιατικὴν τῶν κατ' ἐκτὸς μετάβασιν θεωρουμένων οἷον διδάσκω σε· καὶ διδάσκω γραμματικά· Δεύτερον δὲ εἰς γενικὴν τῶν κατ' ἐκ τοῦ μέρους· οἷον δέομαί σου· Τρίτον δὲ εἰς δοτικὴν τῶν κατὰ περιποίησιν· οἷον δίδωμί σοι· Τέταρτον δὲ συγκείμενα ἅπερ τῶν εἰρημένων κοινά· τὰ μέν, εἰς αἰτιατικήν· οἷον διδάσκω σε τὰ γραμματικά· δέομαί σου τὰ δίκαια· δίδωμί σοι χρυσίον· καλείσθω δὲ διαβατικόν·

Τὸ δὲ εἰς γενικήν· οἷον διδάσκω σε τοῦ καλοῦ· δέομαί σου τῆς χρείας· μεταδίδωμί σοι τῆς ἐνδείας· καλείσθω δὲ αἰτιολογικόν· ἢ ἐλλειπτικόν·

Τὸ δὲ εἰς δοτικήν· οἷον διδάσκω σε τύχῃ ἀγαθῇ· δέομαί σου ὁ λιμῷ ψυχῇ· δίδωμί σοι χειρί· καλείσθω δὲ ὀργανικόν· Τὸ δὲ εἰς ἀπαρέμφατον διχῶς δέ· ἢ γάρ τοι ὡς εἰς τέλος· ἢ ὡς εἰς εἶδος· ὅθεν δὴ καὶ τὸ μὲν τελικὸν τὸ δὲ εἰδικὸν καλείσθω· διδάσκω σε διαλέγεσθαι· δέομαί σου βοηθῆσαι· δίδωμί σοι πίεσθαι·

Λέγω Σωκράτην γεγονέναι σοφόν· οἶμαι πάντας ὁμολογήσειν·
Προσκείσθω δὲ καὶ ἕτερόν τι εἰς αἰτιατικὴν κοινότερον· διδάσκω σε χρόνον συχνὸν τὰ γραμματικά· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· καλείσθω δὲ ἐλλειπτικὸν δεύτερον. Καὶ ἕτερόν τι ὁμοίως εἰς ὅλον τῶν προθέσεων· διδάσκω σε νῦν· ἡδέως· ἢ ὡς ἂν ἄλλως κατηγορεῖν πρὸς τὴν χρείαν δοκῇ· καὶ ἀσθενὴς ἦν διὰ χρηματίαν· καὶ ὅπως ἄλλως χρῆσθαι προθέσει κατὰ λόγον ἂν ᾖ· καλείσθω δὲ τὸ μὲν προσρηματικόν· τὸ δὲ ἑτεροτελές· τὸ σύνολον δέ τοι συγκατηγορηματικόν. Τὸ δὲ ἐλλιπὲς ἢ πληρέστερον τῆς συντάξεως πρὸς τὸ δοκοῦν ἱκανῶς ἂν ἔχειν ἔσται ἐκ τῶν εἰρημένων· οἷον διδάσκω σε διαλέγεσθαι· διδάσκω σε τὰ γραμματικὰ διαλέγεσθαι δεῖ· ἐπεὶ κἂν εἰς ἓν συλλαμβάνοντι τὰ συγκείμενα προστιθέναι ἑκάστῳ τῶν ἁπλῶν εἴη ἄν· οἷον δίδωμί σοι χρυσίον τῆς χρείας χάριν τῆς ἐμαυτοῦ πρίασθαι ὧν ἂν δέῃ. φράζειν μέντοι ἐπὶ τὸ σαφέστερον δεῖ ἐπεντιθέντας ἢ σύνδεσμον· ἢ πρόθεσιν· ἢ ἐπίρρημα· ἢ ὡς ἂν ἄλλως ᾖ ἔχῃ ἐλλειπισμοῦ· οἷον δίδωμί σοι χρυσίον τῆς [illegible] ἕνεκα χρείας, ὅπως πριάμενος ὧν ἂν δέῃ ἔχῃς· ἢ ὥστε πρίασθαι ὧν ἂν δέῃ.~

## ΕΠΙΒΑΤΙΚΑ.

Εἰλήφθω δὲ καὶ τὸ μάχομαι μάχην· ζῶ ζωήν· καὶ δουλεύω δουλείαν· καὶ πάντα τὰ τοιαῦτα ὡς ἐπιβατικά· καλῶ γὰρ ἐπιβατικὸν, τὸ τοῦ διαβατικοῦ ἐλλειπτικόν· οἷον διδάσκω σε γραμματικά:~

## ΤΟΠΟΙ ΤΟΥ ΠΡΩΤΟΥ.

Τόποι δὲ τοῦ μὲν πρώτου τὰ ὁπωσοῦν ἐνεργητικά· εἴτε κατὰ μείζω ἐνέργειαν· οἷον τιμῶ Σωκράτην· εἴτε ἐλάσσω· οἷον τὸ λέγω τάδε· ὁρῶ τάδε· καὶ φρονῶ τὰ εἰκότα. Σκοπεῖν δὲ εἰ ἐπὶ σωματικὴν διάθεσιν ἀναφέρεται· οἷον γυμνάζω· κινῶ· νίπτω· πλήττω· φθείρω· δύω· δεσμῶ· βρέχω· βιάζομαι· τρίβω· κρατῶ· κείρω· θερίζω· καίω.
Ἔτι εἰ ἐπὶ ψυχήν τι καὶ ἦθος· φιλῶ· ἀγαπῶ· στέργω· δικαιῶ· ἀδικῶ· βλάπτω· ὠφελῶ· ὑβρίζω· ἀτιμῶ· λοιδορῶ.
Ἔτι εἰ ἐπαινετικά· ἐπαινῶ· ἐγκωμιάζω· ὑμνῶ· ᾄδω· εὖ λέγω.
Ἔτι εἰ σεβαστικά· τιμῶ· σέβω· πρεσβεύω· προσκυνῶ· κολακεύω· αἰδοῦμαι. Ἔτι εἰ ὑποληπτικά· καὶ δοξαστικά· ἢ γνωστικά.

μυσῶ· κορυφοῦμαι· οἴομαι· ὑφορῶμαι. Ἔτι δὲ προαιρετικά· βούλομαι· προαιροῦμαι· ἐθέλω. Ἔτι δὲ ζητητικά· ἐξετάζω· ἀνακρίνω· φωρῶ· ἐρευνῶ· ἐλέγχω. Ἔτι δὲ ἐπικρατητικά· ἔχω· φυλάσσω· ἀναγκάζω· εἴργω· ἐλαύνω· νικῶ. Ἔτι δὲ προτρεπτικά· παρακαλῶ· ἐρεθίζω· προτρέπω· παρορμῶ· παροξύνω. Ἔτι δὲ κλητικά· φωνῶ· ὀνομάζω· καλῶ. Ἔτι δὲ ἐπιστημονικά· οἰκοδομῶ· σκυτοτομῶ· ἰατρεύω. Ἔτι δὲ διακριτικά· πλακοῦ· ὀξυπατῶ· φοινικίζω· κλέπτω· παραλογίζομαι. Ἔτι δὲ διδασκαλικά· ἢ μαθητικά· παιδεύω· σωφρονίζω· πείθω· διδάσκω· ψύχω· θερμαίνω· διατίθημι. Ἔτι δὲ οἰκτικά· ὀδύρομαι· κλαίω· θρηνῶ· οἰκτίζω· ἐλεῶ. Ἔτι δὲ ἱκετευτικά· ἀντιβολῶ· ἱκετεύω· ἐκλιπαρῶ· λιτανεύω· ἐρωτῶ· καὶ ἴσως τὸ παρακαλῶ· γουνοῦμαι. Ἔτι δὲ συμβολαίων σημαντικά· πωλῶ· ἀγοράζω· συμβάλλω. Ἔτι δὲ φυσικά· οἷον γεννῶ· καὶ φύω· καὶ αὔξω· [illegible]

Τοῦ δὲ δευτέρου τὰ κατὰ τὰς αἰσθήσεις ἀναληπτι- ΤΌΡΟΙ ΤΟΥ Β′.

κά· οἷον αἰσθάνομαι· ἀκούω· ἅπτομαι· γεύομαι· ὀσφραίνομαι· ἐρῶ· ἐπιθυμῶ· τὸ δὲ ἐρῶ [illegible] ἐπιθυμεῖν [illegible] καὶ ἐπὶ πλέον δύναται· [illegible] ὀρέγομαι· θέλω. Καὶ τὰ φροντιστικά· καὶ ἐπιμελητικά· φροντίζω· ἐπιμελοῦμαι· φείδομαι· ἀπολαύω· κοινωνῶ· μετέχω· μέμνημαι. Καὶ τὰ ἀρχικά· βασιλεύω· δεσπόζω· κυριεύω· τυραννῶ· ἄρχω· κρατῶ· ἐπεὶ δ' ἄρα καὶ ὡς κτητικὰ τὰ τοιαῦτα. Καὶ τὰ διαφορικά· καὶ τὰ ἀποστατικά· καὶ ἐκστατικά· διαφέρω· χωρίζομαι· ἀπέχω· στέρομαι· ἀμελῶ.

ΤΌΡΟΙ ΤΟΥ ΤΡΙΤΟΥ.

Τοῦ δὲ τρίτου τὰ περιποιητικά· καὶ ἀντιπεριποιητικά· οἷον δίδωμι· πέμπω· λέγω· χαρίζομαι· ἀντιλέγω· [illegible] ἐναντιοῦμαι· ἐμ[illegible] [illegible]. Καθόλου δὲ ταῦτα ἐστὶ [illegible] [illegible]

εἰλήφθω δὲ καὶ ὡς περιποιητικὸν καὶ τὸ δουλεύω· πιστεύω· ἢ ὑπηρετῶ· ἢ ἀκολουθῶ· ἢ εἴκω· ἢ τὰ ὅμοια:~

ΠΕΡΙ ΣΥΓΚΕΙμένων.

Δῆλον δὲ ἐκ τούτων ἢ ὅπως τοῖς συγκειμένοις χρησόμεθα· ἐκ γὰρ τῶν εἰρημένων ἁπλῶς συνθέντες ὡς ἂν τὰ παρὰ τῆς χρείας καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα:~

ΔΙΑΒΑΤΙΚΩΣ.

Ἤτοι διαβατικῶς εἰ δεῖ τοῦ κατενεργεῖσθαι πράγματι· οἷον ὠφελῶ αὐτοὺς τὰ δυνατά· παρέχω μὲν χρήματα ἀνδρὶ πένητι:~

ΑΙΤΙΟλογικῶς.

Ἢ αἰτιολογικῶς· καὶ ἐλλειπτικῶς· εἰ δεῖ τῆς αἰτίας ἐξ ἧς ἢ γίνεσθαι· οἷον ἐπαινῶ Σωκράτην τῆς ἀρετῆς· ὠνοῦμαι πυροὺς στατήρων ξ ἰδίων· μεταδίδωμί σοι τοῦ περιόντος:~

ΟΡΓΑΝΙΚΩΣ.

Ἢ ὀργανικῶς· εἰ ὅθεν ἡ κατενεργεῖσθαι κίνησιν φάναι δέοι· οἷον φθόνῳ οὐκ ἐπαινεῖ Κλέων τὰ καλά:~

ΤΕΛΙΚΩΣ.

Ἢ τελικῶς· εἰ τὸ οὗ ἕνεκα δέοι προσθεῖναι· οἷον τάττω σε προηγεῖσθαι τῶν ἄλλων:~

ΕΙΔΙΚΩΣ.

Ἢ εἰδικῶς εἰ τὸ καθ' ὃ σημαίνειν δοκεῖ· οἷον· φησί τις περὶ τὸν βασιλέα ἐληλυθέναι:~

ΕΛΛΕΙΠΤΙΚΩΣ.

Ἢ ἐλλειπτικῶς τοῦ καλᾶ· δῆλον δὲ ἐκ τῆς τῶν τρόπων ἐκθέσεως:~

ΤΟΥ ΤΕΛΙΚΟΥ.

Τόποι δὲ τοῦ μὲν τελικοῦ, ἔνθα τὸ ἵνα ἁρμόττει· οἷον τάττω σε ἵνα προηγῇ τῶν ἄλλων:~

ΤΟΥ ΕΙΔΙΚΟΥ.

Τοῦ δὲ εἰδικοῦ, ἔνθα τὸ ὅτι φασὶν ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα:~

ΤΟΥ ΕΛΛΕΙΠΤΙΚΟΥ.

Τοῦ δὲ ἐλλειπτικοῦ δευτέρου, ἔνθα χρόνου δηλῶσαι δέοι ποσόν· οἷον ἔζησεν ἔτη πολλά. Ἢ τὸ ἀπαιτοῦν τοῦ ἐνεργοῦντος προσώπου καὶ πάσχοντος· οἷον φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος. Ἢ τὸ κατά τι· οἷον ἐν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες, καὶ σοφὸς τὰ μηχανικά. Ἢ τὸ αἴτιον οὐ πάνυ τοι τοῦ ὀργανικοῦ ἀνομοίως· οἷον πάντα γὰρ ταῦτα γέγραφε τὸν εἰρημένον τρόπον ὡς ἀπὸ εἰς βυβλίον κατάθοιτο:~

ΤΟΠΟΙ ΤΟΥ ΑΙΤΙΟΛΟΓΙΚΟΥ ΚΑΙ ΕΛΛΕΙΠΤΙΚΟΥ.

Ὑποκείσθωσαν δὲ καὶ τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ τόποι τοιοίδε σκοπεῖν εἰ ἀνταλλαγματικῶς, καὶ ἀποπραδοτικῶς· ὠνοῦμαι· πωλῶ· ἀλλάττω· ἀποτιμῶ·

Ἔτι εἰ πληρωτικὸν ἢ κενωτικόν· γεμίζω· πληρῶ· κενῶ. Ἔτι εἰ διαιρετικόν τι· καὶ ἐκστατικῶς, ἢ ἐφεκτικῶς· γυμνῶ· ἀπαλλάττω· ἀφίστημι· ἀπολύω· κωλύω· ἀναστέλλω· συγχωρῶ· ὑπείκω· κουφίζω· ἀμβλύνω· καθαίρω· περιαιρῶ· παύω. Ἔτι εἰ ἐπιδεικτικῶς· ἢ εἰς ἀρετὴν ἀποδεκτικῶς ἐπαινῶ· θαυμάζω· εὐδαιμονίζω· ζηλῶ· ἀποδέχομαι.

Ἔτι εἰ μετουσιαστικῶς τι καὶ μεταδοτικῶς· κοινωνῶ· μετέχω· μεταδίδωμι· ἀξιῶ. Ἔτι εἰ φιλικῶς· ἢ οἰκτικῶς· φιλῶ· ἀγαπῶ· ἐλεῶ· οἰκτείρω. Καθόλου δὲ τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον μέμφομαί σου ἀχαριστίας· αἰτιῶμαί σε διαβολῆς· κατηγορῶ σου κλοπῆς. Ἔτι εἰ ἀποφάσει χρόνου ἐφήκοντος ἐντελοῦς δέοι ποσὸν χρονικὸν προσθεῖσθαι· οὐκ ἦλθον· οὐκ εἶδον· οὐκ εἶπον χρόνου πολλοῦ.

Ἔτι εἰ τὸ ἐγγὺς τοῦ γενέσθαι ἢ παρὰ μικρὸν συμβεβηκέναι τι δηλῶσαι δέοι· μικροῦ παρῆλθον· μικροῦ διέφυγον. Ἔτι εἰ ἀπὸ μέρους· οἷον κρημνῶσι τοῦ ποδός· πίνωσι τοῦ ὕδατος· δρέπομαι τῶν ἀνθέων.

Ἔτι εἰ καιροῦ ὡρισμένου χρεία· οἷον ἡμέρας τε ἢ νυκτὸς βαδίζεται· ἑσπέρας ἥκει· χειμῶνος ἢ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι. Φανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως διοίσει τι ἑαυτοῦ ὥστε εἰ ἢ διαφόρως προσαγορευθήσεται· τὸ συντάξεται· οἷον τὸ λύω σωματικοῦ μὲν ἢ δεῖ σωματικῆς ὠφελείας ὧν λύοντι· διαιρετικὸν οὖν τὸ λυόμενον γίνεται ἐξ οὗ δεσμοῦ· παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον· καὶ πρὸς τὸ ἐπινοούμενον αἰεὶ συντακτέον:~

ΠΑΘΗΤΙΚΌΝ.

Τὸ δὲ παθητικὸν δῆλον ὅτι ὁσαχῶς ἂν τὸ ἐνεργητικὸν συντέτακται, κοινὸν μὲν τὴν ἐκ προθέσεως ὀνομαστικὴν ἔχει· ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπὸ· ἢ τῇ πρὸς· ἢ τοῖς ἴσοις ὡς εἴρηται ἀντιστρεφομένων τοῖς ἄκροις· Σωκράτης φιλεῖ Φαῖδρον· Φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, ἢ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν οὖν ἢ τὸ ἐκ τετάρτου ἢ ὁμοιότροπον· πλὴν ἐπὶ τῶν κλητικῶν· ταύτῃ γὰρ πρὸς εὐθεῖαν· καλοῦμαι Σωκράτης· λέγομεν οὖν βιβλίον πωλεῖται ὑπὸ Κορίσκου στατήρων πολλῶν· χρυσίον δίδοται πρὸς τοῦ πλουτοῦντος ὧν τέμνηται· ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικῶς κατὰ τὸ συντάξεων· οἷον πλήττομαι τὸν πόδα· ἀλγῶ τὴν κεφαλήν:~

## ΟΥΔΕΤΕΡΟΝ ΥΠΑΡΚΤΙΚΩΣ.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐξ ἑκατέρου συντάσσεται. Σωκράτης ἐστὶν ἢ τυγχάνει λευκός. τὸ μέντοι τυγχάνει βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐξ ἑκατέρου· Σωκράτης τυγχάνει ὢν ἀγαθός. ἢν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικὴ ᾖ, οὐδενὸς δεῖ ἑκατέρου· ἐν τῷ λέγειν γὰρ φαμὲν Σωκράτης τυγχάνει περιπατῶν ἢ διαλεγόμενος. τὰ ἄλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν.

## ΚΤΗΤΙΚΩΣ.

Τῶν τε οὖν κατὰ τὸ μὴ ἔχειν τι ἢ κτῆσιν, ἡ ἐξ ἴσου γενική· χρῄζω· δέομαι· ἔχω· πληθύνω· δέω· ἀπορῶ· εὐπορῶ· ἀμοιρῶ· ἀπολαύω· τρυφῶ· ὄζω. Βρίθω δὲ καὶ εὐθηνῶ, ὀργανικῶς δοτικῇ· καὶ ὅλως τῶν

## ΟΡΓΑΝΙΚΩΣ.

ἀπολελυμένων εἰ δοκεῖ προστιθέναι· οἷον ἀγρυπνῶ· καὶ γρηγορῶ· καὶ ζῶ· καὶ πλουτῶ· ἀριστεύω ἢ δι' ἀρετὴν ἢ ὅπως ἂν ἄλλως ἰσχύῃ φράζειν τὸ αἴτιον. Τῶν δὲ περιποιητικῶν, ἡ δοτική· συμβαίνω· ὑπάρχω· ὑποχωρῶ· εἴκω· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον κατὰ τὰ κοινῇ εἰρημένα.

## ΑΥΤΟΠΑΘΗΤΙΚΟΝ.

Τὸ δὲ αὐτοπαθητικὸν οὐδέτερον μέντοι καὶ αὐτό, ὡς μὴ μετασχηματιζόμενον τῇ φωνῇ εἰς παθητικὴν σημασίαν· αὐτοπαθητικὸν δὲ κληθὲν ἂν μέρος εἴληπται, ἢ πάθος ἀφ' ἑαυτοῦ τυγχάνει δηλοῦν, καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ καὶ τῷ αὐτοουδετέρῳ· οἷον πάσχω· φθίνω· ἔρρω· ἀλγῶ· φρίττω, πυρέττω· ἐρυθριῶ· νοσῶ· ἀποθνήσκω καὶ τὰ ὅμοια. Σύνταξις δὲ τοιούτων αὐτὴ τοῖς παθητικοῖς ὡς εἰκός· πάσχω ὑπὸ τοῦ τείνοντος· φθίνει ὑπὸ τοῦ φθείροντος. τὸ δὲ ἑκτὸν καθ' ὅ, καὶ δι' ὅ, καὶ ὅλως τὸ αἰτιολογικὸν, κοινόν· καὶ ἔτι τὸ μεταβατικόν· καὶ τὸ συνεκδοχικὸν τῆς συντάξεως· πάσχω ταῦτα· καὶ νοσῶ νόσον· καὶ ἀλγῶ τὴν κεφαλήν.

## ΟΛΟΕΝΕΡΓΗΤΙΚΟΝ.

Τὸ δὲ ὁλοενεργητικὸν, τὴν πρὸς αἰτιατικὴν βούλεται σύνταξιν· οἷον φεύγω σε· καὶ λανθάνω· καὶ κρύπτω· καὶ παραλλάττω· καὶ παρελαύνω· καὶ θέλω.

## ΑΥΤΟΟΥΔΕΤΕΡΟΝ.

Τοῦ δὲ αὐτοουδετέρου, ἡ αὐτὴ σύνταξις τοῖς ἀπολελυμένοις ἐστίν· ἀπολελυμένον γὰρ καὶ τοῦτο· οἷον ζῶ· πλουτῶ· ὑγιαίνω· δῆλον οὖν ὅτι πρὸς τὰς διαφορὰς τῶν αὐτῶν δυνάμεων καὶ χρήσεις τὴν σύνταξιν ποιητέον, κατὰ τὰ ὑποτεθέντα· ἀναβαίνω τὸ ὄρος· τρέχω ἐπὶ τὴν ἀγοράν· αἰγιαλόν

k ii

τρέχω τὸ στάδιον· τὸ μὲν ἀπολελυμένον· τὸ δὲ ὁλοενεργητικόν.

## ΜΕ΄ΣΟΝ·

Τῶν δὲ μέσων εἴτουν κοινῶν, ἡ αὐτὴ σύνταξις καὶ αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς· ἀμφοτέραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι· θύομαι τὴν ἑαυτοῦ θεῷ, καὶ θύομαι ὑφ᾽ ἑτέρου τῷ θεῷ· βιάζομαι τὸν ἐχθρόν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ· καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη χρηματιστέον καὶ συντακτέον· ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα· καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

## ἘΠΙΜΕΣΟΝ·

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικόν, τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν· τὸ δὲ ὁλοπαθητικόν, τὴν αὐτὴν τῷ παθητικῷ· ἐνεργητικῷ δὲ ὅμοιον ἐστὶν ἀρχὴν οὖν τῆς προφορᾶς, παθητικὸν σημαίνει τι παθητικόν· γίνομαι· οἴχομαι· κοιμῶμαι.

## ΤΟ΄ΠΟΙ ἘΠΙΜΕ΄ΣΟΥ·

Σκοπεῖν δὲ καὶ περὶ τοῦ ἐπιμέσου τόπους, εἰ περιποιητικὸν ἢ ἀντιστατικὸν καὶ ἐναντιωματικόν· ταῦτα γὰρ δοτικῇ, ὡς τὸ τρίτον· χρῶμαι· ἥδομαι· ἱππάζομαι· μάχομαι· ἀγωνίζομαι· ἐναντιοῦμαι· ὀργίζομαι· ἀχθέσομαι. Ἔτι εἰ ἐπικρατείας σημαντικόν, αἰτιατικῇ γάρ· ὡς τὸ [illegible]· κέκτημαι· ὠνοῦμαι· μιμοῦμαι. Ἔτι εἰ ἀτελές, ἀπαιτεῖ γὰρ τὸ εἴς τι ἢ ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη· πορεύομαι Ἀθήναζε· ἔρχομαι ὡς τὸν θεόν· κάθημαι· ἢ κεῖμαι ἐνταυθοῖ. Ἔτι εἰ κατὰ πάθησιν ἀναληπτικόν, ἢ ἀγωγὸς ἀντιληπτικόν, καθ᾽ ὑπεροχὴν ἢ ὀρεκτικόν, γενικῇ γὰρ ταῦτα· ὡς τὸ βούλομαι· ἅπτομαι· ὀσφραίνομαι· γεύομαι· ὀρέγομαι· ἐφίεμαι· περιέχομαι· ἀντιλαμβάνομαι· περιγίνομαι· κοινὸν δὲ ἡ τῆς αἰτίας χρῆσις ἅπασι χρῶ· διό· ἐφ᾽ ὅ· ἵνα· καὶ ὅπως ἂν ἄλλως φράζοιεν ἢ πρὸς τὰ δόξαντα.

## ἈΠΡΌσωπα·

Τῶν δὲ ἀπροσώπων ὀνομαζομένων διὰ τὸ μὴ παριστάναι πρόσωπον· τὰ μὲν καθ᾽ αὑτὰ κεῖται ἢ ἥκιστα πρὸς ἕτερα συντάττεσθαι πεφυκότα· οἷον τὰ παθητικά· λέγεται· θύεται· λείπεται· εἴρηται· εἰρήσθω· καὶ τὰ ὅμοια. Πλὴν εἰ μὴ περιποιητικῶς· οἷον ἤκουσταί μοι· καὶ ἔγνωσταί μοι· καὶ ὡς τὰ παθητικά· ἤκουσται ὑπ᾽ ἐκείνων.

## ΚΤΗΤΙΚΟ΄Ν·

Τὰ δὲ πρὸς ἕτερον ἢ κτητικῶς ἢ περιποιητικῶς· ἢ ἐπιβατικῶς.
Τὸ μὲν οὖν κτητικὸν εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιποιητικῶς· μέτεστι τούτου ἐμοί· διαφέρει· ἢ μέλλει· ἢ δεῖ· ἢ προσήκει τούτου ἐμοί.

Τὸ δὲ περιποιητικὸν εἰς ἀπαρέμφατον καὶ δοτικὴν ὡς εἰκός, ἔξεστι· συμβαίνει· προσήκει· πρέπει· δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρέσβεις:~

## ΠΕΡΙ ΠΟΙΗΤΙΚΟΝ.

## ΕΠΙΒΑΤΙΚΟΝ.

Τὸ δ᾽ ἐπιβατικὸν, εἰς ἀπαρέμφατον μοναχῶς· δεῖ φάναι· χρὴ λαβεῖν· ἐνδέχεται εἶναι· φιλεῖ γενέσθαι· δεῖ εἰπεῖν· κοινὸν δὴ τοῦτο κἂν παυθαι τὸ ἀπαρέμφατον· ἀλλ᾽ ἢ παρῳχημένου ἢ ἐνεστῶτος· μέλλοντος δὲ οὐδέποτε:~

## ΑΝΑΛΥΣΙΣ ΡΗΜΑΤΟΣ.

Ἀνάλυσις δὲ ἁπλῶς τῶν ῥημάτων ἐστὶ τὸ σύστοιχον ὄνομα ἢ τὴν μετοχὴν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν· οἷον κατ᾽ εὐθεῖαν, ἢ κατὰ γενικήν· οἱ Λύκιοι συνεμάχουν τοῖς Τρωσίν· σύμμαχοι τοῖς Τρωσὶν ἦσαν· τῶν συμμάχων ἦσαν· συμμαχοῦντες ἦσαν· τῶν συμμαχούντων ἦσαν· πληροῦμαι· πλήρης γίνομαι· τῶν πληρουμένων εἰμί· καὶ δὴ οὕτω πάντα:~

## ΕΓΚΛΙΣΙΣ.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων, λόγος μέν· βούλημα, εἴτουν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον:~

## ΟΡΙΣΤΙΚΗ.

Καλεῖται δὲ ἡ ὁριστική, καὶ ἀποφαντική, ἰδίως μέντοι ὁριστική· ὅτι διὰ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα· ὅθεν δὴ καὶ οἱ καλούμενοι δὲ βεβαιωτικοὶ σύνδεσμοι, οἷον προσέτι οἱ αἰτιολογικοὶ τείνουσιν ἐπὶ ταύτην· γέγραφα· λέγω ὅτι γέγραφα· καὶ ὅτι περιπατῶ κινοῦμαι· ἔχει δὲ τὰ ὁριστικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην· διὸ καὶ τὸ ἀποφατικὸν ἐπίρρημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποστήσῃ· οὐ γράφω· τὸ μὲν δὴ καὶ τοῖς προστακτικοῖς ἢ εὐκτικοῖς ἢ ὑποτακτικοῖς· τὸ μέντοι ἀπαγορευτικὸν μὴ τοῖς τοιούτοις οἰκεῖον· οἷον λεγόμενον· μὴ γίνωσκε· μὴ γνοίης· μὴ γνῶς· τὴν μέντοι ἀλλὰ δὴ τοῖς ἀπαρεμφάτοις τὸ οὐ συντάσσεται· οὐδὲν γὰρ ἐνδείκνυται καταφάσεως· ἀποβάλλουσά γε μὴν ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκέτι ἂν καλοῖτο ὁριστική· εἰς γὰρ ἐρωτήσεις μέτεισιν· ἆρα γράφεις.

## ΠΡΟΣΤΑΚΤΙΚΗ.

Ἡ δὲ προστακτική, εὔδηλον ἂν ἔχοι τὴν σύνταξιν τῶν δευτέρων προσώπων, κἂν ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς· ἔτι γὰρ σύνταξις κλητική· τό, τε συντασσόμενον πρόσρημα, τὸ ἄγε, ἀφίστησι

k x ii

τὴν ἀμφιλογίαν. τὰ δὲ πρωτοπρόσωπα τοῦ ὥσπερ οὐ προστακτικά. ἀλλ' αὖθ' ὑποτακτικὰ οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι ᾗ δύο ἐγκλίσεις εἰς μίαν συμπεπτωκέναι· ὅτι γὰρ ὅτε προσκαλέμεθα ἑαυτοὺς, ὅτε μὲν προστάσσομεν ἑαυτοῖς, ὑποτιθέμεθα δὲ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα· συλληπτικὰ δεῖ· ἵνα γὰρ ἐκκλίνῃ τὴν ἐνδεεστέραν πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρότερον ὑποθετικὸν ὄν. Τὸ μὲν οὖν ἐλλεῖπον τοῦ προστακτικοῦ πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα, εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις· ἵνα ἑκατέρα ἀναπληρῶται. τὸ δὲ τρίτον τῶν προστακτικῶν πρόσταξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου δ' ἐξ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. ἀσύστατος γάρ τοι ἡ πρόσταξις ἄνευ δευτέρου:~

## ΕΥΚΤΙΚΗ.

Ἡ δ' εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὀνόμασται· καὶ ἐπιῤῥήματα ἔχει· εἴθε· αἴθε· ἆ. τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται· τοῖς δὲ ὁριστικοῖς δεόντως· εἴθε ἔγραψεν· ἵνα ἡ ὁριστικὴ εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ περὶ τὰ ῥήματα εὐκτικὸν, τοῦ περὶ τὰ ἐπιῤῥήματα· ἢ τὸ μὲν ῥήματα, μετὰ τοῦ ἐνόντος πράγματος τὴν εὐκτικὴν σημαίνει διάθεσιν· τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν· καὶ τὸ φιλολογοῖμι, τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε χωρὶς δ' ὄντι ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρείσταται ᾗ τὸ ἐφ' ᾧ τὸ τῆς εὐχῆς· ὥσπερ ἄρα ᾗ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος· ἢ τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ· τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς.

Ὡσαύτως δὲ καὶ τὸ ἐγὼ πρὸς τὸ γράφω ἔχει· καὶ τὸ ἄλλοθεν πρὸς τὸ ἰλιόθεν· καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν ὡς ἐν ὑποκειμένῳ σημαίνει· οὐκέτι δὲ καὶ τὸ ἄγαν· αὐτὸ γὰρ μοναχῶς ἐπιτάσεώς ἐστιν ὄνομα. Ὁμοίως δὲ καὶ τὸ γράψον, πρὸς τὸ ἄγε. τὸ δὲ αἴθ' ὄφελες ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ ἐκ παραλλήλου διάκεισιν ὃ παρυφίστησι προσώπου τὸ ὄφελες ἥτις ἐκ φύσει τῷ εἴθε:~

## ΥΠΟΤΑΚΤΙΚΗ.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστακτικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι

χωρὶς συνδέσμου διστακτικοῦ τοῦ ἐὰν. οὐ καθόλου δὲ τὸ τοιοῦτο. ἔτι οἱ καλούμενοι καὶ ἀποτελεστικοὶ σύνδεσμοι ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται. Σωκράτης περιπατεῖ ἵνα ὑγιαίνῃ. ὅτι μὲν οὖν οὐ συνίσταται εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων ἐπὶ μέλλοντα ἢ ἐνεστῶτα. οἷον ἐὰν φιλολογῶ, παρέσται Δίων. ἐὰν ἀναγινώσκω παραγίνεται Θέων.

Ὡσαύτως δὲ καὶ μετὰ τοῦ ἵνα. ἵνα φιλολογήσω παρέσται ἢ πάρεστι Δίων. ἐάν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλείσθω αἰτιολογικός. ἵνα φιλολογήσω παρεγένετο Δίων. τοῦτο δὲ καὶ ἀποτελεστικῶς ἔχει ἀκούεσθαι. ἐπὶ μέντοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἐπὶ γὰρ γεγονόσι τὰ αἴτια ἐπιλέγεται. διὸ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων. ἵνα διδάξῃ παρεγένετο Δίων, οὐ παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ παραγενήσεται. ὡς δὲ πρὸς τὸ μέλλον ἢ ἐνεστὼς τὸ ὑποτακτικόν, οὕτω τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος. οἷον παρεγένετο ἵνα διδάσκοιμι, ἢ διδάξαιμι. βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι. κἂν μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας:~

## ἈΠΑΡΈΜΦΑΤΟΣ.

Τὸ δ' ἀπαρέμφατον, ὄνομά ἐστι ῥήματος. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι. τὰ δ' ἄλλα πάντα κατηγορήματα ἢ συμβάματα. διὸ καὶ ὡς ἐπὶ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις. οἷον περιπατεῖ Θέων. ὁρίζομαι περιπατεῖν Θέωνα. ἐξ ἀποφάνσεως δὲ εἰς ἀφήγησιν μετέβαλεν ὁ λόγος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων, προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως ἰδιώματος. οἷον εὔχομαι ἢ προστάττω. αὐτοῦ δὲ τοῦ ἀπαρεμφάτου κυρίως οὐκ ἔσται ἔγκλισις. βουλήματος γὰρ οὐδενός ἐστι σημαντικόν. διαλύοιτο δ' ἂν καὶ ὧδε. ὑγιαίνει Δίων. φασὶ Δίωνα ὑγιαίνειν. λέγουσι Δίωνα ὑβρίσαι Θέωνα. Ταῦτ' ἄρα καὶ ἡ τοῦ ἄρθρου προσθήκη κατάλλη-

k x iii

λος τοῖς ἀπαρεμφάτοις· καλὸν γάρ φαμεν τὸ ἀρετῆς ἀντιποιεῖσθαι· ἢ τὸ φιλοσοφεῖν, οὐδὲν ἴδιον· καὶ τῶν ἀνθέων τὸ ὠδωδέναι· ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις:~

Ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις καὶ τό, τὴν αἰτιατικὴν περιέχειν· ἐπεὶ ὥστε ῥῆμα τὴν τοῦ ῥήματος διάφορον ἔχει μετάβασιν· οἷον συγγινώσκειν σε τῷ ἡμαρτηκότι· καὶ τὸ παντὶ προσώπῳ καὶ παντὶ ἀριθμῷ συντάττεσθαι· διὰ τὸ ἀμοιρεῖν τῶν τοιούτων, ἢ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις, καὶ ἑαυτῷ δὴ συντάττεσθαι· ὁρῶ σε μελετᾶν ἀναγινώσκειν· καὶ μετοχῇ μελετῶντα ἀναγινώσκειν· καὶ ὀνόματι· καλὸς ἰδεῖν· ἀνδρεῖος μάχεσθαι· καὶ τὸ τοῖς διωρισμένοις τρόποις περὶ συντάξεως ἅπασιν οἷόν τε εἶναι προσκεῖσθαι· διδάσκω σε διαλέγεσθαι· ἀπαιτῶ σε χρήματα δουλώσασθαι τοὺς ἐχθρούς· ἀκούω σου μαθεῖν τὰ περὶ τὴν πόλιν· ἀπολύω σε τῶν δεσμῶν πορεύεσθαι ὅποι δοκεῖ. δίδωμί σοι ἀργύριον πρίασθαι ὧν ἂν δέῃ· κοινωνῶ σοι τῶν ἀγαθῶν μὴ φθονερὸς εἶναι δοκεῖν· πολλαχοῦ μέντοι τοῦ σαφεστέρου χάριν ὡς εἴρηται, προσθετέον ἢ ἀποστατικὸν τὸ ὥστε ἢ ἐλλειπτικὸν τὸ τοῦ· ἢ προθετικὸν, ὁμοῦ ἄρθρῳ· ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ· παρακαλῶ σε ταῦτα ὥστε τυχεῖν· τοῦ τυχεῖν· ἐφ' ᾧ τυχεῖν τιμῆς τε καὶ δόξης:~

## ΠΡΟΑΙΡΕΤΙΚᾺ ΚΑῚ ὙΠΗΡΕΤΙΚΆ·

Μάλιστα δὲ ἐπὶ τοῖς προαιρετικοῖς καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται· βούλομαι ἢ θέλω γράψαι· προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν· ἐπιθυμῶ ἰατρεύειν· ποθῶ ἰδεῖν· προθυμοῦμαι βοηθεῖν· ἐπίσταμαι ἢ δύναμαι γράφειν· καὶ ἔτι γε τοῖς ἀπροσώποις· δεῖ γενέσθαι· λέγεται ἀφικέσθαι πολλούς·

## ἘΝΕΣΤῺΣ ἈΌΡΙΣΤΟΣ·

Ἀποδώσομεν δὲ ὡς ἁπλῶς εἰπεῖν τὸν μὲν τελικῶς κατά τε ἀόριστον καὶ ἐνεστῶτα· πορεύομαι ἐντυχεῖν τἀνδρί· ἀντιβολῶ σε παραγενέσθαι· ἢ παραγίνεσθαι· εἰ τὸ ἅπαξ ἢ τὸ πολλάκις εἴη χρεία·

### ἘΝΕΣΤῺΣ. ἈΌΡΙΣΤΟΣ. ΜΈΛΛΩΝ.

Τῶν δὲ εἰδικῶν, κατά τε τὸ παρῳχηκὸς καὶ τὸ ἐνεστὼς, καὶ τὸ μέλλον. ἀλλ' οὐ πάντως. ἀλλ' ἀποφηματικὰ μὲν τὰ δοξαστικὰ καὶ γνωστικὰ ὁπουοῦν. φασὶν ἢ δοκῶ ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι. λέγειν. ἐρεῖν. ἐπαγγελτικὰ δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον. τὸ μέλλον, ὑπισχνοῦμαι ἐρεῖν. ἐλπίζω ὄψεσθαι. μέλλω δράσειν. κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω δρᾶν. ἀποδοθήσεται δὲ καὶ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς ὡς εἴρηται.

### ΠΡΌΣΩΠΑ.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα. πρῶτον, ᾧ περὶ ἑαυτοῦ φράζει ὁ λέγων. δεύτερον, ᾧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. τρίτον, ᾧ περὶ ἑτέρου. οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστίν. ἀλλὰ πολὺ τὸ τρίτον λείπεται τοῦ πρώτου τε καὶ δευτέρου. τὸ δὲ δεύτερον ἔτι τοῦ πρώτου. καὶ οὖν πρώτου καὶ δευτέρου λαμβανομένου δίχα τοῦ τρίτου, λόγος ἂν γίνοιτο. οἷον τό, τί γὰρ ἐγὼν ἐρέω. σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. τρίτου δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου ἢ δευτέρου λεγομένου ἢ συνυπακουομένου.

### ΣΥΛΛΗΨΙΣ.

Ἔτι τὸ μὲν πρῶτον καὶ δεύτερον δυνατὸν συλλαμβάνειν. τὸ τρίτον εἰς πληθυντικὸν ἴδιον. τὸ δὲ τρίτον οὐ δεύτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν φαμέν. καὶ σὺ κἀκεῖνος περιπατεῖτε. οὐκέτι δὲ καὶ ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς τὸ πρῶτον καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον. τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον. ἀνάπαλιν δ' οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν φαμέν. περιπατεῖτε δ' οὔ.

### ΠΕΡῚ ΜΕΤΟΧΗ͂Σ.

Μετοχὴ δ' ὥσπερ τοὔνομα δηλοῖ. μέρος λόγου μετέχον τοῦ ὀνόματος, καὶ τοῦ ῥήματος, μετέχει δὲ τοῦ μὲν, γένους καὶ πτώσεων. τοῦ δὲ, διαθέσεων καὶ χρόνων καὶ συζυγιῶν. διὸ τῇ μὲν, τῆς ἀμφὶ τοὔνομα συντάξεως ἔχεται. τῇ δὲ, τῆς ἀμφὶ τὸ ῥῆμα. ὥστε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα πρὸς ἄλληλά τε καὶ πρὸς τὰ ὀνόματα, οὕτω καὶ αἱ μετοχαὶ πρὸς ἀλ

k κ iiii

λήλας τι καὶ πρὸς τὰ ῥήματα καὶ ὀνόματα· ὡς γὰρ φαμὲν γράφειν ἐθέλω· ἤγουν τοῦ λέγειν ἐφίεμαι, οὕτω καὶ γράφειν ἐθέλων· καὶ τοῦ λέγειν ἐφιέμενος· ἤγουν βέλτιόν ἐστιν ὑπὲρ μέλλοντος τὸ μετοχικόν· ἥκω ἐρῶν· πέμπουσι ἀγγελοῦντας. Ἔτι ὡς δίδωμι Σωκράτει οὕτω καὶ ὁ διδοὺς Σωκράτει. Ἔτι ὡς φιλῶ τὸν σωτῆρα, οὕτω φιλῶν τὸν σώζοντα· καὶ ὡς θεῶμαι τοὺς γυμναστὰς, οὕτω καὶ θεῶμαι τοὺς γυμναζομένους· τὸ δὲ τόξων εὖ εἰδὼς, ποιητικὸν κατὰ ἀντιμέρειαν· ὡσανεὶ ἐλέγετο τόξων εἰδήμων.

Φέρονται δὲ αἱ μετοχαὶ ὑπὸ τὰς αὐτὰς πτώσεις τῷ ῥήματι, καίτοι τῶν ἄλλων πτωτικῶν, λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων· κόπτω τοῦτον· κοπευτὴς τούτου· ὅθεν ἤγουν δηλονότι πάντα τὰ πτωτικὰ ὑπὸ γενικὴν, πλὴν τῶν μετοχῶν. Ἔτι ὡς ἀπολελυμένως φαμὲν ἀναπνέω· ἤγουν ζῶ καὶ γράφω, καὶ χαίρω, οὕτω καὶ ἀναπνέων ζῶ· καὶ γράφων χαίρω:~

## ΔΙΑΤΙ ΕΥΡΗΤΑΙ Η ΜΕΤΟΧΗ

Ὅθεν καὶ δῆλον, ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν λόγου συμβάλλονται αἱ μετοχαί· πολὺ γὰρ διαφέρει εἰς εὐφραδίαν τὸ γράφων ἔλεγον, τοῦ ἔγραφον ἤγουν ἔλεγον· ἤγουν τὸ γράψας ὠφέλησα· τοῦ ἔγραψα καὶ ὠφέλησα· καίτοι σημασίας οὔσης τῆς αὐτῆς. εἰ δὲ ἤγουν ἔτι, δεόντως· καὶ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετενήνεκται σχῆμα· ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, δήλωμα ἂν εἴη αἰτίας· ὥστε ἴσον δύνασθαι τὸ γράψας ὠφέλησα, τῷ ἐκ τοῦ γράψαι ὠφέλησα:~

## ΠΛΑΓΙΩΣ·

Πολλὴ δὲ χρῆσις καὶ τοῦ πλαγίου τῶν μετοχῶν· οἷον ἐμοῦ διδάσκοντος ἤκουε Σωκράτης· ἤγουν ἐμοῦ διδάσκοντος σὺ μανθάνεις· ὅ τι πλάγιον τῆς συντάξεως ἴσον τοῦτο ὡς ἐκεῖνο τὸ ὀρθὸν, καίτοι αἰτιωδῶς· ἢ χρονικῶς συμβεβηκός. Δύο μὲν γίνονται τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως οἱ εἰρημένοι· ὁ μὲν κατακολούθησιν ἀπ' εὐθείας εἰς ῥῆμα ὁμοιοπρόσωπον τῇ εὐθείᾳ· ὁ γὰρ παραλλαγῇ τοῦ προσώπου ἐνταῦθα σολοικισμὸς, ὡς εἴρηται πρότερον Σωκράτης περιπατῶν διαλέγεται· καλείσθω δὲ ὁ τοιοῦτος τρόπος προσωπικός:~

Ὁ δὲ, ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος. Σωκράτους διαλεγομένου, Δίων ἢ σὺ γράφεις· προσαγορευέσθω δὲ ἑτεροπροσωπικὸς ἀμετάβατος.

Τρίτος δὲ ὁ ἀπὸ δοτικῆς κατὰ διάφορον καὶ οὗτος ἐπαγωγὴν τοῦ ῥήματος· διαλεγομένῳ Σωκράτης παρῆν.

Τέταρτος δὲ ὁ ἀπὸ αἰτιατικῆς ἀδιαφόρως καὶ οὗτος· διαλεγόμενον ὁρᾷς καὶ ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς ἐκ πρώτου πτωτικοῖς συνταττομένη ἡ μετοχὴ τὴν τοῦ ῥήματος ποιήσεται ἀκολούθησιν· ὁρῶσι κρύπτοντα· ἐμοὶ βουλομένῳ ἦν· τοῦ μὲν ἀπείχοντο ὡς προδότου:~

## ἈΠΡΟΣΩΠΩΣ.

Ταῖς δὲ τῶν ἀπροσώπων μετοχαῖς ἴδιον μάλιστα τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων, πρὸς ἀναπλήρωσιν γίνεσθαι τοῦ δευτέρου τρόπου· οἷον ἄδηλον ὂν ὁπότε τις ἐπελθὼν, ἄλλος ἀφαιρήσεται· καὶ ἰδιώτης ἦν ὡς οὐ μετὸν ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς· καὶ ἔπρασσον ταῦτα, δέον ἕτερα· καὶ ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, ἀντεπεξῆλθεν εἰς μάχην· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων:~

## ΠΡΟΣΩΠΙΚΩΣ.

Αἱ δὲ τῶν προσωπικῶν καὶ εὐθυλογούμεναι, ἀδιαφόρως τοῖς τῶν ῥημάτων προσώποις συντάσσονται· γράφων ὠφελῶ· ὠφελεῖς· ὠφελεῖ· διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων· καὶ ὀνόμασι μὲν συντασσόμεναι, ἐν ῥήματος μοίρᾳ λαμβάνονται, τοὺς λόγους ἐπαινῶν· ῥήμασι δὲ, ἐν μοίρᾳ ὀνόματος· τοὺς λέγοντας ἐπαινῶ. κἂν ὁμοῦ ἀρσενικά τε καὶ θηλυκὰ προτάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους τουτέστι τοῦ ἀρσενικοῦ μετοχὴν ἐπάγειν· οἷον ἄνδρες καὶ γυναῖκες καθήμενοι διαλέγονται. δῆλον οὖν ὅτι κἂν θηλυκῶν προτασσομένων σὺν τοῖς οὐδετέροις, τὴν τοῦ θηλυκοῦ ἐποίσομεν ἅτε προτέρου· οἷον τὸ Ὁμήρου· αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι, ἢν δ' ἀρσενικὰ καὶ θηλυκὰ ὁμοῦ προταχθῇ κατὰ μετασχηματισμὸν φωνῆς ἀλλὰ μὴ κατὰ σημασίαν, τὴν δευτέραν ἀποδώσομεν μετοχήν· οἷον δὴ

γένους μὲν ἤδη καὶ αἴσθησις ἀπ' ἀλλήλων διακριθέντα:~

Ἔτι ἐὰν διάφορα προτάσσηται γένη χωρίς, ἡ μετοχὴ τοῦ ἐνεστῶτος ἔσται· οὐδὲ χάρης λαοσσόος οὐδὲ κάθυνη τὸν ἰδίου ὀνόματι· συνάπτονται δὲ καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηδὲν πλέον δηλοῦσαι τῶν συστοίχων ῥημάτων· οἷον γράφων εἰμὶ καὶ γεγραφώς· ἴσον γάρ τῷ γράφω καὶ γέγραφα:~

## ΠΕΡῚ ἊΡΘΡΟΥ·

Τὸ δὲ ἄρθρον, ἔστι μὲν λόγου πτωτικὸν μέρος προτασσόμενον τοῖς ὀνόμασι· διαιρεῖται δὲ εἰς προτακτικόν τε καὶ ὑποτακτικὸν ὡς διώρισται πρότερον. κυρίως δὲ μὴν ἄρθρον τὸ προτακτικόν· ποιεῖ δὲ ἀναπόλησιν προεγνωσμένου τοῦ ἐν τῇ συντάξει· οἷον εἰ μὲν λέγει τις, ἄνθρωπος ἥκει, ἄδηλον τινὰ ἄνθρωπον λέγει· εἰ δὲ ὁ ἄνθρωπος, δῆλον· προεγνωσμένον γάρ τινα τῶν ἀνθρώπων. τοῦτο δὲ αὐτὸ βούλονται οἱ φάσκοντες τὸ ἄρθρον σημαντικὸν πρώτης γνώσεως καὶ δευτέρας. Τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται· τὰ δὲ ὑποτακτικὰ γένος ἀορίστου ἐστί· ἐγκλινομένου, ὅστις· προτίθεται δὲ ταυτὸ ὁμοίως καὶ συνδέσμου τοῦ περ· ὅσπερ· καὶ τοῦ γε, ὅσγε· καὶ τοῦ που, ὅσπου· ποιηταὶ δὲ καὶ ὅς ῥα· καὶ ὅς νυ λέγουσιν. ἀλλ' ὅταν ἁπλῶς οὕτω λαμβάνηται, ᾧ τις συντάσσεται μόνον ἢ τῶν εἰρημένων τῷ· ὅταν δὲ αὐτόν τις ἀγνοοῦντα δηλῶσαι βούληται, καὶ τὸ ποτὲ ἐπιπλέκει τῷ τὶς ἐγκλινόμενον· οἷον ὅς τίς ποτε ἦν ἐκεῖνος· προσκείσθω δὲ τούτοις καὶ τὸ ἄττα, ὡς μὲν τὰ ἅτινα προτασσόμενον ἄττ' ἂν εἴπῃς· ὡς δὲ τὸ τινὰ ὑποτασσόμενον· ὁποῖ' ἄττ' ἂν ᾖ·

Ἔτι τὰ μὲν προτακτικὰ, ὀνομάτων καὶ μετοχῶν καθόλου προτίθεται· ἀντωνυμιῶν δὲ, οὐ πασῶν· τὰ δὲ ὑποτακτικὰ καθόλου ὀνόμασί τε καὶ μετοχαῖς καὶ ἀντωνυμίαις τυγχάνει ἑπόμενα· ἀκολουθητικὸν ἄρα τὸ ὑποτακτικὸν πάντων τῶν πτωτικῶν, προηγητικὸν δὲ τῶν ῥημάτων· οἷον λέγει τις σώφρων ὃς τῶν φαύλων κρατεῖ ἐπιθυμιῶν· ὅθεν δὴ καὶ οὐ κυρίως ἂν εἴη ἄρθρον ταυτί· ῥημάτων γὰρ προηγεῖται τῶν μὴ πεφυκότων ἄρθροις συνάπτεσθαι. Χρῆσις δὲ τοῦ προτακτικοῦ καὶ ἐπὶ τῶν ἐπιμεριζομένων πτωτικῶν τοῖς μεριστικοῖς

καλουμένοις συνδέσμοις τῷ μὲν· καὶ δὲ· ἔτι χωρὶς δέ. ἢ γὰρ κατ' εὐθεῖαν· οἷον ἄνθρωποι· οἱ μὲν ἤδη εἰσέτρεχον· οἱ δὲ, παρεσκευάζοντο. ἢ κατὰ γενικήν· τῶν ἀνθρώπων οἱ μὲν Ἕλληνες· οἱ δὲ βάρβαροι. ἢ κατὰ αἰτιατικήν· τοὺς στρατηγοὺς τοὺς μὲν ἔλαβον· τοὺς δὲ λαβεῖν οὐδαμῶς ἠδυνήθησαν:~

## ΠΡΟΛΗΨΙΣ.

Ἐνταῦθα δὴ καὶ εἰ μὲν κατὰ πρόληψιν πληθυντικὸν ῥῆμα προτάσσεται πρὸς ἑκάτερον τὸ ἑπόμενον, εὐθειῶν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροίσει· οἷον ἀετοὶ διέπτησαν δύο· ὁ μὲν, ἀπ' ἀνατολῶν· ὁ δὲ, ἀπὸ δυσμῶν.

Εἰ δὲ πρὸς τὰ μεριζόμενα ἑνικὸν ἕπεται, γενικὴν δέοι ἂν ἡγεῖσθαι πληθυντικήν· δυοῖν ἀετῶν ὁ μὲν, ἀπ' ἀνατολῶν ἔπτη· ὁ δὲ, ἀπὸ δυσμῶν.

Ἔξεστι γε μὴν καὶ τὸ ἑνικὸν ὁτὲ μὲν εἰς ἑνικὰ διελεῖν· ὁτὲ δὲ εἰς πληθυντικά· τὸ ἀνθρώπειον γένος τῇ μὲν, ἀγαθόν· τῇ δὲ, φαῦλον· τοῦ ἀνθρωπείου γένους, οἱ μὲν ἀγαθοί· οἱ δὲ, φαῦλοι. Καὶ αὖ πάλιν τὸ πληθυντικὸν ὁτὲ μὲν, εἰς πληθυντικά· ὁτὲ δὲ εἰς ἑνικά· τῶν ἀνθρώπων οἱ μὲν, ἀγαθοί· οἱ δὲ, φαῦλοι· δυοῖν ὀρνίθων, ὁ μὲν, πτητικός· ὁ δὲ, οὔ.

Εἰ μὲν οὖν εὐθεῖα ἡγεῖται, κείσθω ἐν τῇ ἀθροίσει τὸ ῥῆμα· εἰ δὲ γενική, ἐν τοῖς μεριζομένοις ὡς δέδεικται. Βουλομένοις δὲ καὶ τὴν ἄθροισιν καὶ τὸν μερισμὸν πλαγίως προσενεγκεῖν, ἀνάγκη δὴ τῇ μετοχῇ χρῆσθαι πλαγίᾳ ἐν μοίρᾳ λαμβανομένῃ ῥήματος· καὶ μετάβασιν ἑτεροπροσωπικῶς ποιεῖσθαι· ἀετῶν διαπτάντων τοῦ μὲν, ἀπ' ἀνατολῶν, τοῦ δὲ, ἀπὸ δυσμῶν, ἴσον τὸ τάχος· καὶ πρὸς δοτικήν· ἀετοῖς διαπτᾶσι, τῷ μὲν, τῷ δέ· καὶ πρὸς αἰτιατικήν· ἀετοὺς διαπτάντας· τὸν μὲν, τὸν δέ.

Τὸ δ' Ὁμήρου ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεὺς, σολοικοφανές. Ἴδιον δὲ τοῦ προτακτικοῦ ἄρθρου τὸ πᾶσι τοῖς τοῦ λόγου μέρεσι καὶ τῷ λόγῳ αὐτῷ συντάττεσθαι ὁλικῶς· οἷον τὸ, ἄνθρωπος· τὸ γυνή· τὸ λέγω· τὸ Σωκράτης διαλέγεται· ὥσθ' οὕτω καὶ εἴη ἂν ὡς οὐδέτερα πάντα καὶ ἄκλιτα. Ἔτι τὸ ὅς, ὀνόματος αἰτιατικοῦ ἐπιπλεκόμενον ἀνάγκη μὴ πρὸς τὸ ἡγούμενον ὄνομα μόνον, ἀλλὰ καὶ πρὸς τὸ συνημμένον αὐτῷ, ἕτερον ῥῆμα προφέ-

ρεθαι· ἄνδρα μοι ἔννεπε μοῦσα, ὃς μάλα πολλὰ πλάγχθη· μετάβασις δὲ τῆς ἀπὸ προσώπου εἰς πρόσωπον. Εἰ δ' αὖ εὐθεῖα συντάττοιτο εὐθείᾳ, πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται· ἧκεν ἀνὴρ ὃς ἐπέστελλεν. Εἰ δὲ δύο πλάγιαι εἶεν ἤτοι πρὸς ἕτερον πρόσωπον μετάβασις γίνοιτ' ἄν· οἷον τὸν αἰνὸν ὃν ἐλεῶ τρέφω. ἢ κατὰ τὴν ἐπιστροφήν· ἐμαυτὸν ὃν φιλῶ θεραπεύω. Εἰ δὴ μὲν τῶν πτώσεων εἴη εὐθεῖα, ἡ δὲ πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον· ἐπαινεῖ τοὺς δεινοὺς Ὅμηρος ὃν τιμῶ· καὶ πάλιν τέθνηκε Πάτροκλος ὃν ἐφίλει ὁ Ἀχιλλεύς. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν· τιμῶ Ὅμηρον ὃς τοὺς δεινοὺς ἐπαινεῖ. Καὶ αἱ πλάγιαι δὲ τοῦ ὅς πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν ἀναφέρονται· Ὅμηρος, οὗ· ᾧ· ὅν.

Καὶ ἀνάπαλιν· τῇ ὅς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις καταλλήλως συντάσσονται. Ὅμηρος ὃς τὴν Ἰλιάδα συνέγραψε. Ὁμήρου ὅς. Ὁμήρῳ ὅς. Ὅμηρον ὅς. ὦ Ὅμηρε ὅς. Καὶ ἔτι αὐτοῦ τοῦ ὅς πλάγιαι ταῖς τῶν πτωτικῶν πλαγίαις ἁπάσαις· Ὁμήρου οὗ· ᾧ· ὅν. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ ὁμοῦ ταῖς προθέσεσιν· ἀφ' οὗ· σὺν ᾧ· περὶ ὅν.

Ἔστι δ' ὅτε καὶ μετὰ ὑποτακτικὸν εὐθὺς μετοχὴν ἐπαγόμενον ὁμολογοῦν καὶ ὁμοιόπτωτον καὶ ὁμοάριθμον· ἢ πλαγιοσυντάκτως κατὰ γενικὴν ἀεί· καὶ ἤτοι μόνην ἢ σὺν ὀνόματι, ἢ ἐπιρρήματι· οἷον αἱροῦμαι ἀρετὴν ἣν παροῦσαν οὐδεὶς ἄν με ἀφέλοιτο. Ἐπαινῶ τὸν τρόπον Σωκράτους οὗ καθηγησαμένου ἢ σπουδαίου γεγονότος πλεῖστον ὤναντο τὰ εἰς ἀρετήν. Καὶ σὺν ἐπιρρήματι· οὗ ἄριστα τὸν βίον διάγοντος. Μετοχὴν δὲ ἑτεροπροσωπικῶς ὡς καὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς ἐπαγομένων ὧδε· ἐπαινῶ Σωκράτην ὃν ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας πολλοὶ μιμησάμενοι ἐπέδωσαν περὶ τὰ καλά:~

Ἔτι τὸ ὑποτακτικὸν πολλάκις, οὐ πρὸς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα ἀποδίδοται, ἀλλὰ πρὸς ἣν τὸ ἡγούμενον· ἀττικὸν δὲ τὸ τοιοῦτο· χρῶμαι οἷς ἔχω βιβλίοις· καὶ ἀπολαύω ὧν ἔχω ἀγαθῶν.

Ἔτι τὸ ὑποτακτικὸν ἔστι μὲν οὗ πρὸς πληθυντικὸν ἑνικὸν ἀποδίδο-

μένον εὕρηται· οἷον ἀνθρώπους τίνυνται· ὅστις κεν ἐπίορκον ὀμόσσῃ. ἔστι δὲ τὸ ἀνάπαλιν· μή τις ἀχαιῶν ἔνθα δὲ ἀπέλθῃ βουληφόρος· οἵ τέ μοι αἰεὶ βουλὰς βουλεύουσι. Προσκείσθω δὲ καὶ λαμβάνεσθαι ἔνθα ἂν οἷον τε ᾖ ἀντὶ ὑποτακτικοῦ τὸ προτακτικόν· καὶ ἀντὶ τοῦ ἑπομένου ῥήματος μετοχήν, τὴν αὐτὴν τοῦ λόγου φυλάττοντας ἔννοιαν.

Εἶναι γε μὴν ὁμοιόπτωτα καὶ ὁμογενῆ καὶ ὁμοάριθμα τὰ μεταληφθέντα ἀλλήλοις τε καὶ τοῖς ἡγουμένοις πτωτικοῖς δεῖ· Σωκράτης, ὃς πολλὰ πεποίηκεν ἀγαθά· ὁ πολλὰ πεποιηκὼς ἀγαθά. Κἂν μὴ ᾖ δὲ τὸ ὑποτακτικὸν πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ σύστοιχον· ἢ συνώνυμόν τι ἢ ὅμοιον ὧδε· Σωκράτης οὗ λόγος ἐπ' ἀρετῇ πολύς· τοῦ μάλιστα δι' ἀρετὴν ἐπαινουμένου· τοῦ πολὺν ἐπ' ἀρετῇ λόγον ἔχοντος· Σωκράτης ᾧ Πλάτων διδασκάλῳ ἐχρήσατο· τῷ διδάξαντι Πλάτωνα· ἢ καθηγησαμένῳ Πλάτωνος:~

## ἘΛΛΕΙΠΤΙΚΩ͂Σ.

Πολλάκις δὲ τὰ ὑποτακτικά, καὶ συνελλείψει ἑτέρων πτωτικῶν κεῖται· ἥκει ὃς ἐμοὶ φίλος· φείδομαι ὧν φείδεσθαι ἄξιον· κοινὸν δὲ τὸ τοιοῦτο πάντων τῶν ἀναφορικῶν:~

Ἐλλειποπτωτεῖ δέ τι καὶ τὰ προτακτικὰ ἀλλὰ πρὸς γενικήν· καὶ ἀφηγουμένην τὴν πτῶσιν συνεπιφέρονται νοουμένην· οἷον λόγου μὲν οὗτος ὁ πρῶτος· δεύτερος δὲ ὁ τῶν φιλοσόφων. Ἀποδίδοται δὲ καὶ τῶν ἐρωτηματικῶν τὸ ὃς ὑποτακτικὸν μετὰ ῥήματος τοῦ αὐτοῦ τῷ προηγουμένῳ ἢ καὶ ἑτέρου τῷ· οἷον τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα ἐποίησε· καὶ ἄνευ ῥήματος ἔξωθεν ἀπὸ κοινοῦ, τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα· ὅταν δὲ μεθ' ἑτέρου μοναχῶς· τίς κέρβερον ἐξ ᾅδου ἀνήγαγεν· ὃς καὶ τὸν ἐν Νεμέᾳ λέοντα ἀνεῖλεν· καὶ σὺν προτακτικῷ δὲ ἄρθρῳ καὶ μετοχῇ, γίνοιτ' ἂν ἡ ἀπόδοσις ὁμοίως· τίς ἐποίησε τὴν ὀδύσσειαν· ὁ καὶ τὴν ἰλιάδα ποιήσας· τίς ἀνήγαγε κέρβερον· ὁ καὶ τὸν λέοντα ἀνελών.

## ΣΥΝΘΉΚΗ.

Βελτίων δὲ πολλάκις συνθήκη λόγου ἀποτελεῖται, τῶν ἄρθρων τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων· ἀλλά τινος μεσολαβοῦντος ἑτέρου· οἷον, οἱ τὴν φροντίδα ἔχοντες· ἔνθα δὴ καὶ συμβαίνει

ἐπάλληλά τι κεῖσθαι τὰ ἄρθρα. ἔτι μὲν τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις ὑποτακτικοῖς, ἀλλ' ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων αἰεὶ τοῦ δευτέρου τῶν ὑποτακτικῶν γίνεται. λέγω δὲ περὶ δυοῖν ἀεὶ τελευταίων. ὥστε κἂν τρία ἐπάλληλα ᾖ, ταυτὸν ἂν τῷ δευτέρῳ πρὸς τὸ πρῶτον συμβαίνειν. ὥς γε τὸ πρῶτον καὶ δεύτερον ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν ὑποτακτικοῖς, οὐδὲν ἂν κωλύοι. οἷον οἱ τὴν τῶν ἁπάντων ἐνειληφότες φροντίδα. ἀλλὰ τὰ μὲν τοιαῦτα ἑτέρας ἐστὶ θεωρίας:~

## ΠΕΡῚ ἈΝΤΩΝΥΜΊΑΣ.

Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶ λαμβανομένη ἀντὶ ὀνόματος. τῶν γὰρ ὀνομάτων πρώτου καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἡ δὲ πρόσεισι δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. ἐγὼ γράφω. σὺ γράφεις. ἐκεῖνος γράφει:~

## ΔΙΑΊΡΕΣΙΣ

Διαιρεῖται δὲ εἰς πρωτότυπον καὶ δεικτικὴν καὶ ἐπιταγματικήν, καὶ ὅσα ἄλλα διώρισται πρότερον. ἔστι δὲ καὶ ἡ μέν, ἐντελής. ταῦτα ἐμοί. ἡ δέ, ἐγκλιτική. ταῦτα μοι. ἔτι αἱ μέν, αὐτοπαθεῖς εἴτουν ἰδιοπαθεῖς. ἐμαυτόν. αἱ δέ, ἑτεροπαθεῖς. οἷον ἐμέ:~

## ΠΡΩΤΌΤΥΠΟΙ.

Τῶν μὲν οὖν πρωτοτύπων αἱ εὐθεῖαι πρὸς ἀντιδιαστολὴν αἰεὶ ἑτέρων λαμβάνονται. ἡμεῖς εἴπομεν καὶ οὐχ ἕτεροι. ἐγὼ γέγραφα καὶ οὐχ ἕτερός τις. αἱ δὲ πλάγιαι, ἢν μὲν ὀρθοτονῶνται, καὶ αὗται δὴ πρόσωπα διαστέλλουσιν. ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. ἢν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι. ἤκουσάς μου. καὶ ἔδωκάς μοι. καὶ ηὔφρανάς με. πάντη δὲ αὗταί τε καὶ αἱ καλούμεναι δεικτικαὶ καὶ ἀναφορικαί, οὐκ ἐπιδέχονται ἄρθρον:~

## ΠΑΡΑΓΩΓΟΙ.

Τῶν γε μὴν παραγώγων, τὰ ἄρθρα προτίθεται. ὥσπερ καὶ τῶν ἐπιθέτων δὴ καὶ τῶν ὀνομάτων. ταυτὸν γάρ πως ἐκείνοις δύνανται. ὅλως τε σύνταξιν ἔχουσιν, ἣν τὰ ἐπίθετα καὶ αἱ μετοχαί. πρὸς τὰ κύριά τε καὶ προσηγορικά. ὁμοιογενῶς δὲ καὶ ὁμοιοπτώτως καὶ ὁμοαρίθμως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος. ἡ ἐμὴ οἰκία. τὸ ἐμὸν οἴκημα, ὁ ἡμέ-

τερος πατήρ· ἡ ἡμετέρα μήτηρ· τὸ ἡμέτερον τέκνον.

Ἀνάγκη δὲ ταῖς κτητικαῖς ταῖς δὲ ῥήματι πρώτου ἢ δευτέρου προσώπου συνάπτομεν τὰς πρωτοτύπους συντάττειν, καθάπερ ἐν τοῖς ὀνόμασιν· οἷον σὺ ὁ ἐμὸς παῖς μανθάνεις· ἐγὼ δὲ ὁ σός γε πατὴρ διδάσκω· ὥσπερ σὺ μὲν ὁ Πλάτων διδάσκεις· ἐγὼ δὲ ὁ Σωκράτης διδάσκω. Ἔτι αἱ μὲν οὖν πρώτου καὶ β προσώπου κτητικαί, τοῖς ἔξωθεν ἢ μάλα προσώποις συνάπτονται· οἷον ὁ ἐμὸς παῖς σὲ ἢ ἐκεῖνον φιλεῖ· αἱ δὲ τοῦ τρίτου, δίχα τοῦ ἑτέρου τὸν κεκτημένον δηλοῦντος αὐτὸν συνταχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι· σολοικισμὸς γὰρ τὸ φάναι ὁ σφέτερος παῖς φιλεῖ ἐμέ· καὶ γὰρ ὁ σφέτερος αὐτοῦ παῖς ῥητέον· ἢ ὁ παῖς αὐτοῦ ἄνευ τοῦ κτητικοῦ:~

## ἈΝΤΙΜΕΤΑΒΑΣΙΣ.

Κατὰ μέντοι γε ἀντιμετάβασιν ἣν ἔχει συντάξεως τὸ σφέτερον μόνον· ὡς ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου· καλῶ δὲ ἀντιμετάβασιν, ἵνα ἑκατέρωθεν ἐπ' ἀμφότερα μετάβασις θεωρῆται ῥήματος· οἷον δέοντας οὐ τοῖς σφετέροις ἐπικουρῆσαι· ἢ τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν. Ἔτι αἱ κτητικαὶ ὡς ἁπλῶς εἰπεῖν πρὸς τὰ ἔχοντα οὐ πρὸς τὰ ἐχόμενα· οἷον τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν· γίνεται μὲν τὸ ἐπὶ πρὸς τὰ ἐχόμενα· τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν· ὅμοιον δὲ καὶ τὸ, ἴσως γινώσκεις ἐμὴν ἐνὶ στήθεσι βουλήν:~

## ΔΙΑΦΟΡΑ.

Διαφέρει δὲ τὰ περὶ τὴν σύνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου ᾗ δὴ ἡ μὲν πρωτότυπος συντάσσεται ῥήματι καὶ ὀνόματι ἢ μετοχῇ· παῖδα δέ μοι λύσαιτε φίλην· καὶ μὲν μὴ βουλέων ξύνιον ἀέκοντος ἐμοῖο· καὶ ταὐτὸ προσωπικῶς τε καὶ ἑτεροπροσωπικῶς· ἐκεῖνος τῆς ἀρχῆς λαβόμενος παρεῖδεν οὐδὲ τοῖς ἄλλοις· ὁ δὲ μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως, εἶεν ἐπὶ τοὺς πολεμίους· καὶ μὲν μὴν βουλέων ξύνιον· οἷον δὴ καὶ τὸ Δημοσθένους· κατασκευάσας γραφὴν οὐκ ἐπ' ἐμὲ ἀλλ' ἐπὶ τὸν θεῖόν μου· ἡ δὲ παράγωγος ὀνόμασι μόνοις· τίθεται ἐμὰ δάκρυα:~

## ἈΥΤΟΠΆΘΕΙΑ.

Ἐπ' αὐτοπαθείας γε μὴν οὐ τῶν πρωτοτύπων, ὅταν τὸ αὐτὸ πρό-

σώπου ἐνεργῇ τε καὶ πάσχῃ, ἐν τούτῳ τῷ ἀφθόγγῳ χρώμεθα, ἀλλὰ τοῖς συνθέτοις· ἑαυτοῖς βοηθοῦμεν, καὶ ὁρᾷς σαυτόν:~ ἘΠΑναφοραὶ·

Συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ ἐν τρίτῳ προσώπῳ, διὰ τῆς προειλημμένα ἄττα ὀνόματα ἵν' ἀναμνήσεις ἀντωνομάζοιτο, ληφθῆναί γε μὴ δυνάμενα ἔτι· Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, αὐτὸς μὲν πάλιν τρέπεν ὄσσε φαεινώ· εἰ γάρ τις Ζεὺς πάλιν λέγοι καὶ οὐκ αὐτός, οὐ συνάξει ἀμφότερα πρὸς τὸν Δία, ἀλλ' ἀρχὴν ὥσπερ λόγου ἑτέρου ποιήσει·

Ἐγγὺς δέ τι τούτου καὶ τὸ ὑπερέχει τοῦ κυρίου αὐτὸν μᾶλλον φιλεῖ σε· οὐ μόνον δὴ ἀντωνόμασται, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἀντωνυμιῶν ἐπινοῆσαι ἔστιν· ἀλλὰ καὶ ἀναφέρεταί γε· ὅπερ οὐκ ὀνομάτων ἂν εἴη· ἀλλ' ἢ προσλαβόντων τὰ ἄρθρα:~ ΔΕΙΚΤΙΚΑΙ·

Οὐ καθάπερ δὴ αἱ ἀναφορικαὶ οὕτω τοι καὶ αἱ δεικτικαί, ἀντὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων· ἀλλ' ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων· Ἴδιον γέ τοι τῶν ἀντωνυμιῶν καὶ τὸ κατὰ διαφόρους φωνὰς διάφορα ποιεῖν πρόσωπα· τὰ γάρ τοι ῥήματα κατὰ μίαν φωνὴν πλείοσι τρίτοις ἁρμόζει προσώποις· λέγομεν οὖν ὅτι γράφει Σωκράτης· ἢ Καλλίας· ἢ ὁστισοῦν· οὐκ ἔστι δὲ καὶ ἐπὶ ἀντωνυμίας ὡσαύτως·

Ὥρισται δὲ τὰ τῶν ἀντωνυμιῶν πρόσωπα οὐ μόνῃ τῇ τῶν παρόντων δείξει, ἀλλὰ καὶ τῇ ἀναφορᾷ ἢ ἀναπολήσει τῶν ἀπόντων·

Ὅθεν δὴ καὶ τῷ Ἀριστάρχῳ εἴρηται συζύγους εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας· ὁρίζεται γὰρ ὁμοίως κατὰ πᾶν πρόσωπον ἤτοι ἐν δείξει ἢ ἀναφορᾷ τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων, εἰ μὴ ἐπί τι ἐξαίρετόν τι, οἷον βροντᾷ, καὶ ἀστράπτει, καὶ ὕει· τὸν γὰρ θεὸν ἐπινοητέον ὡς τούτων ἐνεργοῦντα· ἐπεὶ τό γε τρίτον· ἐπὶ πάντων δ' ἐπὶ τούτων ἀώρισται· Καθόλου γὰρ ὥσπερ τὰ ὀνόματα οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ τὴν θέσιν ἑκάστην συντάσσονται· καὶ ταῖς μὲν εὐθείαις ἀμεταβάτως· οἷον οὗτος τρέχει· ταῖς δὲ πλαγίαις μεταβατικῶς· τοῦ γε φείδομαι· τῷ γε χαρίζομαι· τοῦτον ἐπαινῶ· ἢ μὴ τὰ ῥήματα ἀπολυτικὰ τὰ λέγεται ἤ· οἷον τὸ ζῶ· ἢ πλὴν τῶν κλητικῶν:~

## ΔΙΑΚΡΙΤΙΚΟΝ.

Προστίθεμεν δὲ τὴν εὐθεῖαν, τοῖς ῥήμασι πολλαχοῦ οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει καὶ νοουμένην· ἀλλ' ἤτοι πλείονος ἐνδείξεως ἕνεκα ἢ διαστολῆς· διακριτικωτάτη γάρ τοι προσώπων ἡ ἀντωνυμία· ἄλλως τε καὶ ἐὰν σύνδεσμος προσλαμβάνηται ὧδε· σὺ μὲν ἐδίδασκες· ἐγὼ δὲ ἐφοίτων.

## ΣΥΝΘΕΤΟΙ.

Τῶν δὲ συνθέτων χρῆσις μὲν ὥσπερ εἴρηται, ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, ἑκάστη δὲ ἐπὶ τὸ ἐνεργοῦν αὐτὸ ἐπιστρέφει ἢ ἐπί τι τῶν αὐτοῦ· ὥσπερ εἰ ἀντανακλωμένη, σῴζω ἐμαυτόν, σῴζω τὰ ἐμαυτοῦ· ἔστι δὲ φάναι καὶ τὰ ἐμαυτοῦ ἐμὲ σῴζει· ὥστε διχῶς ἡ περὶ τὸ αὐτὸ πάθος κτητικὸν σύνταξις· ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, ἢ ἀνάπαλιν· ἔνθα δὴ καὶ μεταλαμβάνειν ἔξεστιν ὀνόματι ἰσοδυναμοῦν· οἷον τὸ ἴδιον· ἢ οἰκεῖον· ἢ τοιοῦτόν τι· Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει· ἢ τὸν ἴδιον παῖδα· πρόσεστι αὐτῷ τε ὀνόματι καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάσσειν· ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα· φιλεῖ πᾶς ὅστις οὖν τὸν ἴδιον ἑαυτοῦ υἱόν· ὁμήρου ἴδιον τὸ βιβλίον· τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ. Κοινὸν δὲ ταυτὸ τοῦτο καὶ πρὸς τὰς κτητικάς· οἷον σοὶ ἄρα ἔδει ὦ Σώκρατες ἢ τοῦτο γενέσθαι τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος· καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον· τὸ δὲ ἐμὲ αὐτὸν ὠφελεῖ ἐπιτακτικῶς λέγεται πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον. Ὅτι δὲ τὸ σύνθετον ἐπὶ μόνων τῶν ἑνικῶν, διὰ τοῦτο τῇ ἀσαφείᾳ συντάσσοντες τοῖς ἁπλοῖς χρώμεθα ὁμοιοτρόπως ἐπί τε δυϊκοῦ καὶ πληθυντικοῦ· οἷον νῶϊ αὐτὼ ὠφελοῦμεν· νῶϊν αὐτοῖν ἀπόμεθα· σφῶϊ αὐτὼ ὠφελεῖτον· οὐκέτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως· κἀπὶ τοῦ πληθυντικοῦ δέ τοι ὡσαύτως· ἡμῶν αὐτῶν· ἡμῖν αὐτοῖς· ἡμᾶς αὐτούς· σφῶν αὐτῶν· σφίσιν αὐτοῖς· σφᾶς αὐτούς.

Ἔστι γε μὴν πληθύνοντι λέγειν, καὶ ἑαυτῶν· ἑαυτοῖς· ἑαυτούς· κοινὴ κατὰ πάντων προσώπων· ἑαυτοὺς ὠφελοῦμεν· ὠφελεῖτε· ὠφελοῦσιν· οὐκ ἔτι δὲ καὶ ἑαυτὸν ὠφελῶ· ἢ ὠφελεῖς· διελέγχει γάρ τοι ἀκαταλλήλως ἔχον ὑπὸ τοῦ ἐμαυτὸν ἢ σαυτὸν ὡς εἴρηται.

Ι Λ

## ἈΛΛΗΛΟΠΑΘΈΣ.

Παραπλησία δέ πως τούτοις, καὶ ἡ τοῦ ἀλλήλου σύνταξις, διὰ τὸ τὸ πάθεσθαι γὰρ τοῦ ὅλου ἀθροίσματος καὶ ταῦτα ἐπὶ τῶν συμπλεκομένων λαμβάνονται. λέγομεν. ἀλλήλους ὠφελοῦμεν ὠφελεῖται. ὠφελοῦσιν. ὅτι γε μὴν οὕτω μέρει καθήκασιν ὑφ᾽ ἑαυτῶν παρέχει ἀμφοτέρου ἀμοιβαδὸν, προσαγορεύεσθω ἡμῖν γε μὴ αὐτοπαθὲς τὸ τοιοῦτο, ἀλλ᾽ ἀλληλοπαθές. δῆλον δ᾽ ἄρα καὶ ὡς αἱ τοιαῦται ἀντωνυμίαι, ῥήματα οὐκ ἂν ἐπιδέχοιντο παθητικά. τὸ γὰρ αὐτοπαθὲς ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντός ἐστιν ὥσπερ εἴρηται.

## ΠΕΡῚ ΠΡΟΘΈΣΕΩΣ.

Ἡ δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου μερῶν καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη, διείρηται μὲν πρότερον. ἐνταῦθα δὲ ὅπως συντάξεται θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λόγου μερῶν, ἢ κατὰ σύνθεσιν, ἢ κατὰ παράθεσιν. συνθέσεως μὲν γὰρ τὸ σύνοικος. πάροικος. ἔποικος. μέτοικος. παραθέσεως δὲ, τὸ ἐπὶ τὴν Ἀττικήν. ἢ κατὰ τῆς Ἀττικῆς. ταύτην δὲ τὴν ἐκ παραθέσεως σύνταξιν δηλοῦν βούλονται, καὶ οἱ προτίθεσθαι λέγοντες ἐν τῇ συνθέσει καὶ συντάξει.

Ἐοίκασι δ᾽ αἱ προθέσεις συνδεσμικοῖς, συντάξεως γινόμεναι παρεμφατικαί. ὅθεν καὶ τοῖς στωϊκοῖς προθετικοὶ σύνδεσμοι ἐκαλοῦντο. τὸ γὰρ διά τι λυπεῖ, τὸ ἕνεκα τίνος λυπεῖ, παρεμφαίνει. καὶ τὸ ἐκ ῥαθυμίας, τὸ ἕνεκα ῥαθυμίας. οὐδὴ οὖν ἀπεμφαῖνον, εἰ καὶ τὸ ὅτι παραδεξάμενον τὴν διὰ καὶ κατὰ, σύνταξιν ἐπέχει συνδεσμικήν. τοῖς γε μὴν ῥήμασιν αἰεὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον καταγράφω. καὶ προκαλοῦμαι. ἔνδοθέν τι ἡ κλίσις κατέγραφον, ἔτι τοῦ ἁπλοῦ διαφέρει δηλοῦται ἐκ τῆς συνθέσεως. εἰ γὰρ μηδέν τι πλέον, ἔξωθεν ἡ κλίσις καθάπερ καὶ τοῖς ἄλλοις, καθεύδω, ἐκάθευδον. καθέζομαι, ἐκαθεζόμην. πρόθεσις δὲ κατὰ παράθεσιν σὺν εὐθείᾳ ἢ κλητικῇ οὐδέποτε τάξεται. συντάσσεται δὲ ταῖς πλαγίαις ὧδε.

## ἘΝ.

Ἡ μὲν ἐν, αἰεὶ δοτικῇ. ἐν οἴκῳ. ἐν ἀγορᾷ. τὸ δ᾽ ἐν ἅδου καὶ ἐνδο-

διδασκάλου ἐλλειπτικῶς· δεῖ γὰρ κἀνταῦθα ἐπινοεῖν, τὴν γ' πτῶ
καὶ οἴκῳ δοτικήν. **ΕΙΣ.**

Ἡ δὲ εἰς, ἀεὶ αἰτιατικῇ· εἰς ἐκκλησίαν εἰς ἀγοράν· τὸ δὲ εἰς ᾅδου· καὶ εἰς διδασκάλου ἐλλειπτικῶς ὡς καὶ ἐπὶ τῆς ἐν· ἀλλὰ γε ἐπὶ μὲν ἀψύχων τῇ εἰς· ἐπὶ δὲ ἐμψύχων, τῇ πρὸς μάλιστα ἐστὶ χρηστέον· πορεύομαι εἰς ἀγοράν· πέμπω τὸ χρυσίον πρὸς σέ· ἰδιαίτερον δὲ τῇ μὲν εἰς ἐπὶ ἐπαίνου καὶ ἀναφορᾶς· τῇ δὲ πρὸς, τὸ ἀνάπαλιν. ἀμήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα φαμέν· καὶ ὕμνους εἰς Ἀπόλλωνα· πολεμεῖ δὲ πρὸς ὁμόρους· καθ' ἣν δὴ ἔννοιαν καὶ τῇ εἰς ἐστὶν ὅτε χρηστέον· ἠγνωμονήκεσαν εἰς ἡμᾶς:~ **ΕΞ.**

Ἡ δὲ ἐξ, ἀεὶ γενικῇ· ἐξ ἁπλικῆς· ἐκ μετεώρου:~ **ΣΥΝ.**

Ἡ δὲ σὺν, ἀεὶ δοτικῇ· σὺν θεῷ· σὺν λόγῳ. **ΠΡΟΣ.**

Ἡ δὲ πρὸς, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ· γενικῇ μὲν, ὅταν τὴν ἀπὸ τοῦ προσώπου σημαίνῃ κίνησιν· πρὸς θεοῦ τάχθαι· ἢ τάσσηται ἐπὶ ὅρκου· ἧκε πρὸς θεοῦ· ἢ τὸ ἐναντίον δηλοῖ· πρός τε θεῶν μακάρων· πρός τε θνητῶν ἀνθρώπων· ἢ τὸ καθῆκον· οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδάς· δοτικῇ δὲ ὅταν τὸ ἐγγύς τι καὶ παρακείμενον· οἷον πρὸς τοῖς ποσίν· αἰτιατικῇ δὲ, ὅταν κίνησιν πρὸς ἔμψυχον μάλιστα τι· καὶ ὡς ἄνω δὴ εἴρηται· καὶ ἔτι ὅταν ἡ σχέσιν τινὰ καὶ λόγον· ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ· ἢ παράδειγμα· ᾄδει πρὸς αὐλόν. **ΠΡΟ.**

Ἡ δὲ πρὸ, ἀεὶ γενικῇ· πρὸ τῶν θυρῶν· πρὸ τοῦ χρόνου. **ΑΝΑ.**

Ἡ δὲ ἀνὰ, ἀεὶ αἰτιατικῇ· ἀνά τε ἔντεα καὶ μέλαν αἷμα. **ΚΑΤΑ.**

Ἡ δὲ κατὰ, γενικῇ καὶ αἰτιατικῇ· γενικῇ μὲν ἐπὶ καταφορᾶς καὶ κατηγορίας· κατὰ Αἰσχίνου λόγος· καὶ ὅταν τὸ ἐπάνω καὶ πλεῖστι ἢ περίγου δηλοῖ· κατὰ γῆς καθῆσθαι· κατ' ἀνθρώπου, τὸ ζῷον· τὸ δὲ καὶ τοῦ λυμνιοκαρήνου ἀντὶ τοῦ ἀπό· αἰτιατικῇ δὲ ὅταν τὸ παραβαλλόμενόν τι ὅμοιον· οἷον καθ' Ὅμηρον· καὶ κατὰ νῦν προχωρεῖ· ἢ τὸ πλεῖστι καὶ ἔντιμι· καθ' ὃ δὴ ταῦτα ἐποίουν· καὶ ἐμοῦ κατὰ χώραν· ἢ χρόνον· ὁ καθ' ἡμᾶς γεγονὼς ἀνὴρ ἔνδοξος. **ΔΙΑ.**

Ἡ δὲ διὰ, γενικῇ μὲν ἐνεργεῖαν τινὰ, ἢ τὸ μέσον δηλοῦσα· διὰ σοῦ ταῦτα ἀνάμενον γένοιτο· καὶ ἐπὶ–

γενομένην διαφορᾶς. αἰτιατικῇ δέ, αἰτίαν· διὰ σὲ ταῦτα γράφω. ὁ μικρὸς δὲ καὶ τὸ μέσον αἰτιατικῇ ἐνίοτε φράζει· διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα.

## ΜΕΤΑ.

Ἡ δὲ μετά, γενικῇ μὲν τὸ ὁμοῦ σημαίνουσα· ἡδὺς μετὰ φίλων ὁ βίος. τὸ δὲ μετὰ τοῖς πάρισιν ἄρασε ποιητικόν. αἰτιατικῇ δὲ τὸ ὕστερον· μετὰ τὴν ἑορτήν· καὶ Πλάτων μετὰ Σωκράτην.

## ΠΑΡΑ.

Ἡ δὲ παρά, γενικῇ μέν, τὴν ἀπὸ προσώπου σημαίνουσα κίνησιν· οἷον παρὰ θεοῦ τἀγαθά. ἡ μὲν γὰρ ἀπὸ καὶ ἐκ, ἡ ἀπὸ τόπου μᾶλλον κινήσεως οἰκεῖαι· ἡ δὲ παρὰ καὶ πρός, ἡ ἀπὸ προσώπου. δοτικῇ δὲ στάσιν καὶ τὸ ἴσως· παρ᾽ ἐμοὶ διατρίβει. αἰτιατικῇ δέ, κίνησιν ἐπί τι· παρὰ σὲ ἐρχόμενος. ἢ τὸ διά· παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω σκοποῦ καὶ ἐπαγγελίας· οἷον παρὰ γνώμην συμβαίνει.

## ΑΝΤΙ.

Ἡ ἀντί, ἀεὶ γενικῇ· ἀντὶ πολλῶν ἀνθ᾽ ἑνός.

## ΕΠΙ.

Ἡ δὲ ἐπί, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. γενικῇ μέν, χρόνον δηλοῦσα· ἐπὶ ἄρχοντος Ἀθήνησι Πυθοδώρου. ἢ τὸ περί τι καὶ ἔν τινι· ἐπὶ πολλῶν μάθοις τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω· τὰ τετράποδα ἐπὶ γῆς. δοτικῇ δὲ αἰτιολογοῦσα τὸ οὗ ἕνεκα· οἷον ἐπ᾽ ἀγαθῷ πάντα ἐποίει. ἢ δύναμιν καὶ αὐτεξουσιότητα δηλοῦσα· ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τι καὶ δεύτερον ὄν· ἐπὶ τούτοις πολλὰ ἕτερα διεξῄει. ἢ τὸ ἐπάνω· ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾶς. αἰτιατικῇ δέ, κίνησίν τινα λέγουσα· ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο. καὶ γενικῇ δὲ ταὐτὸ τοῦτο ἔσθ᾽ ὅτε δηλοῖ· ἐπ᾽ οἴκου, καὶ ἐπὶ τῆς χώρας. ὀρθότερον μέντοι καὶ ἀττικῶς, οὐ κατὰ πολὺ δέ τι ἡ χρῆσις.

## ΠΕΡΙ.

Ἡ δὲ περί, γενικῇ μὲν αἰτιολογοῦσα· περὶ προθέσεων γράφω. τὸ δὲ περὶ τῶν διοικεῖν μοναδικόν. αἰτιατικῇ δὲ τὸ κύκλῳ σημαίνουσα καὶ περιεκτικὴ ἢ συστατική· οἱ περὶ τὸν Πλάτωνα, τὸ στράτευμα. τὸ δὲ ἐρωῆσαι περὶ δουρὶ καὶ περὶ πύργῳ, ποιητικά.

## ΑΜΦΙ.

Ἡ δὲ ἀμφί, ὡς ὁμοιόσημος οὖσα τῇ περί, καὶ ὁμοιοσυντάκτως ἐστὶ τῇ περί· συνηθεστέρα μέντοι γε ἡ περί.

## ΑΠΟ.

Ἡ δὲ ἀπό, ἀεὶ γενικῇ· ἀπὸ δικαίου ἀφεστήκει.

## ΥΠΟ.

Ἡ δὲ ὑπό, γενικῇ αἰτιολογοῦσα τὸ ποιητικόν· ὁ δὲ ὑπὸ πατρὸς ὑβρίζεται· καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα· ὑφ᾽ εἵματος κρύπτοντα χεῖρα. ὁ δὴ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντασσομένη δηλοῖ· ὑπὸ δένδρον καὶ ὑπὸ δένδρῳ.

## ΥΠΕΡ.

Ἡ δὲ ὑπέρ, γενικῇ μὲν ἐπὶ βοηθείας· οἷον ὑπὲρ Κτησιφῶντος ὁ λόγος. καὶ

τινὸς λόγου. ὁμοίως τῇ περί· ὑπὲρ ὧν εἶπον πάλιν ἐρῶ· καὶ ὅταν τὸ ἐπώνω δηλοῖ· ὑπὲρ κάπτου τίθησι τὸ ἐπαθλον· αἰτιατικῇ δὲ τὸ πλέον τι καὶ ἐπέκεινα καὶ ὅλως ὑπερκείμενον ἀποφέρεται· οἷον ὑπὲρ ἄνθρωπον τί ἐστιν ὁ θεὸς εἰδέναι.

Συντίθενται δὲ τοῖς ῥήμασιν αἱ προθέσεις, τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν, ἀπαιτοῦσι τὴν αὐτῶν πτῶσιν ὡς ἁπλαῖ εἰπεῖν ἀπὸ σου· κατηγοροῦντος· ἀφισταμένου· ὑπερέχοντος· παραινοῦντος· ὅτι μὴ ἐπὶ τῆς κλητικῆς, καὶ περισπωμένης, ἐμφορεῖται· συμφορεῖ· καὶ παραπλαύωσον· ἢ περιτίθημί σοι· ἡ γε μὴν κατὰ συντιθεῖσα ἐπιτείνει ὁμοιοπτώτως· κατατίθεμαι πάντα· κατεῖπέ μοι· ἢ ταῦτα μέν τοι· καὶ ἔτι ὡς σύνθετον οὕτω προφέροιτ' ἑτέρῳ, μὴ δὲ τοῦ προθετικοῦ ἰδιώματος ἀπολειπομένου, οὐδὲν ἂν κωλύοι· κατειπεῖν ἐν ἑτέρῳ· καὶ κατατιθέναι· ἢ καθορᾶν· καλείσθω δὲ τὸ μὲν, προθετικόν· τὸ δὲ, ῥηματικόν.

## ἈΝΑΣΤΡΟΦΉ.

Ἀναστρέφονται δὲ αἱ μὲν μονοσύλλαβοι ἐπὶ τελευτῇ τῶν ἐπῶν· ὡς ἐπὶ τοῦ μηριῶν ἐκεῖνος· οὐ μέν τοι κακὸς εἶδος· ὃ δὲ κακῶν ἐξ· καὶ, ἦλθεν ἀργυρότοξος ἄπο τέμιδος ἔξω· τῶν δὲ δισυλλάβων οὔτε τῆς πεζοῖς ἐστὶν ἐν τοῖς ἐμμέτροις· πλὴν τῆς διά· ἔστι ἀνά· ἵνα μὴ συνεμπέσῃ ἡ μὲν, τῇ διὰ αἰτιατικῇ· ἡ δὲ, τῇ ἄρα ἐλλειπτικῇ· ἅμα ληγούσης εἰ· ὀρθοτονεῖσθαι γὰρ ἐπὶ τῆς παραληγούσης ὀρθείᾳ τάσει ἀνάγκη· αἱ δὲ τρίχρονοι εἰσί· οἷον ἤτι ἀντί καὶ ἀμφί· ὅθεν οὐδὲ αἱ ἄλλαι πλεονάζουσαι· οἷον κατά· παρά· ὑπέρ· ἅτε δὴ γινόμεναι τρίχρονοι· ἡ δὲ ὑπὸ προσλαβοῦσα τὸ ι καὶ γινομένη ὑπαὶ καὶ δισυλλαβοῦσα ἢ διχρονοῦσα ἀναστρέφεται· οἷον ἡμετέρῳ ἐνὶ οἴκῳ· ἀντὶ ἐνὶ κόρῃ κοιμᾶται.

Ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι διχρονοῦσαι, ὅμως οὐκ ἀναστρέφονται· οἷον ἰθάκην κάτα κοιρανέουσι· καὶ ἄγε δὲ πατρόκλῳ περικείμενον.

Εἰ δὲ μεταξὺ δυοῖν ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου· τοῦ δὲ, προσηγορικοῦ ἢ ἐπιθέτου, ἀναστρέφειν δεῖ· ἵνα τοῦ ὅλου προκειμένου λόγου· οἷον ποταμοῦ ἄπο σελήεντος· ἢ ξάνθῳ ἔπι δινήεντι.

Ὡσαύτως δὲ κἂν μεταξὺ κυρίων δυοῖν ἢ προσηγορικῶν κέηται, συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερομένου· οἷον νηῶν ἄπο καὶ

κλισιάων· ἀμμεμίμνοντες πέλει καὶ ἀγχιάλοιο. κἂν μεταξὺ μὲν ἐμπίπτῃ, καὶ μηδὲν ἕτερον μέρος λόγου μεσολαβῇ, ὑποτάττηται δὲ ὥσπερ ἐκείνῃ προηγεῖσθαι, ἀναστρέφεται ἔτι· οἷον οὗ ἔπι πόλλ' ἐμόγησα, Ἰθάκῃ ἔνι οἰκία ναίων· θεοῖς ἄπο μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ προθέσεως καὶ τοῦ ῥήματος ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις, μέρος λόγου ἕτερον παρεμπίπτῃ, οὐκ ἀναστρέφεται· τῷ δ' ἐπὶ τυδείδης ὦρτο:~

Εἰ μέντοι εἴη ἀπὸ τέλους τοῦ ἔπους, καὶ ἁπλῶς εἰπεῖν ἐν στιγμῇ νοήματος, ἀναστρέφεται καὶ μεσοσυλλαβοῦντος τοῦ· πάντων δὲ τῆ ὕσει πολὺ κάτω:~ Καὶ αἱ παθοῦσαι δὲ ἔκθλιψιν τοῦ φωνήεντος οὐκ ἀναστρέφονται· εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις· ἢ τὸ σημαινόμενον διαφθείροιτο μὴ ἀναστρεφομένης· ὡς ἐπὶ τοῦ, στεῦτο γὰρ ἡφαίστοιο πάροι σε μὲν ὅπλα:~

Ποιηταὶ μὲν οὖν κατὰ τὰς προθέσεις ἐνίοτε στίζουσι· λογογράφοι δ' οὔ· ὅτι μὴ ἐπὶ τῆς πρός· ταύτην γὰρ μόνην καὶ πρὸ στιγμῆς τάττουσιν· ὡς τὸ καὶ μικρόν τι πρός:~ Ἔνιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων λέγεσθαι τὰ τοιαῦτα φασὶ [illegible] σίτου αἰτοῦμαι· ἐνδεῖν γὰρ τὴν διά· πλὴν εἰ τὸν λόγον ἐνδεῖν τὴν κατά· εἰ δὲ τοῦ φυτοῦ ἀναπνεῖ· καὶ δρέπομαι τῶν ἀνθέων· καὶ πίνω τοῦ ὕδατος· καὶ κρεμάσαι τοῦ ποδός· ἐνδεῖν τὴν ἀπό:~

## ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΟΣ.

Τὸ δὲ ἐπίρρημα, πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν· αἰεὶ γὰρ ῥήματι προηγεῖται ἢ ἐφίσταται ταῖς λεγομέναις ἐνεργείαις ἐπιλεγόμενον· ὅθεν καὶ τὴν προσηγορίαν ἀπηνέγκατο γὰρ τὸν λόγον· ὅτι γὰρ μέρος λόγου ἄπλωτον κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι γὰρ οἷον ἐπίθετον ῥήματος. Καθάπερ γὰρ τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυρίων κατηγορεῖται καὶ προσηγορικῶν, οὕτω δὴ καὶ τὰ ἐπιρρήματα. κἂν γάρ τοι μεταξὺ τοῦ ῥήματος καὶ ἐπιρρήματος τύχῃ παρεμπεσόντα πλείονα ἄλλα, ὅμως μέντοι αὐτό γε τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα ἀναφερόμενον λέγεται. Καὶ μὲν δὴ πλείω πολλάκις συμπλέκονται ἐπιρρήματα ἑνὶ τῷ ῥήματι ἀποδιδόμενα· οἷον καλῶς καὶ εὐσεβῶς καὶ δεόντως πεποίηκας· κοινὸν γὰρ δὲ τὸ ποιεῖν. Ἔχει μὲν οὖν τὰ ἐπιρρήματα τὴν σύνταξιν πρὸς τὸ

ῥῆμα· περὶ τοῦ κλητικοῦ ἐπιῤῥήματι καὶ τοῦ σχετλιαστικοῦ, καὶ θαυμαστικοῦ, καὶ τοῦ θετικοῦ. Τὸ μὲν γὰρ ὦ, πρὸς κλητικόν· ὦ φίλε πῶλε. Ὦ.
τὸ δὲ, πρὸς γενικήν· φεῦ τῶν κακῶν· ὦ τοῦ μισθοῦ. ΦΕΥ. Ὦ.

ΣΧΕΤΛΙΑΣΤΙΚΑ'. ΘΕΤΙΚΑ'.

Τὰ δὲ πρὸς δοτικὴν ἢ αἰτιατικήν· κρεῖττον ἡμῖν· κρεῖττον ἡμᾶς. ὅτι δὲ χρῶνται σχετλιαστικοῖς τε καὶ θετικοῖς, ἀπὸ τινὸς ἐπὶ ἐκφορᾶς πτωτικῆς. Τὰ μὲν οὖν πτωτικὰ συντάσσεται· φεῦ τοῦ μεγέθους. Τὰ δὲ ῥηματικοῖς ὡς ἔχει. Τὰ δὲ συναμφοτέρως· πόρρω ἡμῶν οἰκεῖ. Τὰ δὲ ῥηματικῶς ἢ πτωτικῶς, οὐκ ἐξ ἀνάγκης καὶ συναμφοτέρως. Τῶν δὲ χρονικῶν τὸ μὲν νῦν πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται. πλὴν τοῦ ὑπερσυντελίκου. ΧΡΟΝΙΚΑ'. ΝΥ'Ν.

Νῦν πειρᾶται· νῦν αὖτις ἔτι πειρήσομαι. νῦν μὲν δὴ Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ· δηλαδὴ μετὰ τὸ χρόνου ἐνεστηκότος, ἐνεστῶτι συντάσσεται μόνῳ, ἀπαρκτικὸν γίνεται λόγου· ἀκολουθίαν δέ τινα σώζον προηγουμένης, ἐπαρκτικὸν ὅτι λόγου καὶ ἀεὶ φησὶ συνδέσμῳ συνάπτεται· οἷον ἐγὼ μὲν φημὶ ταῦτ' εἰκὸς εἶν' ἐρεῖν· νῦν δὲ οὐδὲν ἴστε εἴρηκεν· ἀντιπαράκειται δὲ τῷ τοῦ ἐνεστῶτος νῦν· τὸ αὐτίκα καὶ ἄρτι· νῦν ποιῶ· ἄρτι πεποίηκα, αὐτίκα ποιήσω. ΧΘΕΣ.

Ὁμοίως δὲ ἔχει καὶ τὸ χθὲς καὶ αὔριον, πρὸς τὸ σήμερον· εἰρήσθω δὲ τὸ, αὔριον ἔρχομαι, εἰ πρὸ θυμοῦ τὸ μέλλον γίνεσθαι ἐπὶ πλεῖον πιστοῦται.
Κοινὸν δὲ καὶ τὸ ὅτε καὶ τό ποτε πλὴν τοῦ παρακειμένου. ΟΤΕ. ΤΟΤΕ.
Τὸ δὲ πρῴην καὶ πάλαι, ἴδια τοῦ παρῳχημένου· πάλαι πεποίησαι· πρῴην ἐλήλυθεν. ΠΡΩΗΝ. ΠΑΛΑΙ. Τὸ δὲ ἤδη, κοινὸν μέλλοντος καὶ παρῳχηκότος· ἤδη βεβάδικα· ἤδη βαδίσω· λέγεται δέ τι ἐπὶ τῶν μὴ πολὺ ἀφεστηκότων, ὡς καὶ τὸ πρῴην. ΗΔΗ. ΠΡΙΝ.
Καὶ τὸ πρὶν ἐν παρεληλυθότι πρὸς ὁριστικόν· πρὶν εἶπον· ἐμὸν δ' αἰεὶ καὶ σὺν ἀπαρεμφάτῳ· πρὶν εἰπεῖν· καὶ διὰ μέσου τοῦ ἢ πρὶν ἢ εἰπεῖν ὥσπερ διὰ τοῦ ἂν ἐπὶ μέλλοντος πράγματος· πρὶν ἂν γένηται· πρὶν γνώῃ. ΕΩΣ.
Ὁμοίως δὲ καὶ τὸ ἕως καὶ τὰ ἰσοδυναμοῦντα· ἕως παρατείνω· καὶ εἵως παρατείνων.
Τὸ δὲ ὅτε διαφόρως τοῦ χρόνου πρὸς ὁριστικὸν εἰ μὴ δυνητικῷ ὄντι ἐπιτίθοιτο· ὁριστικὸν δὲ τὸ δυνητικόν· ὅτε βούλοιτο. ΟΤΕ. ΟΥΚΕΤΙ.
Καὶ τὸ οὐκέτι· καὶ τὸ οὐδέποτε· καὶ τὸ ἀεί. Τὸ δὲ οὐδέπω ποτὲ

Ι Λ iiii

μόνον ἐπὶ παρῳχημένου· ὥσπερ τοὐναντίον τὸ εἰσαεὶ καὶ αὖθις ἐπὶ μέλλοντος· εἰσαεὶ ἔσομαι κινήσομαι· αὖθις διδάξω·

ΟΥΠΩ·

Τὸ δὲ οὔπω, παρῳχημένου τε καὶ ἐνεστῶτος· οὔπω εἶπον· οὔπω λέγομεν· Εὐθέως ἁπλῶς εἰπεῖν καὶ πρὸς σημασίαν ἀποδιδόμενα τὰ χρονικὰ κτητικῶς τε· οἷον ποτὲ τοῦ χρόνου· οὐδέποτε τοῦ χρόνου· τὸ γε μὴν χωρὶς γενικῆς πολὺ ἐν τῷ λόγῳ. Ἔστι δὲ καὶ τῶν χρονικῶν τὰ μὲν, ἀναφορικά· τὰ δὲ, ἀπολελυμένα· ὥστε καὶ προσθεῖναι ἄλλα· τότε, ὅτε· τηνικαῦτα· ἡνίκα· τέως· ἕως·

ΕΠΙΤΑΤΙΚΑ·

Τὰ δὲ ἐπιτατικά, τοῖς τε ἐπιθέτοις τῶν ὀνομάτων συντάσσεται πᾶσι, ὑπερθετικῶν χρείαν ἀναπληροῦντα· οἷον λίαν σοφὸς, πάνυ τίμιος· ἢ ἀναφορικῶς· ὁ λίαν σοφός· μεσοσυλλαβοῦντα·

ΜΕΣΟΤΗΤΟΣ·

Τὰ δέ γε τῆς μεσότητος κατηγορεῖται ἐπιρρημάτων· οἷον γράφει πάνυ καλῶς· ἢ τρέχει λίαν ταχέως· καὶ χωρὶς δὲ ἐπιλέγεται· λίαν πονεῖ· σφόδρα ἐπιθυμεῖ:~ Αὐτὴ δὲ ἡ μεσότητι καὶ τῶν τούτοις ἰσοδυνάμων καθόλου μὲν τὸ ῥηματικόν· ζῇ σωφρόνως· ἀξίως γελᾷ· τυχεῖ· κατὰ μέρος δέ τοι ὡς ἕκαστον ἔχει παραγωγῆς, οὕτω δὴ ἢ συντάξεται γε τῷ πτωτικῷ· τῇ μὲν ἀρχῇ συνῳδὸν εἶναι χρεών· ἀξίως οὖν λόγου, ὅτι ἄξιος λόγου· ἢ ὁμοίως τοῖς ἄλλοις ὅτι ὅμοιος τοῖς ἄλλοις· καὶ καταφρονητικῶς τῶν εὐτελεστέρων, ὅτι καταφρονεῖ τῶν εὐτελεστέρων· οἷον δὴ ἢ τὸ ἄριστα πάντων· κοινὸν δὲ τῶν τοιούτων καὶ ἡ προσκειμένη τῷ ἔχω γενική· οὕτως ἔχω γνώμης· πονήρως ἔχω τοῦ σώματος:~

ΤΟΠΙΚΑ·

Τὰ δὲ τοπικὰ γενικῇ· ἔξω τῆς χώρας· ἐνταῦθα τοῦ λόγου· ποῦ γῆς· ἀλλαχῆ τῆς οἰκίας· καὶ χωρὶς ἐνταῦθά ἐστιν· σαφέστερον μέντοι καὶ εὐχρηστότερον ἐπί τινι τὸ φράζειν προθέσει πτωτικῇ· οἴκοι ἐν ἀττικῇ· οἴκαδε εἰς τοῦ πολεμάρχου· πάντα δὲ τὸ προσῆκον σφίσιν ἠρεμίας τε ἢ κινήσεως ἔξει προσκείμενον· οἷον οἴκοι εἰμί·· πορεύομαι οἴκαδε·

Καὶ τὰ συγκριτικὰ δὲ καὶ ὑπερθετικὰ ὁμοίως εἰς γενικήν·

ΠΑΡΑΘΕΤΙΚΑ·

μᾶλλον τῶν ἄλλων φιλοσοφεῖ· καὶ μάλιστα πάντων· τὰ δὲ συγκριτικὰ καὶ πρὸς εὐθεῖαν μεσοσυλλαβοῦντος τοῦ ἢ· μᾶλλον ἢ ἄλλοι·

Ἔτι τὰ ἐπικρυπτικά· κρύφα, ἢ λάθρα τῶν ἄλλων ποιεῖ· Καὶ τὰ διαιρετικά· χωρὶς τῶν ἄλλων· Καὶ τὰ ποσότητος· ἅπαξ ἢ δὶς τῆς ἡμέρας· τρὶς τοῦ μηνός· τετράκις ἢ πολλάκις τοῦ ἐνιαυτοῦ· Καὶ τὰ τακτικά· τὰ δύο ἐφεξῆς τοῦ ἑνός· καὶ ἡ δευτέρα τῶν γυμνῶν· Τὰ δὲ ἀθροιστικά,

δοτικῇ· ὁ μὲν καὶ ἅμα τοῖς ἄλλοις· καὶ χωρίς. Τὰ δὲ ὀμοτικά, αἰτιατικῇ μόνῃ· νὴ Δία οὐκ εἶπον· μὰ Δία οὐκ εἶπε. Τὰ δὲ ἐρωτηματικά, ἀόριστα μὲν ὄντα· καὶ ἡ πευστικὰ γινόμενα ἐγκλίνεται· εἰ μὴ τρισυλλαβία κωλύῃ· οὐδὲν γὰρ ἐγκλίνεται ὑπὲρ δισύλλαβον ὄν· πόθεν ἔρχῃ; ἐλθὼν δέ ποθεν· πῶς ἔχει, οὕτω πως ἔχει. ἔξεστι δὲ καὶ τὸ πότε καὶ τοῦ ἐπερωτήσει, τὸ ἕως καὶ μέχρι καὶ ἄχρι ὑποτάσσειν· οἷον ἕως πότε. ἄχρι τοῦ. μέχρι τοῦ. Τὰ δὲ βεβαιωτικά, ὁριστικοῖς· λέγει ὅτι ἥξει. οὕτω δὴ κρίνει. τό γε μὴν ὅτι καὶ πρὸς εὐκτικόν, εἴπερ παρῳχημένῳ. Τουτέστι διηγηματικῶς· οἷον ἠγγέλλετο ὅτι γένοιτο· καὶ εἴη· καὶ ἔσοιτο:~

## ΔΙΧΩ͂Σ ΤῸ ΔΙΗΓΗΜΑΤΙΚῸΝ.

Ὅθεν δῆλον καὶ ὡς διχῶς τὸ διηγηματικόν· ἢ γὰρ συντονωτέρως, ὡς τὸ, ἀπαρέμφατον· λέγεται γενέσθαι τι· ἢ ὑπτιωτέρως ὡς τό, τι ὁριστικὸν καὶ εὐκτικὸν ὡς εἴρηται· ὅλως δεῖ πεῖν τὸ παρεληλυθὸς διαλεκτικόν τι ἐοικὸς ὄν:~

## ἈΠΑΓΟΡΕΥΤΙΚΆ.

Ὁ πότε καὶ τὸ ἀπαγορευτικὸν ἀπὸ μὲν ἐνεστῶτος πρὸς ὑποτακτικόν· δέδοικα μὴ ἦ· ἀπὸ δὲ παρῳχημένου πρὸς εὐκτικόν· ἐδεδοίκειν μὴ εἴη. ὡς τὸ ἐπεὶ καὶ ἐπειδὴ χρονικόν, οὐ μόνον πρὸς ὁριστικόν, ἀλλὰ καὶ πρὸς εὐκτικόν· ἐπειδὴ γένοιτο. Τὰ δὲ εὐκτικά, εὐκτικῷ καὶ ὁριστικῷ ὡς εἴρηται. Τὰ δὲ παρακελευστικὰ τοῖς δευτέροις τῶν προστακτικῶν καὶ προσέτι τοῖς αὐθυποτάκτοις· ἄγε λέγωμεν· φέρε εἴπω. τοῖς τρίτοις δὲ τὸ ἀπαγορευτικὸν μὴ λεγέτω· μὴ τυψάσθω. οἰκεῖον δ' ὡς εἴρηται καὶ ταῖς ἄλλαις ἐγκλίσεσι· μὴ γνῷς· μὴ γνῴης· μὴ γνῶναι. Πλὴν τῇ ὁριστικῇ· ταύτης δὲ τὸ ἀποφαντικὸν ἴδιον· οὐ λέγω· ναὶ λέγω. τὸ δὲ μὴ δ' ἐμὴν ἰότητα ἀντὶ τοῦ οὐ. Ὅμοιοι δὲ καὶ τὰ εἰκαστικά· ἴσως ἐρῶ· εἰ δ' εὐκτικῷ, οὐκ ἂν εἴη χωρὶς συνδέσμου· ἴσως φαίην ἄν.

Κοινὸν δὲ τοῦτο τῶν ῥηματικῶν συντασσομένων ἁπάντων· οἷον δ' ἂν ἔχοι· πόρρω ἂν εἴη· νὴ Δί' εἴποιμ' ἄν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ τὰ παραβολικὰ δὲ ὁριστικοῖς· ὡς εἶπον οὕτως ἔγραψα. Καὶ τὰ δεικτικὰ ῥηματικοῖς· ἰδοὺ ἥκει εἰς τέλος· ἰδοὺ ὁ ἀμνὸς ἐλλειπτικῶς· τοῦ ὑπαρκτικοῦ. Καὶ τὰ ἀνετικά· ἠρέμα λέγειν· μόγις δύναται. Τὸ δὲ ποσοτικόν, ἀπαρεμφάτῳ· ὥστε λέγειν· καὶ εὐκτικῷ· ὥστε λέγοι ἄν· καὶ ὁριστικῷ· ὥστε λέγει· ἐπιτατικόν τι

οὐ μόνον ἐπιρρήματος, ἀλλὰ καὶ ὀνόματος τοῦ ὁμοιωματικοῦ ἢ παρισωτικοῦ· οἷον τοιοῦτός ἐστιν, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα· τηλικοῦτος ὥστε ἅπαντας ὑπερβαλεῖν· τοσοῦτος ὥστε πάντας θαυμάζειν.

Τὸ δὲ ποθητικὸν εἴθε, λόγου μακροτέρου πέρας καὶ τὴν ἀρχὴν ἔσται τῇ ἑπομένῃ· εἴθε τι δὲ παῖς ὁ τοῦ Λαερτίου:~

## ΠΕΡῚ ΣΥΝΔΈΣΜΟΥ·

Ὁ δὲ σύνδεσμος λέξις συνδετικὴ οὖσα τῶν ἑτέρων τοῦ λόγου μερῶν εἰς κατάλληλον σύνθεσίν τε καὶ τάξιν, τὰ ὅμοια συνάπτει ἀεί· ὄνομα ὀνόματι· καὶ ῥῆμα ῥήματι· καὶ εὐθεῖαν, εὐθείᾳ· καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει· καὶ χρόνον ὁμοίως καὶ ἔγκλισιν· καὶ τὰ λοιπὰ δὲ ὁμοίως· σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει:~

Τῶν γὰρ ἐπὶ τὸ πολὺ ἐκφερομένων τὴν ἑρμηνείαν || ΣΥΜΠλεκτικός· συμπλεκόντων καὶ διὰ τοῦτο συμπλεκτικῶν καλουμένων· Ὁ μὲν καί, προτάσσεται τῶν λέξεων. Ὁ δὲ τε, ἐπιφέρεται ἐγκλινόμενος· θεοί τε καὶ ἀνέρες· καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται, ὥστε τὸν τε, προηγεῖσθαι τοῦ καί· ἀρκτικὸς δὲ ὑπάρχων ὁ καί, δεῖ πάντως καὶ ἕτερον καί ἐπιφέρεσθαι, ἤτοι ῥῆμα συμπλέκοντα ῥήματι· ἢ ὄνομα ὀνόματι· ὅπως ἔτυχε συντασσόμενος ὁ πρῶτος· εἰ γάρ τις λέγοι καὶ περιπατεῖ Σωκράτης, ἐπιφέροι δὲ ἐξ ἀνάγκης, καὶ διαλέγεται ἢ τοιοῦτό τι· εἰ δὲ καὶ Σωκράτης γράφει λέγοι, ἐποίσει δή που καὶ Πλάτων· ἢ ἄλλος τις. Καθόλου γὰρ εἰπεῖν, ἡγούμενος ὁ συμπλεκτικός, ἢ ὁ διαζευκτικός, ὅμοιον ἀπαιτεῖ μέρος ἤτοι πτωτικὸν ἢ ἄπτωτον· καὶ εἰ μὲν πτωτικόν, τὴν αὐτὴν πτῶσιν· εἰ δὲ ἄπτωτον τὴν αὐτὴν ἔγκλισιν· αὐτὴν ἐξ ἀνάγκης· οἷον καὶ γράφω καὶ νοῶ· ἢ γράφω· ἢ νοῶ· καὶ ὁ ἐμὸς δοῦλος καὶ ὁ σός. Καὶ ἔξεστιν ἐπὶ τῶν αὐτῶν συντάξεως συνάπτειν ἀρσενικὰς εὐθείας ταῖς θηλυκαῖς· οἷον ἄριστα τὰ ὁμηρικὰ ἔπη καὶ τὰ Ἡσιόδου. Διαφέρουσι δὲ τῇ ἐγκλίσει, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαι οὐκ ἀνάγκη· οἷον καὶ γράφω, καὶ γράφοιμι· καὶ ἔλεγες, καὶ λέγε. Τῆς αὐτῆς οὔσης διαφορᾶς κεῖται τὰ ῥήματα καὶ παρὰ τῶν διαλεγομένων· καὶ πλείους ὄντες αὐτοὺς ἀπαιτοῦσιν· οἵ τε συμπλεκτικοὶ καὶ διαζευκτικοί, καὶ οἱ μέσοι τε καὶ μεταξὺ τιθέμενοι, ἐπεὶ καὶ πρὸς τὸ αὐτὸ ἀναφερόμενοι ῥῆμα· οἷον καὶ ἐγὼ καὶ σὺ γράφομεν· ἢ ἐμοῦ ἢ σοῦ φείδου·

Ὁ δὲ μέν, λέξεως μέν, οὐδαμοῦ ἀρχικός· λόγου δέ. Ὁ δέ τοι δὲ ἐπιπλεκτικὸς ὢν καὶ λόγου καὶ λέξεως ἐπακολουθητικός ἐστι τοῦ μέν· ἄλλοι μὲν ῥα θεοὶ εὗδον παννύχιοι· Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. τυγχάνει δὲ ὁ αὐτὸς καὶ μεταβατικὸς ὤν, ὡς δι' αὐτοῦ γινομένης τῆς περὶ τὸ νόημα καὶ διήγημα μεταβάσεως. Ὁ δ' αὐτάρ, καὶ ὁ ἀτάρ, ἀρκτικοί· καίτοι τῷ δὲ ἰσοδυναμοῦντες· αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο· αὐτάρ τί μοι ὧδε τοῖον. Ὁ δ' ἀλλὰ ἐστὶν ἐπιτακτικός· Τυδείδης μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής· ὥστε εἴη ἂν καὶ τοῦ μὲν ἐπακολουθητικὸς δὴ καὶ οὗτος. Ὁ δὲ ἠμὲν καὶ ἠδέ ἀρκτικοί· ἀλλ' ὁ μὲν ἠμὲν λόγου καὶ λέξεως· ὁ δ' ἠδέ, λέξεως μόνης· τῷ ἠμὲν ἐπακολουθῶν· ἠμὲν ὅσοι ναίουσιν οὐρανόν· ἠδ' ἔτι ὅσσοι κλυρώσαντο χθόνα· ποιητικοὶ δέ γε οὗτοι. Οἷος δὴ καὶ ὁ ἤτοι· ἀρκτικὸς λόγου καὶ αὐτὸς ὤν· ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο:~

## ΔΙΑΖΕΥΚΤΙΚΟΊ

Οἱ δὲ διαζευκτικοί, τὰ διεζευγμένα συντιθέασι· καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνῦντες τὴν φράσιν ἐπισυνδέουσιν· νῦν ἄρειον ἠὲ πολεμίζειν ἠὲ συνθῆναι· εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω· ἢ Αἴας· ἢ Ἰδομενεύς· ἢ δῖος Ὀδυσσεύς. Ὁ γοῦν ἠέ, ἰσοδυναμῶν τῷ ἤ, προστακτικός ἐστι τοῦ ἤ· ἤτοι ἀγαθὸν ἢ φαῦλον· ἰσοδυναμεῖ δὲ τῷ μέν· ἀρκτικὸς γίνεται λόγων τοῖς ποιηταῖς ὡς ἐρρέθη· ἤτοι ὅγ' ὣς εἰπών. διαζευγνύων μὲν τοίνυν ὁ ἢ ἀορίστως, οὐκ ἀναιρεῖ θάτερον ἢ λέγεται· ἤτοι προσκειμένου ἢ νοουμένου ὡρισμένου δέ· εἰ τι δὲ διασαφητικὸς μόνος κεῖται, βούλομαι ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι, σημαίνεται τὸ καὶ οὐκ ἀπολέσθαι· ὅθεν ἴσως καὶ ἀναιρετικὸς ὑπό τινων προσαγορεύοιτο. Μοναδικῶς δὲ συντάσσεται, ἢ ἀπορρηματικῶς ὢν ἢ λυτικῶς τις ἀπορρηματικῶς· τί δὲ λαὸν ἤγαγ' ἐνθάδε ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο. Τί δή ποτέ τις ἀγνοεῖ, τὸ ἐστὶ σημαινόμενον, ἢ ὅτι οὐδέποτέ τι ἔμαθεν. Τὸ δὲ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός καὶ τὰ ὅμοια, ἐπιρρηματικὴν σύνταξιν ἔχει τῶν βεβαιωτικῶν· οἷον δὴ τὸ ἦ θέμις· τῶν ὁμοιωματικῶν:~

## ΣΥΝΑΠΤΙΚΟΊ.

Οἱ δὲ συναπτικοί, τουτέστιν οἳ ὕπαρξιν μὲν οὔ, ἀκολουθίαν δέ τινα καὶ τάξιν δηλοῦντες, συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας· συντάσσονται δὲ

κατά τε ὀρθὸν καὶ ἀντεστραμμένον· ὡς προηγεῖται ἢ ἐπάγεται· ἢ προηγουμένοις μὲν τὸ ὀρθόν, εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ, ἐπιφερομένοις δὲ τὸ ἀντεστραμμένον· ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες ἄλλοι τε Τρῶες· εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοισι. καὶ πρὸς ὑποτακτικὸν μὲν ἐν τῷ ἐὰν, συντακτέον· ἄγωσί τε ἢ εἰ ζῶντα λαμβάνοιεν, καὶ ὅλως μετὰ τῶν ἑτέρων συνδέσμων. Καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ὁριστικόν, ὡς ἔτυχεν ὁμολογίας ἢ ἀμφιλογίας ἡ ἀκολούθησις. Ἔοικε γὰρ ἐπὶ μὲν ὁμολογουμένων, τὸ ὁριστικόν τε καὶ ὑποτακτικὸν βούλεσθαι. Ἐπὶ δὲ ἐνδοιαζομένων τὸ εὐκτικόν· ὅθεν δὴ καὶ τὸν δυνητικὸν ἂν ἐπὶ τὸ τοιοῦτο οἰκειοτέρως ἂν ἀποδοίημεν· οἷον εἰ ἡδονὴ μὲν ἀγαθὸν εἴη· ταύτῃ ἂν ὁρίζοιτο ἡ εὐδαιμονία· αὕτη καὶ ἀεὶ οὕτως ἡ χρῆσις· κατὰ παρῳχημένου γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί· εἰ ἦν· εἰ καὶ ἦν. ΠΑΡΑσυναπτικοί.

Παραπλησίως δέ τοι καὶ οἱ παρασυναπτικοὶ συντάσσονται· πλὴν ὅτι καὶ ὕπαρξιν μετὰ τάξεως σημαίνουσι τηροῦσί γε. ΑἸΤΙΟλογικοί.

Οἱ δὲ αἰτιολογικοί, προτακτικοί τε εἰσὶ τῶν λέξεων· πλὴν τοῦ γάρ· καὶ ὀρθοὶ καὶ ἀντεστραμμένοι συντάσσονται· καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων κρίνουσιν· οἷον ἵνα τῶν ἐὰν μάθω· ἵνα διδάξω· καὶ ἐπιρρήματι κατά· ἐπειδὰν διδάξω ἢ ὅταν διδάξω. Ὅτι μὴν ἵνα καὶ τὰ ἰσοδυναμοῦντα, καὶ πρὸς εὐκτικὸν ἐπισυντάσσονται, εἰ περὶ παρῳχημένου ὁ λόγος· οἷον ἀφίκετο ἵνα θεῷτο· καὶ πρὸς ὁριστικὸν παρατατικόν, ὅταν τι περὶ παρῳχημένου ἀξιοῦμεν ὑπάρχειν ἢ μή· οἷον ἐχρῆν αὐτὸν λαβεῖν συγγραφήν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους. Τὸ δὲ μὴν ὅπως ἀντὶ τοῦ πῶς, παραλαμβάνεται ὡς πρὸς ὁριστικὸν μέλλοντα. σκοπεῖτε δὲ τοῦτο ὅπως μὴ λόγους ἐροῦσιν· ἄλλως δὲ παντὶ ἐφαρμόττει χρόνῳ. Πρὸς ὁριστικὸν δὲ ὅτι καὶ τὰ ἰσοδυναμοῦντα· ὅτι οὐδεὶς μαθὼν οὐδὲ τέχνην. Τὸ δὲ ἐφ' ᾧ πρός τε ὁριστικὸν, καὶ πρὸς ἀπαρέμφατον· ἐφ' ᾧ ἔγραψεν· ἐφ' ᾧ κομιοῦνται· ἐφ' ᾧ μεμισθῶσθαι. Τὸ δὲ ἕνεκα, γενικῇ· τὸ δὲ οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα, ἰωνικόν. Ὁ δὲ γάρ, παντὶ μέρει λόγου ὑποτάσσεται· καὶ ἀρκτικὸν ἰδιαίτατον [illegible] ἀρχῇ [illegible] ἀφύων τῶν [illegible]

## ΕΝΑΝΤΙΩΜΑΤΙΚΟΙ.

Οἱ δὲ λεγόμενοι ἐναντιωματικοί, καὶ προτάσσονται τῆς λέξεως καὶ ὑποτάσσονται. λόγου μέντοι προτάσσεσθαι, οὐδαμοῦ πεφύκασιν. ἔκαμον περαίνων, ἀλλ' ὁμῶς περανέσομαι ἔτι. καίτοι παιδίων, ὅμως οὐκ ἴσχυεν καταλαβεῖν.

## ΣΥΛΛΟΓΙΣΤΙΚΟΙ.

ΤΩΝ δὲ συλλογιστικῶν, οἷον τῇ ἐπιφορᾷ τε καὶ συμπεράσμασι προσοικειουμένων· ὁ ἀλλὰ ἢ ἀλλὰ μήν, προτακτικός ἐστι λέξεως μόνως. οἱ δ' ἄλλοι πάντες καὶ προτάσσεσθαι καὶ ὑποτάσσεσθαι δύνανται. πᾶς ἄνθρωπος ζῷον· ἀλλὰ μὴν πᾶν ζῷον οὐσία· πᾶς ἄρα ἄνθρωπος οὐσία.

## ΑΠΟΡΡΗΜΑΤΙΚΟΙ.

Οἱ δ' ἀπορρηματικοί, ἐπεὶ ἀποροῦντί τι καὶ ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν· ἆρ' οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων εἰ μή τι γε καθ' ὑπερβατόν.

## ΠΑΡΑΠΛΗΡΩΜΑΤΙΚΟΙ.

Οἱ δὲ παραπληρωματικοί, τὸ μὲν ὄνομα ἔσχον, ἀπὸ τοῦ τὴν φράσιν παραπληροῦν ἢ μέτρου ἢ κόσμου χάριν. ἔχουσι δὲ πολλάκις καὶ σημασίαν διάφορον. Οἷον ὁ γέ, μειωτικός. ὁ δὴ περιγραφικὸς καὶ μεταβατικὸς καὶ βεβαιωτικός. ὁ ἂν δυνητικὸς καὶ ἀοριστικός. πάντες μὲν οὖν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται· οἷον ἄλλοι μὲν ῥα θεοί. Ὁ δὲ ἄν, καὶ ὑποτάσσεται ἀοριστολογικὸς ὤν· ὅσα ἂν λέγῃς· ὅσα ἂν εἴπῃς. Δυνητικὸς δὲ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος, πρὸς εὐκτικοῦ· οὐκ ἂν λέγοις· οὐκ ἂν φαίης· οὐκ ἂν λέξοις· εἴτε προτάσσοιτο εἴτε ἐπιτάσσοιτο. καὶ πρὸς ὁριστικοῦ· οὐκ ἂν ἐρεῖς· αἰγα ἀπανιστοῦσι. κατὰ δὲ παρῳχηκότος πρὸς ὁριστικόν, οὐκ ἂν εἶπες· ἢ ἔλεξες. Ἔτι δὲ συνηθέστερον ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύναται ὁ ἂν τίθεσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν μόνον. Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν· λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφορὰς λέγειν ἄν· εἰπεῖν ἄν· καὶ ἐρεῖν ἄν. Καὶ πρὸς μετοχῆς· εἰπόντος ἂν καὶ ἐροῦντος· καὶ εἰπὼν ἂν καὶ εἰπόντων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· οὐκ ἰσχυσάδου περισπουμένου τοῦ ἂν ἐπιδεικτικός. Τὰ μὲν δὴ μέρη οὕτω συντάσσοντες καταγγελλὰν ποιοῖμεν τὸν λόγον.

## ΠΕΡΙ ΤΟΥ ΑΡΑΓΓΕΛΛΕΙΝ ΔΙΑΣΤΟΛΗΣ

Ἀπαγγέλλειν δὲ τὰ συντεταγμένα μὴ μόνον καθ' ὑπόκρισίν τε καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν· οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια εἴη συμφανεστέρα· καὶ γράφοντας οὖν στικτέον εἰς διαστολήν, φθεγγομένους δὲ διακριτέον τριχῶς· ἢ γὰρ τελείᾳ ἢ ἀτελεῖ ἢ μέσῃ. Ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναπαρτιλούμενα λήγει τοῖς κώλοις, διασταλτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον καὶ πλεῖον τι χρόνον ἀπερισηματιστέον εἰς ἀπόδοσιν τοῦ τελείου. Ἔνθα δὲ ἀτελῶς παντάπασιν ἔχει, ὑπανιέντας τι τῆς φωνῆς καὶ ἐπ' ἐλάχιστον διαστηματίζοντας ἀπαγγελτέον. Μέσως δέ τοι, τὰ κῶλά τε καὶ οὐ τελῶς ἀπηρτισμένα κόμματα ἀποδοτέον· οἷον ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις. Καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφοράς, τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ· τὸ δὲ ἀτελὲς παρεγκλίνοντας πρὸς τὸ κάτω· τὸ δὲ μέσον παρεγκλίνοντας πρὸς τὸ ἄνω. Καὶ περὶ μὲν κλίσεως καὶ σχηματισμοῦ καὶ διαιρέσεως καὶ ὀνομασιῶν καὶ προσῳδίας καὶ ὀρθογραφίας καὶ χρόνων καὶ συντάξεως τῆς γραμματικῆς καὶ ὅλως περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ, ἔστω δὴ εἰρημένον ἀποχρώντως ὡς ἐν εἰσαγωγῇ· τὸ γὰρ ἐπὶ πλέον καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν ἥκιστ' ἂν τῆς παρούσης εἴη προθέσεως, μετὰ ταῦτα δὲ ὅπως δεῖ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τὴν δὲ ἡμῖν μέθοδον, λέγωμεν.

ΤΕΛΟΣ ΠΟΥ ΤΕΤΑΡΤΟΥ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑ
ΡΑ ΤΗΣ ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ
ΕΙΣΑΓΩΓΗΣ· ΚΑΙ ΙΗΣΟΥ ΧΡΙ
ΣΤΩΙ ΠΛΕΙΣΤΗ
ΧΑΡΙΣ·

| | | | |
|---|---|---|---|
| a α | ζοπη̃ | γνόοις | συμβαί |
| In hoc | d δ | αἰντων | λικος |
| Θεοδώρου | δῆλον | g η | πέξιν |
| πατικὴ | φαι. | λον | k κ |
| εἰς τ̄. | τὸ ἀπα | Ἔτι | ὈΥΔΕ |
| b β | σειτῆς | Γαρακὴ | τὸ δὲ |
| θι.τὸ. | c ε | θέζω | χωρὶς |
| τὸ δὲ | ἐξαιρε | h θ | λήλας |
| ἐμπειρ. | μάμι | πρῖον | l λ |
| μετ' | ὧν | ομίλη | διακρι |
| c γ | λλὸ | Ἡ φρο̄ | δασκάλου |
| πὰ γὰρ | f ζ | λω.η | πολοτίας |
| βρυκὸς | ἐπὶ | ι ι | ρῆμα, |
| κοινὰ | κρολλατα | σεως | |

ἘΤΥΠΩΘΗ ἘΝ ἘΝΕΤΙΑΙΣ ΔΕΞΙΟΤΗΤΙ ἌΛΔΟΥ ΜΑΝΟΥΚΙΟΥ ΤΟΥ ΒΑΣΙΑΝΕΩΣ.

# ΘΕΟΔΩΡΟΥ ΠΕΡΙ ΜΗΝΩΝ

ΠΡΟ ἔργου μὲν καὶ τὸ τῆς ὀνομασίας εἰδέναι τῶν μηνῶν, καὶ τῆς τάξεως ἧς ἔχουσιν, ὡς Ἀθηναῖοι ἦγον· οὐ ῥᾴδιον δὲ τοῦτο λαβεῖν. τῶν τε γὰρ πρότερον καὶ τῶν καθ' ἡμᾶς δὴ ἐλλογίμων, οἱ μὲν οὐδὲν περὶ τάξεως καὶ χρείας ἔφασαν τούτων· οἱ δὲ τάξιν μέν τινα ἀποδεδώκασι, τὸ ἐφεξῆς οἱ ὁμόφωνοι λέγειν· πόρρω δέ που πεπλανημένοι τοῦ ὀρθοῦ, ἐλέγχονται φανερῶς. ἔνιοι δὲ ἑρμηνεύοντες, ὅστις μὲν ἑκατομβαιὼν τῶν μηνῶν, ὅστις δὲ ποσειδεών, καὶ τῶν λοιπῶν ἕκαστος ὡς ἐφαρμόττοι πρὸς τὰ ὀνόματα τῶν μηνῶν καθάπερ ἄγουσι Ῥωμαῖοι τοὺς χρόνους, οὐδὲν ὅτι καὶ ὑγιὲς εἰπεῖν ἀποδεδώκασιν· οὐδὲ δὴ συνῳδά γε ἀλλήλοις φασίν· ἀλλ' ὁ μὲν μάρτιον λέγει τὸν ἑκατομβαιῶνα, ὁ δὲ ἰούλιον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων διαφωνοῦσιν ἀλλήλοις ἅμα καὶ διαμαρτάνουσιν ἕκαστοι τἀληθοῦς. Καὶ Πλήθων δ' ὁ φήμῃ μέγ' ἀνὴρ τῶν ἐπιφανῶν, χαλεπὸν ἡγούμενος εὑρεῖν τὸ ἀνάλογον τούτοις, εἶτα ἐπιζητεῖν, κἀν τοῖς περὶ νομοθεσίας δὴ λόγοις περὶ ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει ὡς Ἀττικοὶ ἦγον τοὺς μῆνας· καίτοι τἄλλα τὰ περὶ τὴν φωνὴν ἐπιεικῶς προθυμούμενος ἀττικοῖς, καὶ σφόδρα περὶ τοῦτο σπουδάζων· ἀλλ' ὥσπερ ἂν ὁ τυχὼν εἴποι, ἀπλῶς πως ἐκ τοῦ συμβεβηκότος καλεῖ· τὸν μὲν πρῶτον, τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον· καθάπερ εἴ τις τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν καλεῖ μέγαν ἢ ἀντίχειρα, τὸν δὲ λιχανόν, τὸν δὲ μέσον, καὶ τοὺς λοιποὺς αὖ ὡσαύτως· ἀλλ' ὑπ' ἀπορίας τῶν ἑκάστοις ἐκνεμομένων ὀνομάτων, πρῶτον καὶ δεύτερον καὶ τρίτον προσαγορεύει. ἔοικε δὲ μὴ δὲ τοῖς πολὺ πρόσθε

ῥᾴδιον ἄν· ὅτι δὴ ὁ Πολυδεύκης τὰ ὀνομαστικὰ Καίσαρι Κομμόδῳ συγγεγραφὼς, τὰς μὲν ἡμέρας τοῦ μηνὸς ὅπως ἀριθμητέον τε καὶ ὀνομαστέον λέγει· εἰ μὴ καὶ καλάνδας· τοὺς μῆνας δ' αὐτοὺς παρασιωπῶν ἀπολείπει· χρῆν δὲ καταριθμῆσαι καὶ τούτους ὀνομάζοντα καὶ διασαφοῦντα εἴπερ ᾔδει· ἄλλως τε καὶ Κόμμοδον τὸν ἑτερογλώττων τινὰ ἀττικίζειν διδάσκοντα τὴν φωνήν. ἔστι μὲν οὖν οὐ ῥᾴδιον ἐφαρμόσαι τοῖς ῥωμαίων ὀνόμασι τὰ τῶν ἀθηναίων περὶ τοὺς μῆνας, καὶ τὴν προσήκουσαν τάξιν εὑρεῖν· οὐ μὴν ἀλλὰ ζητητέον καὶ τῶν ἐπὶ πραγματείαις διαφόροις μνημονευσάντων μηνός του, τὰ λεγόμενα ἐπισκεπτέον καὶ ἐκ πλειόνων συλλογιστέον διορίζοντας ἐφ' ὅσον διαχειροῦσθαι καὶ περὶ τῶν τοιούτων ἂν εἴη· ὅπως ἂν ἑλληνικοῖς ὀνόμασι τῶν μηνῶν ἔχωμεν χρῆσθαι ἑλληνικῶς φράζοντες, ἀλλὰ μὴ ὀθνεῖα παραμιγνύντες, ξενίζωμεν περὶ τὴν πατρώαν φωνήν, καὶ ἐμμελῆ τὸν λόγον ποιῶμεν· φιλοσόφου δὲ καὶ τὸ περὶ τούτου ἐσκέφθαι· οὐδὲ αὐτὸ γὰρ ἐπισήμως ἐστὶν ὀρθῶς τε τοῖς κειμένοις χρῆσθαι ὀνόμασι, καὶ μηδὲν ἀλλοτρίων ἐπιπολάζειν τοῖς οἰκείοις ἐᾶν· ὥσπερ ἅμα μέλει καὶ τὰ μὲν μὴ ὑπάρχοντα ὀνομοθετεῖν· τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι· οὕτω γὰρ ἂν ἑκάστη τῶν ἐπιστημῶν βέλτιον τὸ αὑτῆς ἔργον ἀποτελοῦσα συμβάλλοιτο εἰς τὴν πολιτικὴν κοινωνίαν· μάλιστα δὲ αἱ περὶ τοὺς λόγους:~

## ΜΗΝΕΣ ΑΘΗΝΑΙΩΝ.

Δώδεκα μὲν τοίνυν τὸν ἀριθμὸν εἶναι ὀνόματα μηνῶν ταῦτα ὡς ἀθηναῖοι ἦγον, πάντες ὁμολογοῦσι:~

| | | |
|---|---|---|
| Μουνιχιῶνα. | Θαργηλιῶνα. | Σκιροφοριῶνα. |
| Ἑκατομβαιῶνα. | Μεταγειτνιῶνα. | Βοηδρομιῶνα. |
| Μαιμακτηριῶνα. | Πυανεψιῶνα. | Ἀνθεστηριῶνα. |
| Ποσειδεῶνα. | Γαμηλιῶνα. | Ἐλαφηβολιῶνα. |

Περὶ δὲ τάξεως καὶ τοῦ ἐφεξῆς ἡ διαφορά τε καὶ ἀμφισβήτησίς ἐστι· πρὸς δὲ καὶ περὶ τοῦ πῶς δεῖ μεταφέροντας εἰς τὴν λατίνων φωνὴν ὀνομάζειν· πρῶτον δὴ περὶ τάξεως καὶ τοῦ ἐφεξῆς τούτων· ἔπειτα περὶ τῆς ἑρμηνείας θεωρητέον· δοκεῖ γὰρ ὥσπερ στοιχεῖον ἑρμηνεῦ-

σαι τοῦ

ἔσται τούτων ἡ τάξις· καὶ τὰ πολλὰ ἴσως τῶν πρὸς τὴν ἑρμηνείαν τεινόντων, δι' οἷς ἂν λαμβάνοντας ἐκ τῆς συντάξεως οἰκείων, δεδηλώκαμεν. μετὰ δὲ ταῦτα περὶ χρείας ῥητέον· τούτου γὰρ ἕνεκα καὶ τὴν τάξιν εἰδέναι μάλιστα προαιρούμεθα. ἢ πρὸς τούτοις εἴ τι ἄλλο πως οἰκεῖον τῇ σκέψει τῇδε ὄν, προσληπτέον, βραχύ τι συμπεριλαμβάνοντας· ἵνα μὴ τοῦ ἔργου μεῖζον τὸ πάρεργον γίνηται:~

## :~ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΩΝ ΜΗΝΩΝ:~

Εἰλήφθω τοίνυν μὴν ὁ τυχὼν πρῶτος τῷ λόγῳ· ἔστω δὲ εἰ δοκεῖ ποσειδεών· μετὰ ποσειδεῶνα δὲ εὐθὺς γαμηλιών· μάρτυρες δὲ τούτου, Ἀριστοτέλης τε καὶ Θεόφραστος ἄνδρες παλαιᾶς μνήμης καὶ ἐμπειρίαν ἔχοντες τῆς ἀθηναίων φωνῆς· δεῖ γὰρ μὴ ἀμάρτυρα φάσκειν ὡς οἱ πρὸ τοῦ, θέσεις πρὸς τῷ ψευδεῖ, καὶ ἀδιαπόρητα ἀποδεδώκασι λέγοντες περὶ τούτων· ἀλλ' ἐφ' ἑκάστοις μάρτυρας παρέχεσθαι ἄνδρας ἀξιοπίστους· ὥσπερ ἐν δικαστηρίῳ· πᾶν γὰρ τὸ ἐν τούτοις πιστόν, ἐκ τεκμηρίων καὶ λόγων τοιούτων, ἀλλ' ἐξ ὧν τινες τῶν ἐνδόξων εἰρήκασιν ὅτι.
„Τούτων δὴ ὁ μὲν ἐν τῇ περὶ τὰ ζῶα ἱστορίᾳ, ὧδε λέγει· Ἡ δὲ θωνὶς
„ἅπαξ τίκτει· ἀλλὰ διὰ τὸ τὰ μὲν πρώϊα τὰ δὲ ὄψια προΐεσθαι, δὶς
„δοκεῖ τίκτειν· ἔστι δὲ ὁ μὲν πρῶτος τόκος περὶ τὸν ποσειδεῶνα,
„πρὸ τῶν τροπῶν· ὁ δὲ ὕστερος τοῦ ἔαρος. Θεόφραστος δὲ ἐν τῇ περὶ τὰ φυτὰ ἱστορίᾳ, ἀρχὴν εἶναι φησὶ τοῦ δευτέρου τῶν ἀρότων μεθ' ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός· ἔχει δὲ ἡ λέξις αὐτῷ ὧδε.
„ Καλοῦσι δὲ οὕτως, οὐ πρὸς τὴν σπορὰν βλέποντες, ἀλλὰ πρὸς τὴν γένε-
„σιν καὶ τὴν χρείαν ἑκάστου· ἐπεὶ ἥ γε σπορά, σχεδὸν ἐν τοῖς ἐναντίοις
„γίνεται· χειμερινοῦ γὰρ ἀρχὴ μετὰ τροπὰς θερινὰς τοῦ μεταγειτνι-
„ῶνος μηνός· καλοῦσι δὲ τοῦτον πρῶτον τῶν ἀρότων· τοῦ δὲ δευτέρου πά-
„λιν, μεθ' ἡλίου τροπὰς χειμερινὰς τοῦ γαμηλιῶνος μηνός.

Εἰ δὴ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν· ἡ γαμηλιῶνος μετὰ τροπάς, γαμηλιῶνα μετὰ ποσειδεῶνα εἶναι ἀνάγκη· ὡς δὲ καὶ ἐφεξῆς, συμφανὲς ἐκ τοῦ προκειμένου, καὶ τῆς φράσεως τοῦ ταχέως χρειῶν· ὁ γὰρ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν λέγων καὶ γαμηλιῶνος μετὰ τροπάς, ἤτοι περὶ τὸν ὀνομαζόμενον μῆνα τὰς τροπὰς εἶναι βούλε-

ται. ἢ περὶ τὸν ἐγγύτατά γε δηλοῖ. ὅτι δὲ καὶ χειμερινὸς ἂν ὁ ποσειδε-
ὼν, δῆλον ἐξῶν Ἀριστοτέλης ἐν τῇ αὐτῇ ἱστορίᾳ διακρινεῖ περὶ ἰ-
χθύων τῶν καλουμένων κεστρέων. εἰπὼν γὰρ πρόσθεν ὅτι χειμῶνος
ὁ κεστρεὺς τίκτει. μετὰ ταῦτα καὶ τὸν μῆνα περὶ ὃν τίκτει ὀνομά-
„ ζει λέγων, ὅτι ποσειδεῶνος. ἄμφω δὲ ταῦτα ἐν τῷ πέμπτῳ τῆς ἱ-
„ στορίας ἐπὶ τῇδε τῇ λέξει. Τίκτει δ' ἔνια καὶ χειμῶνος καὶ θέρους.
„ χειμῶνος μὲν λάβραξ. κεστρεὺς. βελόνη. θέρους δὲ, περὶ τὸν ἑκατομβαι-
„ ῶνα θυννίδες. εἶτα ἄρχονται δὲ τίκτειν τῶν κεστρέων, οἱ μὲν χελῶνες τοῦ
„ ποσειδεῶνος. καὶ ὁ μύξων καλούμενος καὶ ὁ κέφαλος. κύουσι δὲ τριά-
„ κοντα ἡμέρας. τοῦτο δ' αὐτὸ πάλιν καὶ ἐν τῷ ἑβδόμῳ φησίν. ἅμα
δὲ δῆλον ὅτι καὶ τροπικὸς ὁ ποσειδεών. εἰ γὰρ περὶ ποσειδεῶνα πρὸ
τῶν τροπῶν. χειμερινὸς δ' ὁ ποσειδεὼν, φανερὸν ὅτι περὶ ποσειδε-
ῶνα αἱ τροπαί. περὶ γὰρ πρῶτον μῆνα τῶν χειμερινῶν, γίνονται αἱ τρο-
παί. ἀλλ' ἡ περὶ ποσειδεῶνα πρὸ τῶν τροπῶν. ἔνεστιν ἄρα, τὸ πότε τοῦ
μηνὸς διορίζει. ὡς καὶ μετὰ τροπὰς γινομένου τοῦ περὶ τὸν αὐτὸν μῆ-
να περὶ ὃν αἱ τροπαί. οὐ μὴν, ἀλλὰ καὶ τῶν ὀρνίθων ἀλκυὼν τίκτει
μὲν περὶ τροπὰς χειμερινάς. διὸ καὶ καλοῦνται ὅταν εὐδιειναὶ γένωνται
αἱ τροπαὶ, ἀλκυονίδες ἡμέραι. ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ με-
τὰ τροπάς. καθάπερ καὶ Ἀριστοτέλης φησί. καλεῖται δὲ ποσειδεω-
νὶς τοῖς πολλοῖς ἡ ὄρνις. παρὰ τοῦ τῶν ἀστείων οἷς ἔοικε τοὔνομα
εἰληφόσι διὰ τὸ τίκτειν ποσειδεῶνος μηνὸς ὥστε σημεῖον καὶ τοῦ-
τ' ἂν εἴη τροπικὸν εἶναι τὸν ποσειδεῶνα καὶ τῶν χειμερινῶν πρῶτον.

Νῦν μὲν οὖν ἐκ τούτων εἰλήφθω χειμερινόν τε καὶ τροπικὸν εἶναι τὸν
ποσειδεῶνα. ὕστερον δὲ καὶ δι' ἀκριβείας μᾶλλον δειχθήσεται. τὴν δ' ἀ-
κρίβειαν οὐχ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν δεῖ, ἀλλ' ἐν ἑκάστοις κα-
τὰ τὴν ὑποκειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον, ἐφόσον οἰκεῖα τῇ
μεθόδῳ. Μετὰ δὲ γαμηλιῶνα, εὐθὺς ἐλαφηβολιών. τελευταῖ-
ος μηνὸς τῶν χειμερινῶν δεῖ. οὑτοσὶ δὲ τελευταῖος σημεῖον δέ. Θουκυδί-
δης γὰρ ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν τὴν ἐνιαύσιον ἐκεχειρίαν τὴν γε-
νομένην λακεδαιμονίοις καὶ ἀθηναίοις, τελευτῶντος ὀγδόου ἔ-
τους τοῦ πολέμου. τετάρτῃ ἐπὶ δέκα τοῦ ἐλαφηβολιῶνος μη-
νὸς ὁμολογεῖσθαι

νὸς ὁμολογεῖσθαί φησι· τὴν δ' αὐτὴν ἐκεχειρίαν καὶ διελθόντος τοῦ χειμῶνος, ἅμα ἦρι τοῦ ἐπιγινομένου θέρους γενέσθαι· κἀν τῇ πέμπτῃ δὲ τῶν αὐτῶν ἱστοριῶν, σπονδὰς γενέσθαι φησὶν ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἀλκαίου· ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος· τὰς δ' αὐτὰς σπονδάς, καὶ τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι γενέσθαι φησίν. Ἔτι δ' Ἀριστοτέλης τῶν θηρίων τὴν ἄρκτον ἱστορεῖ τὴν ὀχείαν ποιεῖσθαι τοῦ μηνὸς τοῦ ἐλαφηβολιῶνος· κυεῖν δὲ ἡμέρας τριάκοντα· καὶ τίκτειν περὶ τὸν καιρὸν ὃν φωλεῖ· ὅταν δὲ ἐκθρέψῃ τρίτῳ μηνί, ἐκβαίνειν ἤδη τοῦ ἔαρος· ταῦτα δ' εἰπὼν ἐν ἑβδόμῳ, πάλιν ἐν ὀγδόῳ φησὶ τὴν ἄρκτον ἐντίκτειν περὶ τοῦτον τὸν καιρόν· ἐν ᾧ φωλεῖν ἕως ἂν ὥρα ᾖ ἐξάγειν τοὺς σκύμνους· τοῦτο δὲ ποιεῖν τοῦ ἔαρος περὶ τρίτον μῆνα ἀπὸ τῶν τροπῶν· ὥστ' εἰ αὐτὴ τίκτειν ἀπὸ τροπῶν χειμερινῶν περὶ τρίτον μῆνα, ἐάν τις ἐξάγειν ἀπὸ ἐαρινῆς ἰσημερίας περὶ τρίτον ἀκούειν δεῖ, κατ' ἀμφω δέ, τὸν ἐλαφηβολιῶνά γε μῆνα τελευταῖον εἶναι τῶν χειμερινῶν καὶ τρίτον συμβαίνει· τίκτειν γάρ φησι, περὶ ὃν καιρὸν μάλιστα φωλεῖ· φωλεῖ δὲ τὰ χρόνια πάντα τοῦ χειμῶνος, ὡς εἴρηται ἐν τῷ ὀγδόῳ· χειμερινὸς ἄρα ὁ ἐλαφηβολιὼν περὶ ὃν κυεῖ· οὐ πρῶτος δέ, οὐδὲ δεύτερος· τρίτος ἄρα, εἰ τρεῖς περὶ ἑκάστην τῶν ὡρῶν μῆνές εἰσιν· ἐφεξῆς δ' ἐλαφηβολιῶνι, μουνυχιών· τέταρτος μὲν γὰρ ἀπ' ἐλαφηβολιῶνος σκιροφοριών· τρίτος δ' ἀπὸ μουνυχιῶνος. Ἀριστοτέλης ἐν τῇ αὐτῇ περὶ ζώων ἱστορίᾳ, ὧδε καταριθμούμενος τέταχε·
„ Τίκτουσι δ' οἱ πλεῖστοι τῶν ἰχθύων ἐν μησὶ
„ τρισί· μουνυχιῶνι καὶ θαργηλιῶνι, καὶ σκιροφοριῶνι·
„ Δημοσθένης δὲ ἐν τῷ περὶ παραπρεσβείας λόγῳ, ἡ μὲν τοί-
„ νυν εἰρήνη φησὶν ἐλαφηβολιῶνος ἕκτῃ ἐπὶ δέκα ἐγένετο, ἀπε-
„ δημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς ὅλους μῆνας· καὶ τοῦτον ἅπαντα
„ τὸν χρόνον ἦσαν οἱ φωκεῖς σῷοι. ἥκομεν δὲ ἀπὸ τῆς πρεσβείας
„ τῆς ἐπὶ τοὺς ὅρκους, τρίτῃ ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος· Καὶ Αἰσχίνης δὲ ἐν τῇ περὶ παραπρεσβείας ἀπολογίᾳ, ὑπεσπῶν ὅτι δὴ τὴν ἐπιστολὴν γράψειε χαίρης Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος,

„ἐπαύσατο πάλιν. Ἀκούετε ὅτι Μουνυχιῶνος ἐψηφίσθη ζήτη ι-
„σταμένου· τὸ δὲ χρυσοκλέπτης πρὸ τοῦ πρότερον ἡμέραις ἀπώλεσε τὴν
„θράκην, πρὶν ἐμὲ ἀπιέναι, ὥς φησι Χάρης στρατηγός· καὶ ἡ ἐπιστο-
„λὴ τοῦ προτέρου μηνὸς, ἐπεὶ Ἐλαφηβολιὼν ἐστὶ Μουνυχιῶ-
νος πρότερος

## ὍΤΙ ΠΕΡῚ ΜΟΥΝΥΧΙΩ͂ΝΑ Ἡ ἘΑΡΙΝῊ ἸΣΗΜΕΡΊΑ:~

Δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ δεῖν μῆνα συνεχῆ εἶναι περὶ ὃν ἰ-
σημερία ἐαρινή· περὶ Μουνυχιῶνα δὲ αὕτη. Θεόφρα-
στος γὰρ ἐν τοῖς αὐτοῖς περὶ ἀρότου ὥσπερ ἀπὸ τριῶν εἶναί
φησι τὴν ἀρχὴν τοῦ πρώτου καὶ δευτέρου τῶν ἀρότων, ὡς καὶ
τὴν τοῦ τρίτου ἀπὸ ἰσημερίας ἐαρινῆς εἶναι ἐνδεικνύμενος, ἀρ-
„χὴν τοῦ τρίτου φησὶν ὃν καλοῦσι θερινὸν, Μουνυχιῶνος· ἐν ᾧ
ἀπείρηται σίκυος κολοκύντη κέγχρον· οὐ μὴν ἀλλὰ καὶ τῶν ἰχθύ-
ων τοὺς πλείστους τίκτειν περὶ ἐαρινὴν ἰσημερίαν Ἀριστοτέ-
λης φησί· τοὺς δὲ πλείστους καὶ ἐν τρισὶ μησὶ, Μουνυχιῶνι· Θαρ-
γηλιῶνι· Σκιροφοριῶνι, ὡς εἴρηται· οὐκοῦν περὶ Μουνυχι-
ῶνα ἡ ἐαρινὴ ἰσημερία· καὶ ἐφεξῆς Ἐλαφηβολιῶνι Μουνυ-
χιών· μετὰ δὲ Μουνυχιῶνα εὐθὺς εἶναι Θαργηλιῶνα, εἶ-
τα Σκιροφοριῶνα, ἐπειδὴ λοιπὸν ἐκ τῶν νῦν δὴ εἰρημένων Ἀρι-
στοτέλης μόνον, ἀλλὰ καὶ ἐκ τῶν λεχθέντων αὐτῷ περὶ βοῶν,
καὶ ἐλάφων ἐν τοῖς αὐτοῖς περὶ ζώων ἱστορουμένοις.

„„ Ἄρχονται δὲ ὀχείας φησὶν αἱ βόες περὶ τὸν Θαργηλι-
„ῶνα μῆνα· καὶ τὸν Σκιροφοριῶνα, αἱ πλεῖσται· οὐ μὴν, ἀλλ᾽ ἔνιαι
„καὶ μέχρι τοῦ μετοπώρου κυΐσκονται· καὶ τοὺς ἐλάφους δὲ ἀπο-
„βάλλειν περὶ Θαργηλιῶνα τὰ κέρατα λέγει· τοῦτο δὲ δευτέ-
ρῳ μηνὶ τῆς ἐαρινῆς συμβαῖνον ὁρῶμεν· εἰς ταυτὸ δὲ, τείνει καὶ
„ἐν τοῖς μετὰ τὰ φυσικὰ ἔνθεν· ὅτι δὲ ἰσημερίας ἐγένετο ὁ πλοῦς·
„καὶ ἐκ Διονυσίων θαργήλια· διότι μετὰ τὰ Διονύσια, δῆλον δὲ
γὰρ ὅτι Μουνυχιῶνος καὶ περὶ ἰσημερίαν ἐαρινὴν ἤγετο Διονύ-
σῳ ἡ ἑορτή· Σκιροφοριῶνα, δ᾽ ἑξῆς εἶναι Θαργηλιῶνι, μαρ-
τυρεῖ καὶ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν· λέγων περὶ

χην κῃ

κλῶ ἢ ἐλάττω καὶ δρῦν διαλείπειν περὶ τὴν αὔξησιν καὶ τρεῖς ἀφιέναι βλαστούς· τὸν μὲν πρῶτον ἄκρου ἔαρος, εὐθὺς ἱσταμένου τοῦ Θαργηλιῶνος· τὸν δὲ δεύτερον διαλιποῦσας περὶ τριάκοντα ἢ μικρῷ πλείους ἡμέρας ἐπιβάλλεσθαι περὶ τὸν σκιροφοριῶνα μῆνα, λέγοντα· τὸν δὲ τρίτον διαλιποῦσας περὶ πεντεκαίδεκα ἡμέρας, ἐπιβάλλεσθαι, ἓξ ἢ ἑπτὰ ἡμέρας Ἑκατομβαιῶνος· μαρτύριον δὲ καὶ τὸ ψήφισμα, ὅπερ αἰσχίνης προφέρεται ἐν τῷ κατὰ κτησιφῶντος λόγῳ· φησὶ γὰρ γεγράφθαι Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἀγορὰν ποιῆσαι τῶν φυλῶν Σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ· Ἔτι δὲ Σκιροφοριῶνι Ἑκατομβαιῶνα εἶναι· δηλοῖ μὲν καὶ ἐκ τῶν νῦν εἰρημένων Θεόφραστος· οὐχ ἥκιστα δὲ καὶ ἐξ ὧν ἱστορεῖ περὶ τῆς τομῆς τοῦ αὐλητικοῦ καλάμου, λέγει γὰρ πρὸ ἀντιγονίδου μὲν ἡνίκα ηὔλουν ἀπλάστως, ὡραίαν τὴν τομὴν εἶναι ὑπὸ ἀρκτοῦρον Βοηδρομιῶνος μηνός· ὕστερον δὲ ἐπειδὴ εἰς τὴν πλάσιν μετέβησαν, μετακινηθῆναι· τέμνεσθαι γὰρ τοῦ Σκιροφοριῶνος ἢ ἑκατομβαιῶνος· ὥσπερεὶ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. Ἀριστοτέλης δὲ τρεῖς ἐφεξῆς τίκτει

„χε τρυγοῦσι μῆνας εἰπών. Τῶν δὲ μαλακοστράκων οἱ κάρα-
„βοι μετὰ τὴν ὀχείαν, κυοῦσι καὶ ἴσχουσι τὰ ᾠὰ περὶ τρεῖς μῆ-
„νας· Σκιροφοριῶνα, καὶ Ἑκατομβαιῶνα, καὶ Μεταγειτνιῶνα:~

Ἔτι δὲ βέβαιον καὶ ἐκ πολλῶν ἄλλων. μῆνα, γὰρ τάξαι δεῖ προσέχειν περὶ ὃν αἱ θεριναὶ τροπαί. τέταρτον γὰρ ἀπὸ Μουνυχιῶνος. ὃς δὴ πρῶτος ἦν τῶν ἐαρινῶν. περὶ Ἑκατομβαιῶνα, δὲ αἱ τροπαὶ αἱ θεριναὶ ὡς καὶ ἀριστοτέλης διασαφεῖ λέγων

„ἐν τοῖς αὐτοῖς περὶ ζῴων. Ἔνια δὲ τίκτει χειμῶνος
„καὶ θέρους. χειμῶνος μὲν λάβραξ καὶ κεστρεύς. θέρους δὲ περὶ
„τὸν Ἑκατομβαιῶνα, θυννίδες περὶ τροπὰς θερινάς. καὶ πά-
„λιν. ὀχεύονται θύννοι καὶ σκόμβροι φησὶ περὶ τὸν ἐλαφηβολι-

ῶνα, φθίνοντα. τίκτουσι δὲ περὶ τὸν Ἑκατομβαιῶνα, ἀρχομένου. ὁ γὰρ πρότερον περὶ τροπὰς θερινὰς εἶπε, τοῦτο

ὕστερον περὶ Ἑκατομβαιῶνα ἀρχόμενον λέγει. ὡς ἄρα περὶ Ἑκατομβαιῶνα ἀρχόμενον τῶν θερινῶν γινομένων τροπῶν, ὁμολογούμενον δὲ τούτοις καὶ τὸ περὶ τομῆς τοῦ αὐλητικοῦ καλάμου Θεοφράστῳ λεχθέν. τέμνουσι γὰρ δή φησι τοῦ Σκιροφοριῶνος καὶ Ἑκατομβαιῶνος, ὥσπερ εἰ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. καὶ τὸ πρότερον δὴ παρατεθὲν ὅτι μετὰ τροπὰς θερινὰς τοῦ Μεταγειτνιῶνος μηνός, εἴη μετὰ Ἑκατομβαιῶνα, Μεταγειτνιῶνος ἐφεξῆς:~

## ὍΤΙ ἈΡΧῊ ἘΝΙΑΥΤΟΥ͂ ἈΘΗΝΑΊΟΙΣ Ὁ Ἑ-ΚΑΤΟΜΒΑΙΏΝ:~

Καὶ Ἀθηναῖοι δὲ τοῦ ἐνιαυτοῦ ἤρχοντο ἀπὸ Ἑκατομβαιῶνος· διὰ τὸ τὰς τροπὰς γίνεσθαι περὶ αὐτόν. ἀπὸ γὰρ θερινῶν τροπῶν ἡ ἀρχὴ ἦν ἐκείνοις τοῦ ἔτους, ὥσπερ Ῥωμαίοις ὕστερον ἀπὸ τῶν χειμερινῶν. ἀρχὴν μὲν οὖν εἶναι τοῦ ἔτους τὸν Ἑκατομβαιῶνα, δῆλον Δημοσθένης ποιεῖ ἐν τρίτῳ τῶν Ὀλυνθιακῶν λέγων:~

„Μετὰ δὲ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, Ἑκατομβαι-
„ὼν, Μεταγειτνιών, Βοηδρομιών· τούτου τοῦ μηνὸς μόγις με-
„τὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε.

ἐπιδείκνυσι γὰρ τὴν Ἀθηναίων ἀμέλειαν, καὶ εἰς τρεῖς ἔτι μῆνας τοῦ ἐπιόντος ἐνιαυτοῦ προσπαρατείνασθαι. ὡς δὲ ἀπὸ θερινῶν τροπῶν εἶναι τὴν ἀρχήν, Σιμπλίκιος ἐξηγούμενος Ἀριστοτέλους τῆς Φυσικῆς ἀκροάσεως

„τὸ πέμπτον, ὧδε περὶ τοῦ φύσει προτέρου καὶ ὑστέρου λέγων, πιστοῦται·
„Ἃς γὰρ ἡμεῖς ποιούμεθα ἀρχάς, ἐνιαυτοῦ μέν, περὶ θερινὰς τροπὰς ὡς
„Ἀθηναῖοι· ἢ περὶ μετοπωρινὰς ὡς οἱ περὶ τὴν νῦν καλουμένην Ἀσί-
„αν· ἢ περὶ χειμερινὰς ὡς Ῥωμαῖοι· ἢ περὶ ἐαρινὰς ὡς Ἄραβες,

καὶ Δαμασκηνοί. μηνὸς δὲ ὥς τινες ἀρχὴν τὴν πανσέληνον λέγουσιν ἢ τὴν νέαν, ἔστι δὲ θέσει αὕτη πάλιν εἰ ἀρχὴ μὲν τοῦ ἔτους ἀπὸ τροπῶν θερινῶν Ἀθηναίοις ὡς Σιμπλίκιος λέγει, θέροις δὲ περὶ τὸν Ἑκατομβαιῶνα περὶ τροπὰς [illegible] ὡς Ἀριστοτέλης, συμπέρασμα ὅτι ἀρχὴ τοῦ ἔτους ὁ Ἑκατομβαιών, τροπικὸς ὢν θερινός. ἀλλὰ μὴν καὶ ἑορτὴν Ἀθηναῖοι τότε ἦγον δημοτελῆ·

καὶ ἔθυον

καὶ ἔθυον μεγαλοπρεπῶς τῷ Ἡλίῳ· ὡς περὶ τροπὰς ὄντι. ὅθεν καὶ τοὔνομα τῷ μηνὶ, ἑκατομβαιὼν. Κρονίῳ πρότερον ὡς Πλούταρχός φησι καλουμένῳ. Κακῶς δὲ Πρόκλου σκευάζων, γελοίως τὰς Ἡσιόδου ἐξηγεῖται ἡμέρας, ἕτερον εἶναι μῆνα ἑκατομβαιῶνος τὸν κρόνιον ὑπολαμβάνων καὶ ξένον συντάττων ἀπὸ ἑκατομβαιῶνος, καὶ θαργηλιῶνα μὲν καὶ μεταγειτνιῶνα, μηδαμῶς ὀνομάζων ὑπὸ ἀμαθίας ληναιῶνα δὲ ὃν καὶ αὐτὸς ᾔδει ἰανουάριον ὄντα, καταλέγων ἐν τοῖς τῶν ἀθηναίων μησὶ καὶ δεύτερον τιθεὶς ἀπὸ ἑκατομβαιῶνος· ἑκατομβαιῶνα μὲν γὰρ εἶναι μετὰ σκιροφοριῶνα, διότι περὶ ἑκατομβαιῶνα τὰς θερινὰς εἶναι τροπὰς, φανερόν. δῆλον δὲ ἐνθένδε· μεταγειτνιῶνα δ᾽ ἑξῆς εἶναι, εἶτα βοηδρομιῶνα, δηλώσει μὲν καὶ τὰ Δημοσθένους ἄρτι εἰρημένα. ἐπιμαρτυρεῖ δὲ καὶ τὸ Θεοφράστου περὶ ἀστρῶν λεχθὲν πρότερον, μεταγειτνιῶνα ἐφεξῆς εἶναι ἑκατομβαιῶνι· τοῦ γὰρ χειμερινοῦ ἀρχὴν μετὰ τροπὰς θερινὰς τοῦ μεταγειτνιῶνος μηνὸς εἶναί φησιν· αἱ δὲ θεριναὶ τροπαὶ περὶ ἑκατομβαιῶνα ἦσαν. καὶ ἔτι τὸ Ἀριστοτέλους περὶ κυήσεως τῶν καράβων· μετὰ γὰρ ἑκατομβαιῶνα μεταγειτνιῶνα κατ᾽ ἀριθμὸν ἐφεξῆς. βοηδρομιῶνα δὲ ἔτι μετὰ γειτνιῶνι εἶναι, συλλογίσασθαι δεῖ καὶ ἐκ τοῦ ῥηθέντος Ἀριστοτέλει περὶ τόκου τῶν καράβων ὅτι· πρὸ ἀρκτούρου γάρ φησι τοὺς καράβους ἐκτίκτειν· κύουσι δὲ περὶ μῆνας τρεῖς· σκιροφοριῶνα, ἑκατομβαιῶνα· μεταγειτνιῶνα. ἀρκτοῦρος δὲ περὶ βοηδρομιῶνα ἐπιτέλλει. ὀχεύεσθαι γὰρ τὰς ἐλάφους φησὶ μετ᾽ ἀρκτοῦρον περὶ βοηδρομιῶνα· καὶ Θεόφραστος ὡραίαν εἶναι τὴν τοῦ καλάμου τομὴν, ὑπ᾽ ἀρκτούρῳ. βοηδρομιῶνος. καὶ Σουίδας δὲ δὴ ὁ λεξικὸς ὑγιῶς εἴρηκε τοῦτο. δεύτερον εἶναι ἀθηναίοις μῆνα τὸν μεταγειτνιῶνα, εἰπών. μετὰ δὲ βοηδρομιῶνα ἐφεξῆς μαιμακτηριών. δῆλον δὲ, Ἀριστοτέλης γὰρ ἐν ταῖς αὐταῖς περὶ ἐλάφων, τούτων ἑξῆς τι πάσχειν εἰπών· Ἡ δ᾽ ὀχεία γίνεται μετ᾽ ἀρκτοῦρον περὶ τὸν βοηδρομιῶνα καὶ μαιμακτηριῶνα. καὶ τῶν ζώων δὲ τὰ ἀσθενέστερα πρότερον ποιεῖσθαι τὴν μετάστασιν πρὸς

τὰς μεταβολὰς τῶν ὡρῶν ἐπιδεικνὺς, ὄρτυγας μὲν βοηδρομιῶ-
νος· γεράνοις δὲ μαιμακτηριῶνος μεταβάλλειν φησί καθά-
περ ἀμέλει δὴ καὶ ὁρῶμεν τὰς γεράνους τοῦ ἐπιόντος μηνὸς
μετὰ τοὺς ὄρτυγας ἀπαίρειν ἐκ τῶν ψυχρῶν τόπων, εἰς τοὺς ἀλει-
νούς. ἅμα δὲ δῆλον καὶ ἐκ τῶν μῆνα δεῖν τάξαι περὶ ὃν ἡ φθι-
νοπωρινὴ ἰσημερία. τέταρτον γὰρ ἀπὸ ἑκατομβαιῶνος, πε-
ρὶ ὃν ἡ θερινὴ ἦν τροπή. μαιμακτηριῶν δὲ περὶ ὃν ἡ ἰσημερία·
περὶ ἀρκτοῦρον γὰρ ἡ ἰσημερία. περὶ μαιμακτηριῶνα δὲ ὁ
ἀρκτοῦρος. τῶν δὲ θέσεων, τῇ μὲν αὐθέντης Θεόφραστος, ἀνθεῖν
ἱστορῶν τὴν κερωνίαν περὶ ἀρκτοῦρόν τε καὶ ἰσημερίαν. καὶ
προσέτι γαληνὸς ὁ ἰατρὸς, γράφων ἐν τοῖς περὶ ὑγιεινῶν λόγοις
„ὧδε. Ἔστι μὲν ὡραιότατον τῶν ἐλάτης τὸ σπέρμα περὶ τὴν ἐ-
„πιτολὴν τοῦ ἀρκτούρου· ὅστις καιρὸς ἐν ῥώμῃ ὁ καλούμενος μὲν
„σεπτέμβριός ἐστι. τῇ δ᾽ αὐθέντης Ἀριστοτέλης· μετ᾽ ἀρκτοῦρον γὰρ φη-
σι περὶ βοηδρομιῶνα, καὶ μαιμακτηριῶνα ὡς εἴρηται. ἢ οὐ τὸ πα-
ρεῖ γ᾽ ἂν σημαίνοι ὁ οὕτω φράζων· τοῦτο δὲ ἄρτιον· ἐπεὶ καὶ ἡ φύ-
σις πρὸς τὰς ὥρας ποιεῖται τὰς ὀχείας καὶ τοὺς τόκους τῶν ζώων.
καὶ ἤτοι ὅλῃ χρῆται τῇ ὥρᾳ ἢ τοῦ μετοπώρου μάλιστα τῆς αὐτῆς·
ἄλλως τε καὶ εἰ τῇ ἀρχῇ χρησαμένη ἤδη τυγχάνοι. σημεῖον δὲ οὐ
μικρὸν τὸ προσεχοῦς καὶ τὸ περὶ βοῶν οὕτω ἔχειν· ἄρχονται τῆς
ὀχείας αἱ βοῦς περὶ τὸν θαργηλιῶνα μῆνα καὶ τὸν σκιροφορι-
ῶνα. οὐ μὴν ἀλλ᾽ ἔνιαι καὶ μέχρι τοῦ μετοπώρου κυίσκονται.
τὸν γὰρ τῶν πλείστων χρόνον γνώσας περὶ τοὺς δύο μῆνας θαργηλι-
ῶνα καὶ σκιροφοριῶνα, διεστείλατο πρὸς τὸν τῶν ἐνίων, ὅλως τε ὅπου πο-
τ᾽ ἂν οὕτως τῷ μηνὶ δὴ συντάξας μηδὲν προσδιορίζων, τὸ ἐφεξῆς τοῦ χρόνου
λαμβάνειν. δῆλον οὖν ὅτι τὰ καθήκοντα μετιόντι· ἀλλὰ μὴν τῶν ἁλιέων ἀ-
στερίαν· ἄρχεσθαι μὲν ὀχεύεσθαι μηνὸς μαιμακτηριῶνος φησί, δὶς δὲ τοῦ
μηνὸς ἀποτίκτειν. ταῦτα δὲ συμβαίνειν εὐθὺς ἀπὸ ἰσημερίας φθι-
νοπωρινῆς οἱ περὶ ταῦτα ἁλιεῖς λέγουσιν. εἰκὸς δὲ καὶ τὸν λό-
γον· τῶν γὰρ ἰχθύων ὀλίγοι τίκτουσι μετοπώρου, ὡς καὶ Ἀριστοτέλης ἰ-
στορεῖ· οἷον σάλπη· σαργὸς· καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ νάρκη καὶ ῥί-

νη. μικρὸν πρὸ ἰσημερίας τῆς φθινοπωρινῆς. εἰ δὲ δὴ ἀστερίας μαι-
μακτηριῶνος τίκτει, εἰκὸς τὸν μῆνα τοῦτον μὴ εἶναι δεύτερον ἀπὸ
τῆς ἰσημερίας ἀλλὰ πρῶτον. καὶ περὶ ἰσημερίαν δὴ τίκτειν τὴν ἀστε-
ρίαν τῶν σελαχωδῶν ὄντα καὶ ὁμολογεῖ τὴν νάρκην καὶ ῥίνην. ἰσημερία μὲν
οὖν διὰ ταῦτα περὶ μαιμακτηριῶνα καὶ ἑξῆς ὁ δὲ βοηδρομιῶνί ἐστι.
Πυανεψιὼν δὲ, μετὰ μαιμακτηριῶνα αὖθις. τὸ δὲ πιστὸν καὶ παρὰ
Πλουτάρχου ληπτέον λέγοντος ἐν τῷ Θησέως βίῳ ἄγειν Ἀθηναίους
τὴν τῶν ὠσχοφορίων ἑορτὴν πυανεψιῶνος, Θησέως καταστήσαν-
τος. φέρειν τε τοὺς ὠσχοὺς ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆκε
Θησεὺς μετὰ τῶν ἠϊθέων ἐκ κρήτης, πυανεψιῶνος ὀγδόῃ ἱσταμένου.
δῆλον γὰρ ὅτι ἀμπελικῆς ὀπώρας ἡ κομιδὴ ἦν. ἡ δὲ ὀψιαιτέρα
μετ᾽ ἀρκτοῦρον, ἢ εἰς τρίτον μῆνα οὐκ ἂν γένοιτο περὶ ἀττικήν. τρί-
τος δὲ ἡμῖν πυανεψιὼν ἀπὸ βοηδρομιῶνος καὶ μετ᾽ ἀρκτοῦρον.
ἀλλὰ μὴν ὁ Θεόφραστος ἐν τοῖς αὐτοῖς περὶ φυτῶν ἱστορεῖ, κόμαρον
ἀνθεῖν πυανεψιῶνος. ὁρᾶται δὲ τοῦτο γινόμενον περὶ ἀττικὴν καὶ
τὰς ὁμοίας τὴν κρᾶσιν χώρας δευτέρῳ μηνὶ ἀπὸ ἰσημερίας φθι-
νοπωρινῆς. τρίτῳ δὲ ἀπανθεῖν καὶ τὸ μεμαίκυλον ἤδη ἀδρυνόμε-
νον ἔχειν. πυανεψιῶνος δὲ τὴν ἐν αἰγύπτῳ κοκκυμηλέαν ἀνθεῖν
φησί. τοῦτο δὲ περὶ δεύτερον γίνεσθαι μῆνα ἀπὸ ἰσημερίας αἰγύπτιοι
λέγουσι. Καὶ ἄλλως δὲ δόξειεν ἂν ἀμφισβητοῦντι μάλιστα τῶν
ἄλλων ἁπάντων μηνῶν ὁ πυανεψιὼν αὖθις εἶναι μετὰ βοηδρο-
μιῶνα, εἴ γε περὶ αὐτὸν ἡ κομιδὴ τῆς ὀπώρας ὡς Πλούταρχος ἔ-
φη. οὐκ ἔστι δὲ, μαιμακτηριῶνα γὰρ εἶναι ἀποδέδεικται δή. ὁ ἄρα μετ᾽ ἐκεῖ-
νον αὖθις, ὅδ᾽ οὐκ ἔστιν. ὕστερος δὲ ὢν κατὰ λόγον ὧδε ἡμῖν ἀνθεστηριών. ὧν γὰρ ὑπο-
λειπομένων τῶν λοιπῶν ἀπονεῖμαι χώραν δὴ ἀναγκαῖον. καὶ πίστις
ἱκανὴ, τέως γε τοῦτο ἂν εἴη. Ἅμα δὴ δῆλον καὶ ὅτι περὶ
ποσειδεῶνα αἱ χειμεριναὶ τροπαὶ, ἀκριβέστερον. ὅπερ κατ᾽ ἀρχὰς ἀ-
πελίπομεν τοῖς ὑστέροις. ἕβδομος γὰρ ὅδε ἀπὸ ἑκατομβαιῶνος
καὶ ἐκ τροπῶν θερινῶν. Φιλόστρατος δὲ πάμπολυ διέστηκε φά-
μενος Ἀθηναίοις νόμιμον εἶναι τοὺς παῖδας τριετεῖς γενομένους,
στεφανοῦσθαι τῶν ἀνθέων μηνὸς ἀνθεστηριῶνος. δῆλος γὰρ ἐστιν ἔαρι

νον τρίτον μῆνα ἑκατομβαιῶνος. εἰ μὲν οὖν οἱ ἐπ' αὐτοῦ Ἀθηναῖοι τὴν τῶν προγόνων περὶ τοὺς μῆνας σύνταξιν ὑπαλλάξαντες ἄλλως ἐχρῶντο, ἀληθὲς ἀπολείπει· πλὴν ἡμῖν, οὐχ ὅτι οἱ ἐπὶ Φιλοστράτου Ἀθηναῖοι ᾖσαν, ἐπιμελὲς εἰδέναι τι καὶ λαβεῖν· ἀλλ' ὅτι οἱ ἐπ' Ἀριστοτέλους καὶ Θεοφράστου. εἰ δὲ δὴ τὸ μὲν περὶ τοὺς παῖδας αὐτὸς λογοποιεῖ τε καὶ πλάττεται, ὡς καὶ ἄλλα πολλά, σοφιστὴς ὤν· τὸν δὲ μῆνα ἀπὸ τῶν ἀνθέων ἐτυμολογῶν ὑπείληφεν ἐαρινὸν εἶναι, ἔστω δὲ καὶ πολλῷ μᾶλλον εὐκαταφρονητότερα τὰ κατ' αὐτὸν γίνεται. οὐδὲ γὰρ δὴ τὰς τῶν ἐτυμολογίας πιθανωτέρας ἀπὸ τῶν ἕξεων τῶν ἀνθέων ἢ ἀπὸ τῶν στερήσεων φαίνοιτ' ἄν. ὅτι γὰρ στέρεσθαι ποτὲ ἀνθέων συμβαίνει τὴν ὥραν ἀνθεστηριῶνα τὸν τελευταῖον τῶν φθινοπωρινῶν μηνῶν ὀνομάζεσθαι φαίη μὲν ἂν ἡμεῖς ἔτι δέοι καὶ τοῖς ὀνόμασι κατακολουθεῖν:~

## ΤΟ ἙΦΕΞΗ͂Σ ΤΩ͂Ν ἈΤΤΙΚΩ͂Ν ΜΗΝΩ͂Ν·

Τὸ μὲν οὖν ἐφεξῆς τῶν ἀττικῶν μηνῶν τοῦτο ἡμῖν διὰ τὰς εἰρημένας αἰτίας ὑφηγείσθω·

| | | |
|---|---|---|
| Ἑκατομβαιών· | Μεταγειτνιών· | Βοηδρομιών· |
| Μαιμακτηριών· | Πυανεψιών· | Ἀνθεστηριών· |
| Ποσειδεών· | Γαμηλιών· | Ἐλαφηβολιών· |
| Μουνυχιών· | Θαργηλιών· | Σκιροφοριών:~ |

## ΑἼΤΙΟΝ ΤΗ͂Σ ΠΕΡῚ ΤΟΥ͂Σ ΜΗ͂ΝΑΣ ἈΓΝΟΊΑΣ·

Τῆς δὲ περὶ ταῦτα ἀγνοίας τοῖς πρὸ ἡμῶν, αἴτιον τὸ Ῥωμαίοις ἅμα καὶ διορθῶσαι τὰ περὶ τὸν ἐνιαυτόν, καὶ ἄρξαι ὥσπερ τῶν ἄλλων ἐθνῶν, καὶ τοῦ ἑλληνικοῦ· πρὸς γὰρ τὴν ἀρχὴν ἑτέρων, καὶ τὸ τῆς φωνῆς δὴ καθαρὸν τὸ ἑλληνικὸν ἀπολωλεκότες, πρὸς τὴν τῶν ἀρχόντων φωνὴν ἣ φιλεῖ γίνεσθαι ἐξίσταντο καὶ τῶν ῥωμαϊκῶν ὀνομάτων ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ταῖς τῶν μηνῶν προσηγορίαις τοῖς σφετέροις ἀναμιγνῦντες ἐχρῶντο· δεξάμενοί τε ἀποικίας ῥωμαίων αὐτοῖς τε ἄχρι καὶ νῦν ῥωμαῖοι ἀντὶ ἑλλήνων καλοῦνται· καὶ ὥσπερ οἰκείαις ταῖς τῶν ῥωμαίων ἀμφὶ τοὺς μῆνας χρῶνται ὀνομασίαις:~

# ΠΕΡῚ ἙΡΜΗΝΕΊΑΣ ΤΩ͂Ν ΜΗΝΩ͂Ν.

Ἑρμηνείας δὲ ἕνεκα πρὸς τοὺς τῶν ῥωμαίων μῆνας, εἰ λάβοι μὲν ἀρχὴν ὁμολογουμένην ἕνα τινὰ τῶν μηνῶν ὀνομάσειέ τις ὀρθῶς ὡς ἀθηναῖοι ἦγον, καὶ ὡς ῥωμαῖοι τὸν αὐτὸν προσαγορεύειν εἰώθασιν· ἔσται δὴ οὕτω καλῶς ἀποδεδομένον ὡς ἑκάστοις τι μεθερμηνευτέον, καὶ ὡς περὶ ἑκάστην δήπου τῶν ὡρῶν χρηστέον τοῖς ἀθηναίων ὀνόμασι τούτοις. περὶ γὰρ τάξεως τῶν ῥωμαϊκῶν γε ἀμφισβητεῖ οὐδεὶς εἰ πρῶτος ἰανουάριος· εἶτα φεβρουάριος· εἶτα μάρτιος, καὶ οἱ λοιποί· καθάπερ καὶ λέγονται ἐφεξῆς· εἰλήφθω δὴ οὖν τις τῶν προτέρων, ἔστω δ' εἰ δοκεῖ, ἑκατομβαιών. Εἰ τοίνυν περὶ ἑκατομβαιῶνα αἱ θεριναὶ τροπαὶ ἀθηναίοις, δῆλον ὅτι περὶ ὃν ἂν ποιῶσι ῥωμαίοις τῶν οἰκείων μηνῶν, αἱ αὐταὶ τροπαί, οὗτός ἐστιν ἑκατομβαιών. λέγω δὲ κατὰ τὴν ἀναλογίαν ὥσπερ σημεῖον καὶ ἀκανθεῖν, καὶ ὁσονοῦν· ἀνάλογον γὰρ καὶ πάντα ἁπλῶς ἑρμηνεύειν δεῖ· μὴ ὅτι τοὺς μῆνας, εἰ μέλλοι τι ὄφελος εἶναι τῆς ἑρμηνείας. περὶ ἰούνιον δὲ ῥωμαίοις ἀεὶ αἱ θεριναὶ τροπαὶ ὡς ἴσασι πάντες· ὁ ἄρα ἰούνιός ἐστιν ἑκατομβαιών. θεμένοις δὲ δὴ ἰούνιον εἶναι τὸν ἑκατομβαιῶνα ἔργον οὐδὲν τῶν ἄλλων ἕκαστον ἑρμηνεῦσαι. ὁ γὰρ ἀεὶ ἐπιὼν τῶν ἀττικῶν, κατὰ τὴν ὑποτεθεῖσαν σύνταξιν, τῷ ἀεὶ ἐπιόντι τῶν ῥωμαϊκῶν ἐφαρμόττων, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ συμφωνῶν ὑπάρξει.

Ἀπορήσειε δ' ἄν τις, εἰ τοὺς χρόνους ἀθηναῖοι ἦγον κατὰ τὴν σελήνης φοράν· Ῥωμαῖοι δὲ κατὰ τὴν ἡλίου λογίζονται, πῶς ἂν οἱ τῶν ἀθηναίων ἐφαρμόζοιεν τοῖς τῶν ῥωμαίων μησὶν, ὥστε καὶ ἀπαρτίζειν αἰεὶ καὶ ἰούνιον μὲν τὸν ἑκατομβαιῶνα· ἰούλιον δὲ, τὸν μεταγειτνιῶνα ἑρμηνεύειν ὀρθῶς· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οὐ γὰρ ἰσοταχὴς ἡ σελήνη τῷ ἡλίῳ· οὐδ' ἅμα τελευτῶσι καὶ ἄρχονται ὡς εἰπεῖν περὶ τὸν τοῦ ζωδιακοῦ μερισμόν· ἀνάγκη δὴ ἐπαμφοτερίζειν τοὺς τῶν ἀθηναίων μῆνας. εἰ δὲ δὴ ἕκαστος ἐπαμφοτερίζων ἀμφοῖν ἐπιλήψεται τοῦ τε προτέρου οὓς ῥωμαῖοι ἄγουσι, καὶ τοῦ ὑστέρου μηνός, τί μᾶλλον ἀπὸ τοῦ προτέρου μεθερμηνευόμενος ὀνομάζοιτο ἂν

καλῶς, ἢ ἀπὸ τοῦ ὑστέρου. οὗ δὴ πρόσθεν καὶ Γαληνὸς περὶ τοῦ
„ τῆς ἐλάτης σπέρματος γράφων· ὅστις καιρός φησιν ἐν ᾧ ἐν ῥώ-
„ μῃ μὲν ὁ καλούμενος μὴν σεπτέμβριός ἐστιν· ἐν περγάμῳ δὲ παρ' ἡ-
„ μῖν ὑπερβερεταῖος· ἀθήνησι δὲ μυστήρια.
Τὰ γὰρ τοι μυστήρια βοηδρομιῶνος ἦν· περὶ εἰκάδα γὰρ τοῦ βοηδρο-
μιῶνος ὁ μυστικὸς ἴακχος ἐξήγετο· ὡς καὶ πλούταρχος ἱστορεῖ.
Ἔοικε δὲ καὶ ὁ Ῥωμαῖος Πλίνιος παντοδαπῆς ἱστορίας συγγραφεὺς
οὕτω μεταφέρων Ἀριστοτέλους τὸ περὶ τόκου τῶν ἰχθύων, ὡς οἱ πλεῖ-
στοι τίκτουσιν ἐν τρισὶ μησὶ· μουνυχιῶνι· θαργηλιῶνι· σκιροφοριῶνι.
φαίνεται ἐν τρισὶν· Ἀπρίλι· Μαΐῳ· Ἰουνίῳ, τίκτειν τοὺς πλείστους.
Ἔτι τοῦ ἐνιαυτοῦ ὡς μὲν Ῥωμαῖοι λέγουσι, τριακόσιαι καὶ ἑξήκον-
τα καὶ πέντε ἡμέραι εἰσὶν· ἀκριβολογεῖσθαι δὲ εἰς τὸ παρὸν οὐδέν.
ὡς δὲ ἀθηναῖοι κατὰ μὲν Ἀριστοτέλη, τριακόσιαι καὶ ἑξήκοντα.
„ ἔνιαι δὲ φησὶ κύουσι τῶν κυνῶν πέμπτον μέρος τοῦ ἐνιαυτοῦ· τοῦ-
το δέ ἐστιν ἡμέρας ἑβδομήκοντα καὶ δύο. καθ' Ἡρόδοτον δὲ καὶ ἄλ-
λους, τριακόσιαι πεντήκοντα τέσσαρες· ὡς τοσούτων δὴ γινομέ-
νων, εἰ τῶν μηνῶν οἱ μὲν πλήρεις τε καὶ τριακονθήμεροι· οἱ δὲ κοῖ-
λοι τε καὶ μιᾷ τῶν ἑτέρων ἡμέρᾳ λειπόμενοι, ἐναλλὰξ εἶεν παρ' ἕ-
να. ὁποτέρως δ' ἂν ἔχῃ, τὸ ἴσον δὴ ἔτος ἀεὶ προτερήσει καὶ ἐκ προ-
σαγωγῆς, εἰς ἐναντίας ὥρας ἐκπεσοῦνται οἱ μῆνες ὑποφερόμενοι.
Πάλιν εἰς τὸ ἴλιον ἥλω τελευτῶντος τοῦ ἔαρος ὀγδόῃ φθίνοντος
θαργηλιῶνος μηνὸς· ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θε-
ρινῆς τροπῆς ὡς ὁ ἁλικαρνασσεὺς Διονύσιος ἀρχαιολογῶν τὰ
ῥωμαϊκά φησι. πῇ τροπικὸς θερινὸς ὁ ἑκατομβαιών· ὁ δ' αὐτὸς λόγος
ἀποφαίνει σκιροφοριῶνα εἶναι τροπικὸν θερινόν· ὁμόλογον δὲ
καὶ τὸ Θεοφράστου· ὅτι ἄκρου ἔαρος εὐθὺς, ἱσταμένου τοῦ θαργη-
λιῶνος· εἰ γὰρ ἄκρον ἔαρ ὁ θαργηλιών, οὐκ ἂν τροπικὸς ὁ ἑκατομ-
βαιὼν εἴη· πολὺ δῆλον ὁ μουνυχιὼν ἐαρινός τε καὶ ἰσημερινός.
Ἔοικε δὲ ἐμφαίνειν καὶ τὸ τοῦ Πλουτάρχου· συγκομιζομένης τῆς ὀπώ-
ρας πυανεψιῶνος οὐδὲν ἱσταμένου· δοκεῖ γὰρ ὁ πυανεψιὼν μᾶλ-
λον εἶναι ἰσημερινὸς φθινοπωρινός, ἢ ὁ μαιμακτηριών· εἴγε ἀμ-

πολιτικῆς ὁ πόρος εἰκὸς μὲν δὴ τοῦ ἦν. λῦσαι δὲ δεῖ τὰ ἀπορούμενα ταῦτα, ἵνα τις σκέψις γίνηται κατὰ τρόπον, ἀπὸ πιστοῦ μᾶλλον ἔχειν τὰ εἰρημένα. Τοῖς μὲν οὖν πάνυ ἀρχαίοις ἀλογίστως τε καὶ ἀτάκτως κεχρῆσθαι τοῖς μησὶ, καὶ ἄλλοις ἄλλως τὸν ἐνιαυτὸν ὡρικέναι παρά τε ἄλλων καὶ Πλουτάρχου ἀνδρὸς πολυμαθεστάτου πυθέσθαι ἔξεστιν. ἔνιοι γοῦν τῶν βαρβάρων τρισὶν ἐχρῶντο μησὶν εἰς τὸν ἐνιαυτόν· καὶ τῶν ἑλλήνων ἀρκάδες μὲν τέτταρσιν· ἀκαρνᾶνες δὲ ἕξ. αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτός. εἶτα τετράμηνος, ὥς φασι. διὸ καὶ ἀρχαιότατοι εἶναι δοκοῦσι, πλῆθος ἐτῶν καταριθμοῦντες σφίσιν ἀμήχανον, ἅτε δὴ τοὺς μῆνας τιθέμενοι εἰς ἐτῶν ἀριθμόν. καὶ Ῥωμαῖοι δὲ πρότερον, δεκάμηνον ἦγον τὸν ἐνιαυτόν· καὶ τῶν μηνῶν τοὺς μὲν οὐδὲ εἴκοσιν ἡμερῶν· τοὺς δὲ πέντε καὶ τριάκοντα, τοὺς δὲ καὶ πλειόνων· ἐκεῖνο τε μόνον ἐσκόπουν, ὅπως ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται· ἔννοιαν δὲ τῆς γινομένης περὶ τὴν σελήνην καὶ τὸν ἥλιον ἀνωμαλίας, οὐκ εἶχον. ὕστερον δὲ Νομᾶς πομπίλιος βασιλεύων, λέγεται δύο τε προσθεῖναι μῆνας καὶ τὸ παράλλαγμα τῆς ἀνωμαλίας ἡμερῶν ἕνδεκα γίνεσθαι λογιζόμενος, ὡς τοῦ μὲν σεληνιακοῦ ἔτους τριακοσίας πεντήκοντα τέσσαρας ἔχοντος ἡμέρας· τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξήκοντα πέντε, τὰς ἕνδεκα ταύτας διπλασιάσας, ἐπάγειν παρ' ἐνιαυτὸν ἐπὶ τῷ Φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον· εἴκοσι καὶ δυοῖν ἡμερῶν ὄντα.

Εἰκὸς δὲ κἀκεῖνον ταῦτα πρὸς ὁμοίαν τινὰ ἀθηναίων χρῆσιν πεποιηκέναι. Σόλωνα γὰρ πρῶτον ἀθήνησι τὴν περὶ τοὺς μῆνας ἀνωμαλίαν συνιδεῖν φασι· καὶ τὴν μὲν ἡμέραν καθ' ἣν ἡ σελήνη καταλαμβάνει τε καὶ παρέρχεται τὸν ἥλιον, ἕνην καὶ νέαν καλεῖσθαι· τὴν δὲ ἐφεξῆς, νουμηνίαν προσαγορεῦσαι. ἄχρι τε τριακάδος τὸν μῆνα ἠριθμηκέναι· καὶ ὅλως ἐπὶ τὸ βέλτιον διαθέσθαι τὰ περὶ τὸν ἐνιαυτόν. Χρῆσιν δὲ ἐμβολίμου μηνὸς καὶ ἕλλησιν ἀνέκαθεν εἶναι δηλοῖ καὶ Ἡρόδοτος λέγων· Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν· αἰγύπτιοι δὲ τριηκοντημέρους ἄγοντες τοὺς

„δώδεκα μῆνας, ἐπάγουσιν ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας, πα-
„ρὲξ τοῦ ἀριθμοῦ· καί σφιν ὁ κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιιὼν
„παραγίνεται. Εἰ δὲ Νουμᾶς μὲν εἴκοσι καὶ δυοῖν ἡμερῶν τὸν ἐμβόλιμον ἐπάξειν· Ἡρόδοτος δὲ τριακονθήμερον καταριθμεῖ, οὐδέν ἐστι πρὸς τὸν νῦν λόγον. ἐλλ' ἐκεῖνο δῆλον κἀκ τούτων ὡς Ἀθηναῖοι χρώμενοι ἐμβολίμῳ προσανεπλήρουν τὸ ἐλλεῖπον πρὸς τὴν ἀληθῆ περίοδον τοῦ ἡλίου τῶν ὡρῶν ἕνεκα.

## ΠΕΡΙ ἘΝΙΑΥΤΟΥ

Δυσχερὲς οὖν ἐθεώρουν τὸν ἐνιαυτόν. οἷον τὸν μὲν, ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ὁριζόμενον τοῦ ἡλίου διὰ τὴν εἰς τοσαύτας μοίρας κατατομὴν τοῦ κύκλου. Θάτερον δὲ ἡμέρας πέμπτον. Ἀριστοτέλης εἶναί φησιν, ἡμέρας ἑβδομήκοντα καὶ δύο· τὸν δὲ τέτταρσι καὶ πεντήκοντα καὶ τριακοσίαις, τῆς σελήνης. ἀνεκάλουν δὲ καὶ τοὺς μῆνας ἦγον· τοὺς μὲν κατὰ τὸν ἥλιον· τοὺς δὲ κατὰ τὴν σελήνην. ἐπέβαλλόν τε τοῖς μὲν τριάκοντα ἡμέρας· τοῖς δὲ πέντε· καὶ ἔτι που πλείους διὰ τὸ τέταρτον τοῦ ἐνιαυτοῦ. τὰ δὲ ἐμβαλλόμενα ἦν διαλείπουσα μὲν οὐ συνεχῶς. ἑκάστῃ μέντοι εἰς τὸ αὐτὸ ἄρτι καθεστάναι καὶ εὑρεῖν ἐν γένει τοῖς ὅροις τρισμυρίοις μῆνα ἑπταμηνιαῖον μηδὲ μιᾶς ἐτύγχανεν ὥς καὶ Πλούταρχος λέγει, μειζόνων ἰαμάτων δεήσεσθαι μέλλον. Καῖσαρ οὖν ὁ πρῶτος μοναρχήσας Ῥωμαίων, ταῖς ἀρίσταις τῶν μαθηματικῶν προβλήμασι περὶ τούτου προθεὶς ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἰδίαν τινὰ καὶ διηκριβωμένην μεταβολὴν ἐπανόρθωσιν ἔμιξε. δοκοῦσι δὲ Αἰγύπτιοι πρῶτοι μησὶ χρήσασθαι καθ' ἥλιον ἑξήκοντα καὶ ἡμέραις δώδεκα· καὶ πέντε ἡμέρας ἐπαγαγεῖν κατ' ἐνιαυτὸν ἕκαστον, τό τε ἐπιτρέχον μόριον τῆς ἡμέρας εἰς ἐκπλήρωσιν ὁλοκλήρου ἐνιαυτοῦ, ἐκ περιόδων τεττάρων ἐτῶν ἀναλαβόντες συνθεῖναι μίαν ἡμέραν. Ἕλληνες δὲ παρ' ἐκείνων ἄλλα τε πλείω τῶν οὐρανίων θεωρημάτων καὶ ταῦτα παρέλαβον. τὰ μὲν μεθερμηνευθέντων εἰς τὸ ἑλληνικὸν τῶν ὑπομνημάτων. τὰ δὲ καὶ συνδιατρίψαντες τοῖς ἐκεῖ ἱερεῦσι περιττοῖς οὖσι τὴν τῶν οὐρανίων ἐπιστήμην. Πλάτωνα γοῦν φασί τινες καὶ Εὔδοξον ἀποδημήσαντας εἰς Αἴγυπτον

ὁμιλῆσαι τοῖς

ὁμιλῆσαι τοῖς ἱερεῦσι τῶν ἑκκαίδεκα ἔτη. μυστικοὺς γὰρ ὄντας καὶ
δυσμεταδότους, ἔδει τῷ χρόνῳ ἐν ταῖς θεραπείαις ἐκλιπαρῆσαι
ὥστε τινὰ τῶν θεωρημάτων ἱστορῆσαι. ταῦτα μὲν οὕτω διαι-
ρεῖν ἴσως οὐ χεῖρον. τό τε διηπορημένον φανεὶς ὁ ἐμβόλιμος λύει.
καὶ ἔτι διὰ πλείονος ἔτι χρόνου παραλλάττοι, εἰκὸς καὶ τοὺς πα-
λαιοὺς συνορῶντας καὶ τοῦτο δήπου ἐπανορθοῦσθαι. ὅτε μὲν μακρό-
τερον· ὅτε δὲ βραχύτερον τὸν ἐμβόλιμον ποιουμένους. τὸ δὲ ἀκρι-
βέστατον καὶ μὴ ἢ παρ᾽ ὀλίγον τι πλημμελεῖν, οὐκ ἐπιζητεῖν δεῖ. ὁ-
πότε καὶ νῦν ἐπίδοσιν τῆς ἀστρολογίας τοσαύτην λαβούσης, ὁμῶς
ἡ περὶ κινήσεως ἀνωμαλία διαφεύγει τὸν λόγον, περιγινομέ-
νη περὶ τῆς μαθηματικῆς ἐμπειρίας. Τὰς μέντοι τῶν μη-
νῶν περιόδους ὁμολογεῖν ταῖς ὥραις ἀεὶ ποιεῖ ὁ ἐμβόλιμος διὰ τρί-
του ἀεὶ ἐπαγόμενος τῶν ἐτῶν. Τὸ δὲ πρὶν ἐμβολάσαι, καὶ πε-
ρὶ τὸ ἐμβολάζον αὐτὸ ἔτος ὑπενεχθέντι καὶ ἐπαλλάξαι τῶν μηνῶν,
ἔτι δεῖται λόγου. πῶς ἂν ἑρμηνευόμενον τυγχάνοι τοῦ ἱκανοῦ.
Δῆλον γὰρ ὅτι τὸ ἐμβολάζον, συχνὰ παρ᾽ ἕκαστον ἐξάγει τοὺς μῆνας
ἀνομολόγους ταῖς ὥραις. διὸ καὶ θεόφραστος, ἔαρος εὐθὺς ἱσταμέ-
νου τοῦ θαργηλιῶνός φησιν, ὡς τοῦ μουνυχιῶνος χειμερινοῦ δὴ γι-
νομένου. τοῦ δὲ ἐμβολίμου, θερινοῦ τοῦ τροπικοῦ. ἢ καὶ περιστήσαντες τὴν
τροπὴν εἰς ἱστάμενον τὸν ἑκατομβαιῶνα. τοῦτο μὲν οὖν μὴ συμ-
βαίνειν, οὐ χεῖρον ἴσως. διὰ γὰρ τοῦτο καὶ ὁ ἐμβόλιμος ἐπετέθη, ἅμα
πληροῦν τὸ ἐνδέον καὶ εἰς ἑκατομβαιῶνα τὰς τροπὰς ἀποκαθι-
στάς. τὴν δὲ ἑρμηνείαν ποιητέον ἐπὶ τῶν οὕτω χρονολογούντων, στοι-
χείῳ χρωμένους τῷ παρόντι ἀεὶ τῷ τροπικῷ μηνὶ καὶ τῷ ἑξῆς τῶν μη-
νῶν κατὰ τὰ ὑποτιθέντα. οἷον ἐπειδὴ θεόφραστος ἄκρου ἔαρος εὐ-
θὺς ἱσταμένου τοῦ θαργηλιῶνός φησι, μεθερμηνευτέον μαρτίου
καὶ μὴ ἀπριλίου. Πάλιν ἐπειδὴ θουκυδίδης ἐλαφηβολιῶνα,
τελευταῖον μῆνα τῶν χειμερινῶν εἶναί φησι, τοῦτον μὲν φεβρουά-
ριον ἑρμηνευτέον. τὸν δὲ ἀπιόντα μουνυχιῶνα θετέον ἔαρος εἶναι ἀρ-
χὴν, καὶ μάρτιον μεταφραστέον λατίνοις. ὥστε δὴ καὶ συμβαίνει
δύο ἰσημερινοὺς εἶναι ἐαρινούς. μουνυχιῶνά τε καὶ θαργηλιῶνα. καὶ

b

φθινοπωρινοὺς δύο Μαιμακτηριῶνα καὶ Βοηδρομιῶνα, ὡς δ' αὔτως καὶ τροπικοὺς δύο θερινούς· ἑκατομβαιῶνα καὶ τὸν ἐμβόλιμον· καὶ χειμερινούς· Ποσειδεῶνα καὶ Γαμηλιῶνα, διόπερ Ἀριστοτέλης, ἢ ὁ ἄλλος τις φησὶ τίθεται ὅλον τὸν ἐνιαυτὸν ἔξω δύο μηνῶν τῶν ἐν τῷ χειμῶνι προστιθέν. καὶ τὸ ἐν τοῖς μετεωρολογικοῖς· ὅτι ἐγένετο κομήτης ἀστὴρ πρὸς ἄρκτον μηνὸς Γαμηλιῶνος περὶ τροπὰς ὄντος τοῦ ἡλίου χειμερινάς. καὶ ἀνθεστηριῶνος δὲ ἅμα ταῦτα ποτὲ ἡ τροπή, λέγονται. ἀλλ' οἵ γε ὀνομαζόμενοι τροπικοὶ χειμερινοί, δύο οἱ εἰρημένοι εἰσίν. ἁπλῶς μέντοι θέρους ἀρχὴν ὑποληπτέον εἶναι τὸν ἑκατομβαιῶνα· καὶ τροπικὸν θερινόν. ἀνάλογον δὲ καὶ τοὺς ἄλλους. δεῖ γὰρ μὴ τὸ συμβαῖνον, ἀλλὰ τὸ σκοπούμενον λαμβάνειν τῷ λόγῳ. εἴρηται γοῦν καὶ ἐν τοῖς φυσικοῖς τῶν λόγων, ὡς δεῖ ἕκαστον λέγειν τοῦτο εἶναι ὃ φύσει βούλεται εἶναι καὶ ὃ ὑπάρχει· ἀλλὰ μὴ ὃ βίᾳ τι παρὰ φύσιν. Διονύσιος γὰρ παρ' Ἐφόρου εἰληφὼς λέγει, Θαργηλιῶνος ἁλῶναι τὸ Ἴλιον. Πλούταρχος γοῦν ἐν τῷ Φουρίου Καμίλλου βίῳ, Ἔφορον διαγεγραφέναι τοῦτό φησιν· οὐ μὴν δὲ καὶ πρότερον ἑπτακαίδεκα ἡμέραις τῆς θερινῆς τροπῆς λέγει. ἀλλ' οὖν Θαργηλιῶνος κἀκεῖνός φησιν.

Εἰ μὲν οὖν Ἔφορος Σκιροφοριῶνος φάναι βουλόμενος εἶπε μὲν τοὺς ὢν αὐτοῦ Θαργηλιῶνος· ὥσπερ ἐν ἄλλοις αὖ ἀντὶ Ἰβηρίας τῆς κατὰ τὴν Εὐρώπην μεγίστης χώρας, πόλιν εἶναί τινα τὴν Ἰβηρίαν φησίν, ἀγαπάτω μηδὲν ἐπιτιμώμενος· σχήσει ἐπιτιμήσεως, καὶ ταύτης οὐ μικρὰν δεδωκώς. εἰ δὲ γραφεύς τις τῶν φαύλων γραφὰς διήμαρτεν ἀντὶ σκιροφοριῶνος θαργηλιῶνος μεταβαλών, καθάπερ καὶ ἐπ' ἄλλων συμβαίνει, καὶ μάλιστα ἐπὶ τῶν εἰς πρᾶσιν γραφομένων τοῖς βιβλιοπώλαις· χρῶνται γὰρ φαύλοις καὶ τοῖς τυχοῦσι γραφεῦσιν, Ἔφορος μὲν ἀναίτιος ὡς ἂν εἴη· αἰτιάσαιτο δ' ἄν τις τοὺς μὴ ἐπανορθώσαντας τὴν γραφήν, ἀλλ' ἀνεπισκέπτως εἰρηκότας Θαργηλιῶνος ἑπτακαίδεκα ἡμέραις πρὸ τῆς θερινῆς τροπῆς. φησὶ δὲ καὶ ὡς αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον ἐκπληροῦσαι περιτταὶ ἡμέραι, εἴκοσι τὸν ἀριθμὸν ἦσαν μετὰ τὰς θερινὰς τροπάς. τὸ δὲ σύν

τακτοι παρ-

τακτῶν παντελῶς καὶ μαχόμενοι, εἰ ὡς ἀθηναῖοι ἦγον ποιεῖται
τὸν λόγον· εἰ γὰρ πέντε καὶ εἴκοσι μετὰ τὰς τροπὰς, δῆλον ὅτι ἡ τρο
πὴ ἦν τῷ οἱ χειμερινῷ ἔτει ἕνῃ καὶ νέᾳ τοῦ ποσειδεῶνος μὲν ὡς ἐκεῖνοι
λέγει· Σκιροφοριῶνος δὲ, ὡς ἡμεῖς· διαφερέτω δὲ μηδὲν πρός γε τὸ
νῦν· ἀλλ᾽ ἔστω Θαργηλιῶνος αὐτῇ· οὐκοῦν τῷ ἐπιόντι ἐνιαυτῷ ἡ τρο
πὴ ἔσται, Σκιροφοριῶνος νουμηνίᾳ· ἦν δὲ ἐν τῷ ἐνάτῃ ἱσταμένου· εἰ δὲ
ὀγδόῃ φθίνοντος τοῦ Θαργηλιῶνος ἑάλω τὸ ἴλιον, ἑπτακαίδεκα
πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς· δῆλον ὅτι ἐνάτῃ ἱσταμέ-
νου τοῦ ἐπιόντος μηνὸς ἦν ἡ τροπή· εἰ δὲ ἡ τροπὴ ἐνάτῃ ἱσταμέ
νου, τρεῖς εἶναι τὰς πέντε καὶ ἀναγκαῖον· φανερὰ δὲ μᾶλλον ταῦθ᾽ ὕ
στερον ἔσται ἐπειδὰν περὶ χρήσεως ἐμβολίμου μηνὸς λέγωμεν· εἴ-
τ᾽ οὖν ἐφόρου ἁμάρτημα τοῦτ᾽ ἐστὶν, εἴτε γραφέως καὶ τοῦτο, εἰς
κοινὸν ἐκκείσθω σκοπεῖν· ἀπαρτίζειν δὲ ἀεὶ τοὺς τῶν ἀθηναίων
μῆνας τοῖς τῶν ῥωμαίων, δῆλον ὅτι οὐκ ἀρέσκει· ἐπαμφοτερίζειν
δέ τι συμβαίνει· οἷον φέρε εἰπεῖν ἑκατομβαιὼν τὸ μὲν ἰουνίου ἐπι
λαμβάνει· τὸ δὲ ἰουλίου· καὶ μεταγειτνιὼν τὸ μὲν ἰουλίου, τὸ δὲ αὐ-
γούστου· καὶ Βοηδρομιὼν τὸ μὲν αὐγούστου, τὸ δὲ Σεπτέμβριος·
ὡσαύτως δὲ καὶ οἱ λοιποὶ πάντες ἀμφιλαφεῖς εἰσι τὰ πολλά·
ἐπεὶ ἐνίοτέ γε, καὶ ἰσάζειν συμβαίνει· οἷον ἐπὶ τῆς συμβεβηκυίας νου
μηνίας ἅμα Ἀπριλίου μηνὸς ἡλιακοῦ, καὶ σελήνης ἄρτι. Ἑρμηνεύ
ειν μέντοι ἁπλῶς χείρων, ἀπὸ τοῦ προτέρου, οἷον αὔγουστον τὸν βο
ηδρομιῶνα· ἀλλὰ μὴ Σεπτέμβριον, ἵνα θερινὸς ᾖ· τρίτος γὰρ ἀπὸ ἑ
κατομβαιῶνος· τροπικὸς δὲ θερινὸς ὁ ἑκατομβαιὼν, ὡς δεδειγ-
μένον ἐστί. Γαληνῷ δὲ διέφθειρεν οὐδὲν πρόσεστι τὸ περὶ λάλις σπέρ
μα καὶ τὴν ἀνάθεσιν τοῦ ἀκόπου, εἰπεῖν ἀπὸ τοῦ ἐπομένου Σεπτέμ-
βρεις, εἰπεῖν ἀπὸ τοῦ ἡγουμένου αὔγουστος ἑρμηνεύοιτο ὁ τῶν μυστηρί
ων· ἀλλ᾽ ὥστε καὶ τῆς ἰσημερινῆς τε καὶ τροπῶν περὶ εἰκοστὴν τε-
τάρτην τοῦ μηνὸς ἡμέραν ὡς ῥωμαῖοι ἄγουσι λαμβανομένων
τοῖς γέ τι οὖσιν ἀνθρώποις· καὶ προσέτι ἰσημερινοῦ γινομένου περὶ τὰ
ϛ τοῦ βοηδρομιῶνος· ἐπειδὰν πλεῖστος ὦσιν αἱ μετὰ τὴν τροπὴν
πέντε καὶ ἡμέραι· ὅθεν δὴ καὶ Ἀριστοτέλης μετέφερε τοῦτον περὶ βοηδρο

b ii

μιῶν, ἀφῇσιν, ὥσπερ αὖ ἡ μία πάλιν περὶ λήγοντά που τὸν ἑκατομβαιῶνα περὶ τὸ ξ' ὅτε τῆς γινομένης, συμβαίνει ξυνιέναι τὰς ἀμπέλους περὶ ἰσημερίαν τὴν πυανεψιῶνα καθὰ πλείστους ἐπισημαίνει συμβῆναι, ὅτι θεσμὸς ἐπαρήκειν ἐκκρίτης. ἡ ἰσημερία μέντοι περὶ λήγοντά που τὸν μαιμακτηριῶνα ὑπάρχει. Πλείονος δ' ὁ ἐντεῦθεν μὴ ὡς Ἀριστοτέλης λέξιν μεταφέροντα ὃ δὴ ἐκεῖ εἴρηται τὸν λόγον· ἀλλ' ἰδίαν αὐτοῦ δόξαν περὶ τούτου τὴν ἰσχύουσαν ἀποφαινόμενον. θαυμάσοντι οὐδὲν εἰ καὶ ταῖς χώραις διαφορὰ περὶ τὰς γενέσεις ἐστίν· ἀλλὰ δῆλον ὅτι καὶ τῶν ζώων, ὥσπερ τῶν φυτῶν πολλὴν ποιοῦσι διαφορὰν οἱ τόποι· οὐ μόνον κατὰ μέγεθος ἢ εὐτροφίαν, ἀλλὰ καὶ κατὰ τοὺς τόκους· τὰ μὲν ὀψιαίτερον γεννᾶν· τὰ δὲ πρωϊαίτερον. ὧδε μὲν τοίνυν ἁπλῶς τε καὶ περὶ ἑρμηνευόντων, εἰ καλῶς διαμαρτάνοι μετὰ τῶν ἱκανῶν.

## ΠΕΡΙ ΧΡΗΣΕΩΣ ΤΩΝ ΜΗΝΩΝ

Ἐπεὶ δ' ἔστι μὲν χρῆσθαι μησὶ ἢ κατὰ τὴν ἡλίου περιφορὰν ὡς ῥωμαῖοι ἄγουσιν· ἔστι δὲ ἢ κατὰ τὴν περὶ σελήνης ὡς ἀθηναῖοι ἦγον, πρότερον ἀθηναίοις ἑπόμενοι χρησόμεθα ἢ ῥωμαίοις, κατονομάζοντες μὲν ὡς ἀθηναῖοι· τὴν δὲ τοῦ ἐνιαυτοῦ εἰς μῆνας διαίρεσιν κατὰ ταὐτὰ ῥωμαίοις τιθέντες. Πλήθων μὲν φησὶν ὅτι κατὰ φύσιν δὴ ἄγοιτ' ἄν, ἔτος μὲν κατὰ τὸν ἥλιον, μῆνα δὲ κατὰ τὴν σελήνην· διότι δέ, οὐ λέγει· ἄλλοι δέ τινες καὶ αἰτίαν ἀποδιδόντες, πάντα πρὸς τῶν ὁμοίων κοσμεῖσθαι τὰ τῇδέ φασι, καὶ μεγάλα εἶναι τὰ περὶ σελήνης ἔργα· ἀγνοεῖσθαι γὰρ σαφῶς τὰ ἐπίγεια παρ' αὐτοῦ ἐκείνης· τοῦτο μὲν οὖν εὖ λέγεται· σημεῖον δ' οὐδέν ἐστι τοῦ χρῆναι ἄγειν κατὰ σελήνην, καὶ μὴ καθ' ἥλιον τοὺς μῆνας· συνεχῆ μὲν γὰρ πως τὰ τῇδε ταῖς ἄνω φοραῖς εἶναι φαμὲν καὶ ἡμεῖς· ἢ πᾶσαν αὐτῶν τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν· καὶ τὸ μὲν καλῶς, ἅπερ ὅσον ἄριστον ἐνθάδε καλόν ἢ τὸ τεταγμένον, ἄνωθεν ἰδίᾳ γίνεσθαι φύσει· τὸ δ' ἀτακτότερον καὶ πεπλανημένον ὑπὲρ χεῖρα ἐντεῦθεν ὕλης· ἴσως δ' ἂν παρὰ πάντα ἀγνοοῖεν τὴν σελήνην πλήρη τε οὖσαν καὶ διχότομον ἢ ἀμφίκυρτον ἢ μηνοειδῆ· κρίνεσθαί τε τὸ περιέχον ἢ μεταβάλλειν τὰ τῇδε κατὰ διαμέτρους καὶ τετραγώνους καὶ ὅλως ποιάς τινας στάσεις αὐτῆς· οὐ μὴν δ' ἂν καὶ εὔλογοι διὰ ταῦτα ἰ-

δόντες διαιρεῖν

ὥστε διαιρεῖν τὸν τοῦ ἡλίου ἐνιαυτὸν εἰς μῆνας καὶ χρῆσθαι, ἕτερος ἔστιν εἰπεῖν ἐπὶ τὴν σελήνην τὸ εἰκότως εἶναι διΐστασθαι. οὐ δὲ δὴ κατὰ φύσιν τὸ μὲν ὅλον προσήκειν τῷ ἡλίῳ, τὰ δὲ μέρη ἑτέρῳ τῷ μᾶλλον ἐπιβάλλειν ἢ τῷ ἡλίῳ. μέρη γὰρ τοῦ ὅλου ἐνιαυτοῦ οἱ καλούμενοι μῆνες ἢ ὅτι δή ποτε καλεῖν φίλον τὸν εἰς δώδεκα μερισμὸν τῆς τοῦ ἡλίου περιφορᾶς. τὸ δὲ τοῦ ὅλου ποιητικὸν καὶ τῶν μερῶν ταὐτὸ ποιητικὸν ἐξ ἀνάγκης ἐστίν. ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον καὶ τῇ γενέσει πρότερα τοῦ ὅλου τὰ μέρη. Ἔστι δὲ καὶ ἀνωμαλώτερόν τι καὶ ἀτακτότερον τὸ πρὸς τὴν φορὰν τῆς σελήνης ἄγειν. διὸ τὸ συχνὰ ἐπεμβάλλουσι μῆνα οἱ οὕτως ἄγοντες καὶ πράγματα ἔχουσι, τὰ μὲν δωδεκάμηνα, τὰ δὲ τρισκαιδεκάμηνα ποιούμενοι τῶν ἐτῶν. οὐκ ὂν παρὰ φύσιν γε μᾶλλον. τάξις γάρ τις ἡ φύσις. τὸ παρὰ φύσιν, πᾶν τὸ πλημμελές τι καὶ ἄτακτον. τὸ δ᾽ ἀχρηστίαν τοῦ ἡλίου κατὰ γινώσκειν διὰ τὴν τῆς σελήνης δύναμιν καὶ τὰ φαινόμενα, ἀνωμαλίαν μέτα ἐστί. καὶ προσέχοντος αἰσθήσει μᾶλλον ἔοικεν εἶναι ἢ λογισμῷ. τά τε γὰρ τῆς σελήνης ὅσα διὰ τὸν ἥλιον ὡς εἰπεῖν, ἅπαντά ἐστι. τότε μάλιστα κοσμεῖ τὰ τῇδε τὸ ῥυθμίζον καὶ διατάττον ὁ ἥλιός ἐστι. καὶ μὴν καὶ τῆς περὶ τοὺς ἄλλους ἀστέρας εὐκρασίας αἴτιον εἶναι τὸν ἥλιον ἀγνοοῖ τις τῶν ἐνδόξων, καὶ Στράβωνι τῷ γεωγράφῳ δοκεῖ. ἐναργέστερα μέντοι τὰ περὶ τὴν σελήνην συμβαίνοντα κατὰ διαφόρους φάσεις ἐκ τῶν πρὸς τὸν ἥλιον ἀποστάσεων, ἡμῖν ἅπαντα. ὥστε ἐπιτηρητέα μέντοι καὶ ταῦτά ἐστιν, εἴτε καθ᾽ ἑβδομάδας εἴτε καθ᾽ ἕτερον μῆνα δοκεῖ σεληνιακόν. ὁ μὴν δὲ τὸ μόνοις τοῖς δὲ χρωμένους ἐατέον τοὺς καθ᾽ ἥλιον μῆνας ὁμαλεστέρους ὄντας παρὰ πολὺ καὶ μέρη τῶν ἐκθετῶν ὁρῶν καὶ τοῦ ὅλου ἐνιαυτοῦ οἰκεῖά τε καὶ συμφυῆ. κατὰ φύσιν γὰρ τοῦ θεῖου πλέον, ἐπεὶ γὰρ τὸ ἐκ αἰτίου. καὶ προτέρου καὶ ἀναγκαιοτέρου. τὸ δ᾽ ἀπὸ τῆς σελήνης, γνωριμώτερον ὂν ἡμῖν καὶ σαφέστερον, οὐδέ ἐστιν ἐπὶ τὰ τῇ φύσει γνωριμώτερά τε καὶ τελειότερα. διὸ καὶ οἱ περὶ Καίσαρα τὸν ἐπωνομασμένον τοῖς Ῥωμαίοις θεὸν, ταύτην ἰόντες, ἐπὶ τὰ βεβαιότερα ἐληλύθασι μηνῶν τε καὶ ἐνιαυτοῦ διατάξεως πέρι. οἱ δὲ γὰρ τοῖς

ἐν τοῖς περὶ τούτων ἡμῖν σαφεστέροις ἐπιμένοντες διὰ τέλους, ἐοίκασιν οὐ καλῶς κρίνειν τί τὸ ῥᾷον καὶ τί τὸ δεύτερον αἱρετέον. ὅλως τε δεῖ νομίζειν τὰ ὕστερον χρόνῳ μακρῷ διηκριβωμένα περὶ ἀστρολογίαν, πολύ τι τῶν ἀρχαίων διαφέρειν· ἀλλὰ μὴ ἑκόντας ὑπὸ ἀπαιδευσίας πρὸ τῶν τελεωτέρων τὰ ἀτελέστερα ἐπαινεῖν, ὥσπερ ἐν γήρᾳ τὰ τῶν νέων φρονεῖν ἔτι προαιρουμένους· ἐπεὶ ὁ Γαληνὸς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν λόγοις, τὸν ἐνιαυτὸν τὸν ἐπὶ ταῖς πέντε καὶ ἑξήκοντα καὶ τριακοσίαις ἡμέραις ἐπικείμενον ἔχειν τι μόριον ἡμέρας μεῖζον ἢ ὡς τέταρτον λέγει· τὸ δ' οὖν μεῖζον ἀλλ' ἔλαττον εἶναι τοῖς ὕστερον ἐπιτηρήσεσιν εὕρηται· εἰ δ' ἄρα που, μὴ δὲ τὰ περὶ τὴν ἡλίου κίνησιν τἀκριβῆ πανταπάσιν ἴσοι ἡμῖν, ἀλλ' οὖν γε πολὺ τῶν περὶ τὴν σελήνην ἀκριβέστερ' ἐστὶ καὶ τὸ πλημμελούμενον εὐδιορθώτερον· εἴγε μίαν μὲν διὰ τετραετηρίδος ἡμέραν ἐμβόλιμον· μίαν δὲ σχεδὸν διὰ διακοσαετηρίδος ἐκβόλιμον ποιεῖσθαι, ἀποχρώντως ἂν ἔχοι· ἢ ὁπόσ' ἂν διὰ πλείστου οἱ προϊόντες ἀεὶ τῷ χρόνῳ ἀστρονομίας ἐμπειρότεροι κρίνωσιν· οὐδὲν γὰρ τῷ παρόντι προσίσταται λόγῳ· εἴ τινες ἀμφισβητοῦσι περὶ τοῦ τῶν ἐτῶν πλήθους· ἀναμφισβητήτως γὰρ ἡ ἐπανόρθωσις ἔσται διὰ πλείστου· ὅπως ἂν ἔχῃ.

## ὍΤΙ ΚΑῚ ΤΟΙ͂Σ ΣΟΦΟΙ͂Σ ΔΟΚΕΙ͂ ΒΈΛΤΙΟΝ ΤᾺ ΚΑΤᾺ ἫΛΙΟΝ ἌΓΕΙΝ:~

ἐπαινεῖ δὲ διαφερόντως καὶ Πλούταρχος τὴν Καίσαρος ἐπανόρθωσιν δεινὸς ὢν κρῖναι· ὧδε λέγων:~

„ Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρό-
νον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ καὶ τέλος λα-
„ βοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. Ἡρόδοτος δὲ, καὶ σοφω-
τέρους οἴεται εἶναι αἰγυπτίους ἑλλήνων παρ' ὅσον οἱ μὲν διὰ τρίτου
ἔτους ἐπεμβάλλουσι μῆνα· οἱ δὲ τριακονθημέρους ἄγοντες τοὺς
μῆνας πέντε ἡμέρας ἐπάγουσιν ἀνὰ ἕκαστον ἔτος. οὐ χεῖρον, δὲ
„ καὶ πάλιν τὴν λέξιν αὐτοῦ παραθεῖναι. Ἄγουσι δὲ τοσῷδε σοφώτε-
„ ρον ἑλλήνων ὡς ἐμοὶ δοκεῖ, ὅσῳ ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμ-
„ βόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν· αἰγύπτιοι δὲ τριακονθη-

μέρους

„μέρους ἄγοντες τοὺς δυοκαίδεκα μῆνας ἐπάγουσιν ἀνὰ πᾶν ἔτος „πέντε ἡμέρας. Τὸ δὲ τριακονθημέρους ἄγειν τοὺς μῆνας, κατὰ ἥλιον ἄγειν εἶναι, δηλοῖ Στράβων οὑτωσὶ λέγων· Αἰγυπτίων δέ„στι καὶ τὸ τὰς ἡμέρας μὴ κατὰ σελήνην ἄγειν, ἀλλὰ κατὰ ἥλιον· τοῖς τρια„κονθημέροις δώδεκα μησὶν ἐπαγόντων πέντε ἡμέρας κατ' ἐνι„αυτὸν ἕκαστον. Πλήθων μὲν οὖν πολὺ τούτων ἀπᾴδει λέγων κατὰ φύσιν εἶναι μᾶλλον τὸ κατὰ σελήνην ἄγειν τοὺς μῆνας, καὶ τὸν μὲν ἐνιαυτὸν τῷ ἡλίῳ· τοὺς δὲ μῆνας διαιτᾶν τῇ σελήνῃ:~

## ΠΩΣ ΧΡΗΣΤΕΌΝ ΜΗΣῚ ΚΑῚ ἘΝΙΑΥΤΩ͂Ι:~

Ἡμεῖς δὲ ὀνόμασι μὲν τοῖς εἰρημένοις καὶ τάξει χρησόμεθα τῶν μηνῶν· πράγμασι δὲ κατὰ τὴν καίσαρος ἐπανόρθωσιν ᾗ χρώμενοι ῥωμαῖοι ἄχρι καὶ νῦν, ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν δοκοῦσι· χιλιοστὸν καὶ πεντακοσιοστὸν ὀλίγου δεῖν τόδε ἔτος· λαμβάνειν τε ἀξιοῦμεν, εἴ τινος χρήσιμόν τι ἐφεῦρον τῷ βίῳ, ἐάν τε λατῖνοι ὦσιν οἱ εὑρόντες, ἐάν τε βάρβαροι· οἰκείους τε πάντας νομίζειν, ἀνθρώπους γε ὄντας καὶ μετειληφότας τῆς αὐτῆς ἡμῖν φύσεως· καὶ χάριν ὁμολογεῖν τοῖς εὑροῦσιν· ἀλλὰ μὴ φθονοῦντας ἐρίζειν καὶ ἐθελοκακεῖν. Ἡμέραις τοίνυν τριακοσίαις καὶ ἑξήκοντα καὶ πέντε ὁριζόμενος ἡμῖν ὁ ἐνιαυτὸς ἔσται κατὰ τὴν ἡλίου περίοδον προστιθεμένου γε καὶ μορίου ἡμέρας ἔπ' ἔλαττον, ἢ ὡς τεταρτημορίου τῷ ἀριθμῷ τῷδε· καὶ μῆνες συμπληροῦντες τὸν τῶν ἡμερῶν ἀριθμόν· οἱ μὲν τριακονθήμεροι· οἱ δὲ μιᾷ ὑπερβάλλοντες τοὺς ἑτέρους ἡμέρᾳ. Εἷς δὲ δυοῖν μὲν ἐλλείπων τῶν τριακονθημέρων· ἑξῆς τριῶν ἐτῶν· μιᾷ δὲ τῷ τετάρτῳ· ἑπτὰ γὰρ οἵδε· Ποσειδεών· Γαμηλιών· Μουνυχιών· Σκιροφοριών· Μεταγειτνιών· Βοηδρομιών· Πυανεψιών, μιᾷ ὑπερβάλλουσι τοὺς τριακονθημέρους. οἱ δὲ λοιποὶ τριακονθήμεροι πλὴν ἐλαφηβολιῶνος· ὅδε γὰρ ἡμέρας ἔχει εἴκοσι μὲν καὶ ὀκτὼ ἑξῆς τριῶν ἐτῶν· εἴκοσι δὲ καὶ ἐννέα τῷ τετάρτῳ, διὰ τὴν παρεμβαλλομένην ἡμέραν· διατὶ δὲ τοῖς περὶ καίσαρα οὕτω τὰ περὶ τὰς ἡμέρας διήρηται, ὡς τουτὶ μὲν τριακονθήμερον εἶναι· ἀλλὰ μὴ τονδί· τονδὶ δὲ ὑπερβάλλειν· τονδὶ δὲ ἐλλείπειν, ἐ

πέρας τῆς θεωρίας :~

## Περὶ τῆς ἐμβολίμου ἡμέρας :~

Μῆνα μὲν οὖν οὐδένα ἐπεμβαλοῦμεν οὐδέποτε. μίαν δὲ διὰ τετραετηρίδος ἡμέραν τῷ ἐλαφηβολιῶνι. καθάπερ τῷ φεβρουαρίῳ ῥωμαῖοι βίσεκτον. οὕτω καλοῦντες ἐκ τοῦ δὶς τῆς αὐτῆς ἡμέρας προσγράφειν ἕκτης πρὸ καλενδῶν μαρτίων δόξαν οὕτω Καίσαρι σεβαστῷ. ἡμῖν δὲ ὀνόματι χρῆσθαι ἰδίῳ οὐ δεόμεθα ἔτι τούτῳ. ἐμβόλιμον γὰρ μόνον ταύτην προσαγορεύειν καλῶς ἔχει ἡμῖν. περὶ δὲ τῆς ἐμβολίμου, σκεπτέον. καὶ ὅτι παράδοξον. ἀλλὰ καλὸν δέον τε λατίνους ταὐτὸ δέχεσθαι ἐπανορθουμένους σφίσι τὸν ἐνιαυτόν, ἵνα συμφωνῶμεν. ἐμβολίμου γὰρ τῆς ἡμέρας χρόνου ἤδη μακροῦ διελθόντος. μὴ γινομένης, πολύ τι δὴ προτεροῦσιν αἱ τροπαὶ ἐφ' ἡμῶν τῆς ἐξ ἀρχῆς προσηκούσης ἡμέρας ἐν τῷ μηνί. οὕτω μὲν οὖν ἀκτέον τοὺς μῆνας χρωμένους ὀνόμασι τοῖς ἀποδοθεῖσιν :~

## ΠΕΡῚ ἈΡΧΗ͂Σ ΤΟΥ͂ ἘΝΙΑΥΤΟΥ͂ :~

Ἀρχὴν δὲ τοῦ ἐνιαυτοῦ, οἱ μὲν ἀθηναῖοι τὸν ἑκατομβαιῶνα, ἦγον μῆνα ὡς δέδεικται πρότερον. ὡς ἀπὸ τροπῶν θερινῶν. ῥωμαῖοι δὲ τὸν ἰανουάριον ὡς ἀπὸ τροπῶν χειμερινῶν. ἣ δὴ καὶ οἰκειοτέρα δοκεῖ εἶναι ἀρχή. καὶ ταύτην δὲ ἐπαινεῖ πλάτων. νόμῳ γὰρ ἀγῶνα ἄγειν τοῦ ἔτους ἀγόντων ἀρχήν. φύσει πως ἔοικεν αὕτη εἶναι ἀρχή. ἡνίκα δὴ ὁ ἥλιος ὁ τῆς γενέσεως κύριος, τοῦ πρόσω ἰέναι λήγων, ἀνακάμπτειν ἔρχεται ὡς ἡμᾶς. καὶ τὸν μὲν τοῦ φωτὸς αὔξει χρόνον. τὸν δὲ τοῦ σκότους μειοῖ. ὀρθῶς οὖν καὶ Νομᾶς ἀρχὴν τοιαύτην ῥωμαίοις τέταχε. ῥωμύλου πρότερον τὸν μάρτιον προτετάχαντος μῆνα. καὶ ἡμῖν δὴ ἀρχὴ αὕτη ἔστω. καὶ νέος τοῦ ἐνιαυτοῦ μήν, γαμηλιών. ἵνα καὶ συμφωνῶμεν ῥωμαίοις ὥσπερ καὶ τὰ περὶ τοὺς μῆνας, καὶ τὰ περὶ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ. ὁ δὲ γὰρ Ἰανουάριος ἦν. Νῦν δὲ ἄλλως εἰς ἀρχὴν ἐνιαυτοῦ τε καὶ ἰνδικτιῶνος ποιούμενοι ἀπὸ ἰσημερίας φθινοπωρινῆς, τὰ μὲν περὶ ἰνδικτιῶνα, δηλοῖ δὲ διάταγμα ἡ λέξις, συνᾴδουσι ῥωμαίοις. τὰ δὲ περὶ τὸν ἐνιαυτόν, οὐ. καίτοι συμφέρει γὰρ ἴσως καὶ ταῦτα. ἄλλως τε καὶ χριστοῦ νόμοις χρωμένους. οὐ γὰρ οἶμαι ῥωμαίους τοὺς γ' ἐν νῦν ὄντας διὰ τὴν ἡλίου τροπὴν μᾶλλον ἢ τὸ τότε γεννηθῆναι χριστὸν οὕτως ἄγειν. ἀλλὰ τὴν μὲν τροπὴν συμβεβηκέναι.

συμβεβηκέναι. αὐτοὺς δὲ τὴν γένεσιν προσβάλλοντας τοῦ θεοῦ ἢ θέμις, ἀρχὴν ποιεῖσθαι τὴν εἰρημένην· ἐνιαυτοῦ μὲν ταύτην θετέον ἀρχήν·

## ΓΩΣ ἈΡΙΘΜΗΤΈΟΝ ΤᾺΣ ΤΟΥ͂ ΜΗΝῸΣ ἩΜΈΡΑΣ:~

Ἀριθμεῖν δὲ τὰς μηνὸς ἑκάστου ἡμέρας, πλήθωνι μὲν δοκεῖ εἰς τέτταρα διαιροῦντας τὸν μῆνα, τὸ μὲν ἱστάμενον, τὸ δὲ μεσοῦν, τὸ δὲ φθῖνον· τὸ δὲ ἄπιον· λαμβάνοντι ὡς ἔοικε τὸ μὲν παρὰ πολυδεύκους, τὸ δ' ἔτι καὶ αὐτῷ καινοτομοῦντι· ὁ μὲν ἕτερον γὰρ οἶμαι διατίθεσθαι τὰ περὶ τὰς ἑβδομηνίας οὕτω συνέβαινε, καινὰ ἅττα καθιστάμενον ὥσπερ· ἡμῖν δὲ διαφερέτω μηδὲν διαριθμεῖν ὡς Ἀθηναῖοι τριχῆ διαιροῦντες, τὸ μὲν ἱστάμενον ἔλεγον· τὸ δὲ ἐπὶ δέκα· τὸ δὲ φθῖνον· ἐπειδὴ καὶ συνῳδά πως οὕτω μᾶλλον ῥωμαίοις ἔσται τὰ περὶ τὴν διαίρεσιν ἡμῖν· τριχῆ γε καὶ οὗτοι διαιροῦντες, τὸ μὲν καλένδας προσαγορεύουσι· τὸ δὲ νώνας· τὸ δὲ εἴδους· ἀριθμητέον δὲ οὕτω· Νουμηνίαν μὲν τὴν πρώτην· εἶτα δευτέραν ἱσταμένου, εἶτα τρίτην καὶ ἑξῆς εἰς τὸ πρόσω ἰόντι ἄχρι δεκάτης· μεθ' ἣν πρώτην ἐπὶ δέκα· εἶτα δευτέραν ἐπὶ δέκα· καὶ ἑξῆς ἄχρι εἰκοστῆς· ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ' ἣν ἑνδεκάτην φθίνοντος ἢ δεκάτην· ἢ ἐνάτην· ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μήν, καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας· οὕτω δὲ Ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες ἀλλ' ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος· Σόλωνος εἰσηγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μεμηνυμένα· καὶ Ἀριστοφάνης δὲ ὁ κωμικὸς οὕτως ἀριθμεῖ· „ πέμπτη· τετρὰς τρίτη· μετὰ ταύτην, δευτέρα· εἶθ' ἣν ἐγὼ „ μάλιστα πασῶν ἡμερῶν δέδοικα· εὐθὺς ἔσθ' ἕνη τε καὶ νέα· μετὰ „ δὲ δευτέραν, αἴτιον ἐρῶ· χρεία δ' ἕνης καὶ νέας οὐκ ἔστιν ἡμῖν, διὰ τὸ μὴ κατὰ σελήνην ἄγειν· ἐῴκει δὲ τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν καλεῖν καὶ ἡμᾶς κωλύει οὐδὲν· ὅτι καὶ νέα ἡ πρώτη· πλείστου δὲ φθίνοντος γίνονται ἡμέραι· καὶ ἔσθ' ὅτε ἐλάττους τῶν ἀπιόντων διὰ τὸ τοὺς μὲν τριακονθημέρους τῶν μηνῶν ἡμῖν εἶναι· τοὺς δέ, μιᾷ ὑπερβάλλειν τῶν ἑτέρων ἡμέρᾳ· ἵνα δὲ καὶ δυεῖν μὲν ἐλλείπειν τῶν τριακονθημέρων ἑξῆς τρεῖς ἑτῶν· μιᾶς δὲ τοὺς τέτταρας ὡς εἴρηται πρὸ

b iiiii

τέρον· οἱ μὲν οὖν ἐνδεκάφθινοι· οἱ δὲ δεκάφθινοι· εἷς δὲ καὶ ὀκτάφθινος· ἢ ἐνάφθινος· ἑπτὰ μὲν γὰρ οἵδε· Ποσειδεών· Γαμηλιών· Μουνυχιών· Σκιροφοριών· Μεταγειτνιών· Βοηδρομιών· Πυανεψιών, ἕνδεκα ἔχουσι φθίνοντος ἡμέρας· δέκα δὲ οἱ λοιποὶ πλὴν ἐλαφηβολιῶνος· οὗτος δὲ ὀκτὼ μὲν ἑξῆς τριῶν ἐτῶν, ἐννέα δὲ τῷ τετάρτῳ· καὶ μὴν εἴ τις τὸ φθίνειν καὶ ἵστασθαι ἴδιον εἶναι λέγοι σελήνης, ἐνθυμείσθω, ὅτι καὶ ἐπὶ πολλῶν πολλῶν χρῆσις ἀπ' ἄλλων μεταληφθεῖσα κεκράτηκεν ἀκυρόλογος· οἷον μὲν τὸ χαλκεύειν· καὶ χειρουργεῖν καὶ δημιουργεῖν· ὠνομάζετο δὲ τοιαῦτα καὶ βυβλία μόνον· τὰ ἐκ τῆς βύβλου τῆς ἐν αἰγύπτῳ φυομένης παπύρου γινόμενα· νῦν δὲ καὶ τὰ ἐκ λίνου ῥάκους κατεργασθέντος πλέγματα διὰ κόλλα εὕροις γράφομεν, τοὔνομα ἔχει τοῦτο· καὶ σελίνιον πρόσθεν τὸ ἐκ σελίνου τοῦ ἑλείου φυτοῦ· νῦν δὲ καὶ τὸ ἐκ λίνου καὶ ἔριον πρὸς τὴν αὐτὴν χρείαν κολλώμενον, σελίνιον προσαγορεύεται· καὶ αὐθέντης δὲ ὁ αὐτόχειρ φόνου ἐλέγετο πάλαι· νῦν δὲ καὶ ὁστισοῦν αἴτιος καὶ δημιουργὸς εἴτ' οὖν αὐτουργὸς καὶ ἐπιστάτης πράγματος οὑτινοσοῦν, αὐθέντης καλεῖται· ὑπὲρ τὰ χίλια δὴ ἔτη κεκρατηκότος τοῦ τοιοῦδε σημαινομένου· ἐπειδὴ ῥωμαίοις ἅμα δὴ ὁμιλοῦντες ἕλληνες συνῴδειν τὴν σφετέραν αὐτῶν φωνὴν ἐπιδιομένης τοῖς ἀναλόγοις ἂν τῷ αὐτοῦ ὀνόματι τῶν ῥωμαίων οἰκειοτέροις προσοικειουμένου ταῖς χρείαις· οὕτω γὰρ βιαζόμενοι ὡς εἰκὸς πράγματι συχνὰ ἥκοντι εἰς χρείαν ὄνομα, ἰδιαίτερον θέσθαι, τὸ αὐθέντης δὴ εἰς τοῦτο ἀλλοτριονομοῦντες μετενηνόχασι.

Βασίλειος οὖν τῶν ἡμετέρων ἱεροφαντῶν ἐπὶ ἰουλιανοῦ αὐτοκράτορος γενόμενος ἀνὴρ καὶ τῆς φωνῆς χάριτι καὶ τὴν διάνοιαν κεκοσμημένος, τὰ τοῦ θείου πνεύματος χαρίσματα, οὐ λειτουργικῶς ἀλλ' αὐθεντικῶς γίνεσθαι λέγει· καὶ Συνέσιος φιλόσοφος τῶν λογιωτάτων μικρὸν ὕστερον ἐπὶ Θεοδοσίου, πυνθανόμενος Πατριάρχου Θεοφίλου εἰ χρὴ νομίζειν ἐπίσκοπον ἀλέξανδρόν τινα, χειροτονηθέντα ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα νομισθέντος ἁγίου καὶ ἐπονομασθέντος Χρυσοστόμου· πό-

τι δὲ διά τινα συμβαίνει διαφορὰν καὶ στάσιν τῶν ἐκκλησιῶν ἀ-
„φορισμένου γινομένης συνόδου, ἃ δὴ ἐπιφέρει. Πρὸς ὃ δεῖ τὴν αὐ-
„θεντίαν τῆς ἀποστολικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ
σαφῶς. οὐ μὴν ἀλλὰ καὶ ῥωμαῖοι ὡς πλούταρχος ἱστορεῖ τὴν
εἰς τρία διαίρεσιν τοῦ μηνὸς πρὸς τὰς μεγίστας τρεῖς διαφορὰς
τῆς σελήνης τυγχάνουσι πρότερον πεποιηκότες. καλένδας
μὲν τὴν νουμηνίαν καλέσαντες, ὅτι περὶ τὴν σύνοδον οὖσα τό-
τε ἡ σελήνη ὥσπερ λέληθεν ἐπιμελοῦς πότε δὴ παντελῶς τοῦ
φωτός. τὸ γὰρ κλαμ ῥωμαίοις τὸ λάθρα διασημαίνει ὅθεν τὰς κα-
λένδας ὠνομάσθαι φησί. νώνας δὲ, ὅταν καταφανὴς πρῶτον
ἐπὶ δυσμῶν γίνηται νέα, εἴδους δὲ ὅταν πανσέληνος οὖσα
εὐειδεστέρα τὴν ὄψιν ᾖ. ἀλλ᾽ ὅμως ὕστερον. καίτοι καθή-
λιον ἄγοντες τοὺς μῆνας, ὁμοίως ὁρίζοντες τὸν χρόνον, κα-
λένδας καὶ νώνας καὶ εἴδους ἔτι καλοῦσιν, ὀνόμασι καταχρώ-
μενοι οἷς πρότερον ἄγοντες κατὰ σελήνην ἐχρῶντο κυρίως. ὅθεν δὴ
ἄτοπον οὐδὲν ἡμῖν εἰ ἱστάμενον λέγοιμεν ἢ φθίνοντα μὴ κατὰ σελήνην ἔτι
ἀλλὰ καθ᾽ ἥλιον ἄγοντες. ἀνάλογον τοίνυν ἡμῖν ἐστι· νουμηνία
μὲν ταῖς καλένδαις· τὸ δὲ ἱστάμενον, τῷ πρὸ νωνῶν· τὸ δὲ ἐπὶ δέκα,
τῷ πρὸ εἰδῶν. τὸ δὲ φθίνον, τῷ πρὸ καλενδῶν. ὡς δὴ ἡμῖν οὐκέτι χρή-
σιμος ἕνη καὶ νέα, οὕτως οὐδὲ ῥωμαίοις τὸ ἰντερλούνιον. τὴν γὰρ ἡ-
μέραν ἧς τὸ μὲν τῷ λήγοντι μηνὶ τὸ δὲ τῷ ἀρχομένῳ προσήκει
κατὰ σελήνην, ῥωμαῖοι οὕτω καλοῦσι. ταῦτα μὲν δὴ οὕ-
τω λαμβανόμενα, ὧν ἂν ἔχοι· οὐκ ἀφαιρεῖται δὲ λόγους οὐδὲ ἰδιώ-
τας τὴν τῶν ἡμερῶν τῆς σελήνης γνῶσιν, ὁπόσαι ἑκάστοτε. τὸ λοι-
πὸν γάρ τι συμβάλλεται εἰς τοῦτο τῶν ἡμερῶν τοῦ καθήλιον μη-
νὸς εἴδησις. καὶ ῥᾴδιον προστιθέντι ταῖς ἐπακταῖς, εὑρίσκειν τὸν
ἀριθμόν. τὸ δὲ κριθὲν οὐκ ἀπαιτητέον ἐν τοῖς· ἐπακταὶ ἐφ᾽ ᾧ
α̅. ἀριθμὸς ἡμερῶν ἐπαγομένων ἡλιακοῦ μηνὸς, ἐφ᾽ ᾧ ι̅ε̅. ἀ-
ριθμὸς μηνῶν ἐπαγομένων ὡσαύτως, ἀπὸ μουνυχιῶνος
ἀρχομένου ἐφ᾽ ᾧ γ̅. γινόμενος ἀριθμὸς ἐκ τῶν α̅. β̅.
γ̅. ὁμοῦ ληφθέντων, ἐφ᾽ ᾧ δ̅. ὑπερέχει τῶν τριά-

κοντα ἐφ᾽ ὧν ε̅· ὑπεροχὴ ἐφ᾽ ὧν ζ̅· σεληνιακῶν ἡμερῶν ἀριθμὸς ἐπαγομένων, ἐφ᾽ ὧν η̅· τὸ δὴ λ̅, ἔσται ἴσον τῷ η̅· ἐὰν μὴ τὸ ε̅, ὑπερέχῃ τῶν δ̅· ἐὰν δ᾽ ὑπερέχῃ, τὸ ζ̅· ἔσται ἴσον τῷ δ̅· τὸ δὲ α̅, ληπτέον ὅτι οὐδέν· ἱκανὸν γὰρ ὡς πρὸς τοῖς πολλοῖς τὸ ὅτι· οὐδ᾽ ἄρα εἴκοσι καὶ ὀκτώ. τοῦ νῦν παρόντος ἡμεραρχικοῦ ἔτους. ἐπαυξείσθω δὲ καθ᾽ ἕκαστον ἔτος ἡμεραρχικόν, προσθέσει τῶν ἕνδεκα· καὶ ἐπειδὰν τῶν τριάκοντα ὑπερέχῃ, εἰλήφθω ἡ ὑπεροχὴ α̅. οὕτω δὴ ἐπαύξοντι αἰεὶ καὶ λαμβάνοντι, ληπτέον τὸ α̅· πρόσθεσις ἐφ᾽ ὧν θ̅. Ἑτέρα ὑπεροχὴ ἐφ᾽ ὧν ι̅· προσληφθέντος δὴ τοῦ θ̅ τῷ α̅, ἔσται τὸ α̅· ὡς ἐννέα τοῦ ἐπιόντος ἡμεραρχικοῦ ἔτους· καὶ πάλιν προσληφθέντος, ἔσται ὡς εἴκοσι τοῦ ἐφεξῆς ἔτους· εἶτα ὡς μία τοῦ μετὰ ταῦτα· τὸ γὰρ ι̅· δηλοῖ ὡς μία καὶ οὕτως αἰεί· ἐπιστημονικώτερον δ᾽ ὧδε:~

## ΕΫΡΕΣΙΣ ΤΩΝ ἘΠΑΚΤΩΝ·

Διῃρείσθω παρὰ ἐννεακαίδεκα τὰ ἀπὸ γενέσεως τοῦ θεοῦ ἀπαγόμενα ἔτη· προσκειμένου τούτοις ἑνὸς ἑτέρου ἔτους. εἰλήφθωσαν δ᾽ αἱ ὑπὲρ τὰς ἐννεακαιδεκάδας περιττεύουσαι· ἡ μονάδες αἱ πολυπλασιασθήτωσαν ἐπὶ τὸν ἕνδεκα· εἶτα διαιρεθήτωσαν παρὰ τριάκοντα. αἱ γὰρ ὑπὲρ τὰς τριακοντάδας πλεονάζουσαι τὸ α̅, αἱ ἐπακταί εἰσιν. οἷον χίλια μὲν καὶ τετρακόσια καὶ ἑβδομήκοντα μὲν ταῦτα ἀπὸ θεογονίας ἔτη· προσκείσθω δὲ τούτοις καὶ ἕν· διαιρεθέντων δὴ τούτων παρὰ ἐννεακαίδεκα, δῆλον ὅτι ὀκτὼ αἱ πλεονάζουσαι. ληφθεισῶν δ᾽ τῶν ὀκτὼ ἐπὶ τὸν ἕνδεκα, ὀγδοήκοντα καὶ ὀκτὼ γίνεται τὸ ἐκ τούτων· διαιρεθέντος δ᾽ αὖ τούτου εἰς τριακοντάδας, τὸ πλεονάζον ἔσται εἴκοσι καὶ ὀκτώ· τοῦτο δὴ ἐν α̅. τοῦ νῦν παρόντος ἐνιαυτοῦ. ἀνάλογον δὲ ἐν τὸ λοιπὸν αἰεὶ ἡ εὕρεσις ἔσται τοῦ α̅. πάλιν δὴ καὶ τοῦτω λαβόντα τὸ α̅, προσθετέον αὐτῷ τὸ β̅ καὶ γ̅· ὅτι σύνολον τὸ δ̅, ῥητέον εἶναι τὸ η̅· ἐὰν μὴ ὑπερέχῃ τῶν τριάκοντα. ἐὰν δὲ ὑπερέχῃ, τὴν ὑπεροχὴν εἶναι λεκτέον. ἀλλὰ μὴν ἐν δὲ ταῖς ἱερομηνίαις ἐμπεδῶν καθεστάτων ἔθει. τοῦ ὅλου ἐνιαυτοῦ διαιρουμένου εἰς πεντήκοντα καὶ δύο ἑπτάδας, ἐκ τεττάρων δὴ καὶ ἡμῖν τῶν μηνῶν ἕκαστος ἔσται ἑπτάδων. ἔξω τῶν ὑπεραρίθμων δὲ ἡμερῶν·

καὶ τέτταρας ἔξω τὰς ἀγομένας τῶν ἱερομηνιῶν δι' ἑβδόμης μί-
αν· πλὴν εἰ ἄρα ἀπὸ χνείας ἄρχοιτο προτέρων· ἢ μετα-
ξὺ τῶν ἑπτάδος που ὑστέρων. εἰ δὲ ὁ τοῦ πλήθωνος ἔχων, πλέον τι
τοῦ δέοντος ἀφαιρεῖται τῶν ἀναγκαίων ἔργων τῇ πόλει· ἀργεῖν τε
ἀναστέλλει τοὺς ἄγοντας ἱερομηνίαν. καὶ ἅμα τρεῖς ἐφεξῆς ἱερομη-
νίας, συμβαίνει ποιεῖσθαι· ἕνην μὲν Πλούτωνι· ἕνην δὲ καὶ νέαν τὴν
τῇ ἑαυτῶν ἐπισκέψει· νουμηνίαν δὲ τῷ Διί· τοῦτο δὲ προσκο-
ρὲς ἂν εἴη οὕτω συμβαῖνον· βέλτιον οὖν διαλείποντας ἄγειν· τῶν
γὰρ ἐκ διαλειμμάτων, ἡδέων μὲν ὄντων, ἡδίων ἡ αἴσθησις· λυπη-
ρῶν δὲ εὐφορητοτέρα. ὀλίγας τε ὡς ἐν μάλιστα ἄγειν ἑορτάς· ἐν
γὰρ τῶν φαύλων πολιτευμάτων ἐστὶ τὸ πολλὰς ἄγειν· καὶ σημεῖ-
ον οὐ θεοσεβείας, ἀλλὰ τρυφῆς ἐστι. τί μὲν δ' ἂν εἴησαν ἱερομηνίαι·
πλήθωνι μὲν ἥρμοττε φάναι ὡς δή τινας ἑτέρας τῶν ἡμῖν νομι-
ζομένων νομοθετοῦντι. ἡμῖν δὲ ἥκιστα δεῖ. ἄλλως τε καὶ μὴ περὶ τέ-
του νοοῦντος τοῦ λόγου· δῆλον γὰρ ὅτι τὰς νομιζομένας τέττα-
ρας ἔξω τῶν μηνῶν ἕκαστος θεῷ τῷ αὐτῷ ἀνασταίντι· ἄμεινον γὰρ εἰς
ἐλάττω ὡς ἂν μάλιστα ἦν συναιρεῖν τὰ περὶ τὸ θεῖον· τῇ δὴ μόνῃ αὐτῶν
ἐπισκέψει ἱερομηνίαν ὁρίσαι ἀνὰ ἕκαστον μῆνα καὶ ἅπαξ τοῦ
μηνὸς ἐπίσκεψιν ποιεῖσθαι τῶν πεπραγμένων ἡμῖν ὡς ἀξιοῖ πλή-
θων, οὐχ ἡμεῖς τι φαμέν· ἀλλὰ καθ' ἡμέραν ἑκάστην τοῦτο ποιεῖ-
σθαι ἄνευ ἱερομηνίας· νύκτωρ ἐπὶ ὕπνῳ ἱκανῷ καὶ τροφῆς πέψει
τῇ πρώτῃ· ἀναλογιζομένοις τί δή ποτε πεπραχότες τῇ προτεραίᾳ
ἐσμέν· κἄν τι ᾖ παρημελημένον· ἕωθεν αὖθις ᾗ ὅσιον ἐπανορθω-
σαμένοις, λογίων ἀκροᾶσθαι καθαρτικῶν καὶ ἐπόπται τῶν ἀσιω-
πάτων ἱερῶν γινομένοις· ἐνίοτε δὲ μοίρας ἀγαθῆς καὶ τοῦ θύματος
γευσαμένοις, ἐπὶ ἔργον πορεύεσθαι ἀπὸ τοιαύτης ἀρχῆς. ἀλλὰ περὶ
μὲν τούτων, ἐν ἄλλοις:~ ΠΩΣ ἀριθμητέον τὰς τῆς ἑβδομάδος ἡμέρας.
Ὑπάρχει δὲ ἀλλὰ τὰς τῆς ἑπτάδος ἡμέρας ἀριθμεῖν ἤτοι ὡς οἱ νῦν ἕλληνες·
τὴν μὲν πρώτην, κυρίαν καλοῦντες· τὴν δὲ δευτέραν, τοῦτ' αὖ τὸ δευ-
τέραν· εἶτα τρίτην· τετράδα· πέμπτην· ἕκτην· ἑβδόμην· ἢ ὡς οἱ νῦν
ῥωμαῖοι κατὰ τοὺς πλανήτας τῶν ἀστέρων· μετὰ τὴν κυρίαν· σελή-

νης ἡμέραν· εἶτα ἄρεως· εἶτα ἑρμοῦ· εἶτα διὸς· εἶτα ἀφροδίτης· εἶτα κρόνου. τὸ δὲ παρασκευὴν μὲν τὴν ἕκτην· σάββατον δὲ ὀνομάζειν τὴν ἑβδόμην, οὐκ ἔχει ὡς ἔοικε λόγον ἡμῖν. ἀλλὰ ἰουδαίοις ἴσως· παρεσκευάσθαι γὰρ ἐκείνοις πρὸ τοῦ σαββάτου δεῖ ὡς δὴ μηδενὸς ἔργου ἁπτομένοις ὑπὸ δεισιδαιμονίας τῇ ὑστεραίᾳ. ἡμῖν δὲ οὐδὲν δεῖ. οὔτε γὰρ τῇ ἑβδόμῃ ἀργοῦμεν ἡμεῖς τῇ καλουμένῃ σάββατον ἰουδαίοις, ἀλλὰ τῇ πρώτῃ, κυριακῇ ἡμῖν οὔσῃ καὶ ἱερομηνίᾳ Χριστῷ ἀναστάντι, οὐδ' οὕτως ἀργοῦμεν ἄγοντες ἑορτὴν ὡς μηδὲ ἑψῆσαί τι καὶ τράπεζαν παραθέσθαι θεμιτὸν εἶναι, ἀλλὰ δεῖν παρασκευάσασθαι πάντα τῇ προτεραίᾳ. οὐκοῦν οὔτε τι χρήσιμον. οὔτε ἄλλως εὔσχημον ἡμῖν τὰ ἰουδαίων ταῦτα ὀνόματα εἰς καταρίθμησιν γε ἑβδομάδος τῆς ἡμετέρας λαμβάνειν. ὃ δὲ δὴ, καὶ τὸ σάββατον οὕτω ὁμοίως ἔχει τῷ ὡσαννὰ καὶ τῷ σαβαώθ· ἅπερ ἐκφυλάττομεν καὶ ταῦτα. ἐπιφωνεῖται ὅμως ἐν ταῖς ἱεροποιίαις ἑκάστοτε παρὰ τῶν ζακόρων ἐπάναγκες. τὰ μὲν γὰρ ἐξωσιωμένα δὴ τοῖς κυριωτάτοις καὶ μεγίστοις τῶν ἱερῶν ὄντα κατά τι ἀπόρρητον, μὴ οὐ θεμιτὸν ἦν παραλλάττειν. τὸ δὲ, περιείρασθαι καὶ μηδεμίαν ἔχον ἀνάγκην, ἰουδαΐζειν. ἡμεῖς μὲν τοίνυν περὶ μηνῶν τε καὶ ἡμερῶν καὶ ἐνιαυτοῦ, οὕτως χρῆσθαι μάλιστα ἀξιοῦμεν:~

## ΠΩΣ ΔΕΙ ΑΓΕΙΝ ΤΟΥΣ ΧΡΟΝΟΥΣ ΚΑΤ' ΑΘΗΝΑΙΟΥΣ.

Εἰ δὲ τῷ διαφέροι ἄγειν ὡς ἀθηναῖοι, τῇ μὲν τάξει χρήσεται δὴ τῇ ἐπιδειχθείσῃ, εἴ τι ὅλως ὅδε διαιρεῖ. ἀρχὴν δὲ τάξας τοῦ ἔτους τὰς θερινὰς τροπάς, ὁριεῖ τοὺς μῆνας τοὺς μὲν τριακονθημέρους ἤτοι πλήρεις. τοὺς δὲ μιᾷ τῶν ἑτέρων λειπομένους ἡμέρᾳ ἐναλλὰξ παρείρας. ὡς ἡμίσεός που ἐνδέοντος μιᾶς πρὸς τὸ τριακονθήμερον εἶναι τὸν τῆς σελήνης μηνιαῖον χρόνον. ἀριθμήσει δὲ τὰς ἡμέρας ἄχρι τῆς εἰκοστῆς, ὃν εἴρηται τρόπον. μετὰ δὲ ταύτην δεκάτην φθίνοντος, εἰ πλήρης ὁ μὴν εἴη, ἐνάτην. εἶτα ἐξῆς ἀναστρέφων ἄχρι δευτέρας. μεθ' ἣν, ἕνην καὶ νέαν. εἰ κοῖλος ὁ μὴν ἐνάτην φθίνοντος καὶ ἐξῆς τὸ ἀνάλογον. ὡς καὶ πολυδεύκης ἀριθμεῖ. οὐχ ἱκανῶς δέ, διότι κοίλου μόνου καταλείπει ἡμέρας. πλήθων δὲ ἐνάτην μὲν τὴν εἰκοστὴν ἐνάτην, ἕνην δὲ καὶ νέαν τὴν τριακοστὴν λέγων, οὐδὲν ἀ-

πάλιν ἡμῶν φησι, τόγε περὶ τὸ πρᾶγμα. ἣν γὰρ δευτέραν φθίνοντος ἡμεῖς ἀριθμοῦμεν, ἕνην καλεῖ, ἴσως αὐτῷ ἱερομηνία οὖσα τῷ Πλούτωνι, αὐτόθεν δὴ καὶ τῆς προσηγορίας τὸ σεμνὸν ἔχει καὶ ξαγικόν. δεῖ γὰρ καὶ τινος τοιούτου τοῖς περὶ τὰ ὅσια πραγματευομένοις. πειρατέον δὲ κατὰ σελήνην ἀριθμεῖν τὰς ἡμέρας. ἐπεὶ καὶ τὸ τῶν μηνῶν τοὺς μὲν πλήρεις τοὺς δὲ κοίλους λαμβάνειν, τοῦτο βούλεται. οὐχ ἱκανὸν δέ, ἀλλὰ δεῖ που καὶ ἄλλα ἅττα πραγματεύεσθαι συχνά, εἰ μέλλοι σώζεσθαι τὸ ὁμόλογον. χαλεπὸν γὰρ διὰ τὴν πολλὴν τῆς σελήνης ἀταξίαν. διόπερ οὐδ' Ἀθηναῖοι φαίνονται κατορθοῦντες ὡς ἔστι τεκμήρασθαι καὶ ἐξ ὧν δὴ ὁ κωμικὸς ποιεῖ τὴν σελήνην θυμαίνειν. ὅτι οὐ δὴ κατὰ σελήνην ἦγον τὰς ἡμέρας Ἀθηναῖοι ὀρθῶς. ἀλλ' ἄνω τε καὶ κάτω ἐκυδοιδοπῶν. οὕτω γὰρ κέχρηται τῇ λέξει. πειρατέον μέντοι κατὰ τὸ δυνατὸν διορθοῦσθαι χρωμένους τοῖς ἐμπειροτέροις ἀεὶ τῶν ἀστρολογικῶν θεωρημάτων συμβούλοις:~

## ΠΕΡΙ ΕΜΒΟΛΙΜΟΥ ΜΗΝΟΣ.

Καὶ μὲν δὴ τῇ μηνὸς ἐμβολίμου δεήσει τοῖς Ἀττικοῖς ἔτεσι καθάπερ εἴρηται πρότερον, ἵν' οἱ μῆνες συμβαίνοντες διατελῶσι ταῖς ὥραις. ἐπεμβλητέον δ' ἄρα ἐπὶ σκιροφοριῶνι μηνὶ τριάκοντα ἡμέρας. μάρτυρες δ' ἔστων Μακρόβιος ῥωμαῖος συγγραφεύς, καὶ Ἡρόδοτος. ὁ μὲν λέγων ἐν τοῖς κρονίοις τῶν συγγραμμάτων μεθερμηνευόμενον Γλαύκιππον ἐν τοῖς περὶ τῶν Ἀθήνησιν ἱερῶν καὶ ὁσίων ὑπομνήμασι φάναι Ἀθηναίους τὰς περιττὰς ἡμέρας τῷ τελευταίῳ ἐπεμβάλλειν μηνὶ τῷ ἐνιαυτῷ. τελευταῖος δὲ σκιροφοριὼν ἦν. ὁ δὲ αὖ ἐκ τούτων διασαφῶν τριακονθήμερον τὸν ἐμβόλιμον εἶναι. „εἰ γὰρ δὴ ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριάκοντα πέντε. ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων, χίλιαι καὶ πεντήκοντα. διὰ πόσου δὲ χρόνου ἐπεμβλητέον, εἴ τις Ἡροδότῳ πείθεσθαι ἀξιοῖ, αὐτόθεν ἐκ τῶν νῦν δὴ παρατεθέντων, ἔχει λαβεῖν τὸ ζητούμενον. ἐναλλὰξ γάρ τοι παρ' ἕνα

γίνεσθαι τὸν ἐμβολισμὸν δηλοῖ τὸ πρότερον, τῶν ἐτῶν λέγων ἕνα τρια-
κονταετίν τε μῆνας ἐμβολίμους τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμόν.
ἐν τούτῳ μὲν ἴσως δεῖται σκέψεως, πῶς ἂν θατέρῳ ἀεὶ τῶν ἐτῶν
ἐπεμβαλλομένης τριακονθημέρου, συμβαίνοι τοῖς μησὶ ὁμολογεῖν
ταῖς ὥραις ἀεί. ἐπεὶ γὰρ μάτην ἂν γένοιτο διὰ πλειόνων τὸ διπλασιοῦν
δυνάμεως γίνεσθαι, γένοιτο δ' ἂν διπλασιόνων, εἰ διὰ τετάρτου, ταύτῃ
γινομένου ἂν ἀεὶ ἔχει. ληφθέντων μὲν τῶν μηνῶν καθ' ἃ εἴρηται, ἐπεμ-
βαλλομένων δὲ τριακονθημέρων τῷ τρίτῳ ἔτει ἀεί. τοῦτο δ' ἐστὶ πα-
ρὰ δύο γίνεσθαι τὸν ἐμβολισμόν. πλὴν εἰ ἄρα ἀπό τινος τῆς ἀρχῆς,
προστιθεμένων ἡμερῶν ἄρχεται ὁ ἐνιαυτός. αὗται δ' εἰσί, πρώτη δευτέ-
ρα τρίτη. τῆς ὅλης καὶ αὐτοτελοῦς περιόδου. πρώτη μὲν τῆς πρώ-
της ἐνδεκάδος καὶ ἀτελοῦς περιόδου.. δευτέρα δὲ τῆς δευτέρας
ἐνδεκάδος καὶ ἀτελοῦς περιόδου. τρίτη δὲ τῆς ἑξῆς ὀκταέδος συμ-
πληρούσης τὴν ὅλην τε καὶ αὐτοτελῆ περίοδον. βούλεται μὲν γὰρ
ἡ ἔφοδος κατὰ τοῦτον τὴν τριάδα. συμβαίνει δὲ περιττεύειν μηθὲν
τῷ τελευταίῳ ἔτει. ἀλλ' ἤτοι ἐλλείπειν ὡς ἐπὶ τῆς πρώτης ἐνδεκά-
δος καὶ τῆς δευτέρας, ἢ ἰσάζειν ὡς ἐπὶ τῆς ἑξῆς γε ὀκταέδος. διόπερ
ἀναγκαῖον τῷ μὲν τὸ ἀρχικὸν εὐθὺς ἔτει ἐπάγειν τὰς περιττάς. δεῖ
μέντοι καί τινος ἑτέρας προσθήκης διὰ τὰ ἐπιτρέχοντα μόρια εἴ
γε ἡμέρας ἐλλείπει μιᾶς που διὰ τῆς τριετηρίδος. ἀναπληρωτέ-
ον δὲ κατὰ μέρος ὧδε. ὑποκείσθω ἑκατομβαιῶνος νεομηνία τὴν
προτεραίαν εἶναι τῷ πρώτῳ ἔτει. οὐκοῦν τῷ δευτέρῳ, δευτέρα ἐπὶ
δέκα. τούτῳ δὲ ἐπαχθέντος τοῦ ἐμβολίμου, αὐτό τε συμπε-
πλήρωται καὶ ἡ τροπὴ ὀγδόη τοῦ ἐμβολίμου φθίνοντος ὑπερέχει
τῷ ἐπιόντι, καὶ περιτταὶ ὀκτώ. δεῖ δὲ ἐνδέκα. οὐκοῦν εἰς τε-
τάρτην ἱσταμένου τοῦ ἑκατομβαιῶνος ἐπαμείνει τῷ ἑξῆς ἡ τρο-
πή. εἶτα εἰς πέμπτην ἐπὶ δέκα, τῷ ἐχομένῳ προσίεισι. τοῦτο δ' αὖ
ἐμβολάζον εἰς πέμπτην τοῦ ἐμβολίμου φθίνοντος καθίστησι τὴν τρο-
πὴν τῷ ἐπιόντι, καὶ περιττὰς πέντε. ὥστε τὸ ἐφεξῆς δή, ἑβδόμῃ ἱστα-
μένου τοῦ ἑκατομβαιῶνος, τροπάσει. καὶ ὀγδόῃ ἐπὶ δέκα, τὸ με-
ταῦτο. τούτου δὲ πάλιν ἐμβολάζοντος, ἡ τροπὴ δευτέρα τοῦ ἐμβο-

λί μου φθίνοντος ἵσταται τῷ ἐπιόντι καὶ περιττὰ δύο. τῷ ἄρα ἑξῆς εἰς δεκάτην τοῦ ἑκατομβαιῶνος περιίσταται ἡ τροπή· τῷ δ' ἐπὶ τούτῳ εἰς δεκάτην δὲ φθίνοντος. τοῦτο δὲ ἐμβολάζον, τελευταῖον τῶν πρώτων ἐνδεκάδος, εἰς δευτέραν ἱσταμένου τοῦ ἑκατομβαιῶνος ἀποκαθίστησι τὴν τροπήν. περιττὴν μὲν μηδεμίαν ὑπολεῖπον. μιᾶς δὲ τὸ δέον. Αὕτη μὲν οὖν πρώτη ἐνδεκὰς ἡ περίοδος ἐν μέρει καὶ ἀτελής· ἀρχομένη μὲν ἀπὸ νουμηνίας τοῦ ἑκατομβαιῶνος, τελευτῶσα δὲ εἰς δευτέραν ἱσταμένου. διὰ τὸ πλεονάζειν ἰθαγενοῦς δηλαδὴ συντεθειμένης τριάδος ἐμβολιμαίων ἐτῶν. Δευτέρα δὲ ὁμοίως εἰς τρίτην ἱσταμένου ἀποκαθίστησι τὴν τροπήν. τρίτην δὲ ἔχουσα τάξιν ὀκταετηρὶς ὁμοίως ἐφοδευομένη, πληροῖ τὴν τῆς ὅλης τῆς αὐτοτελοῦς περιόδου ἀποκατάστασιν, εἰς νουμηνίαν ἀποκαθιστᾶσα τοῦ ἑκατομβαιῶνος. καὶ ἀεὶ οὕτως περιίστανται αἱ τροπαί, ὁμολόγως τοῖς μησὶν ἔχουσι, προστιθεμένων τῶν ἐπιτρεχόντων μορίων, ὅπως ἂν ἄμεινον δοκῇ προστιθέναι. θεωρείσθω δὲ ταῦτα κατὰ τῆς ἐκτιθείσης διαγραφῆς. ταῦτα μὲν ἐχόντων θεωρείσθω, ὅτῳ ἐπιμελές. εἰ δέ τῳ φίλον καὶ κατὰ πλήθωνα διαιρεῖν τε καὶ ἀριθμεῖν, οὐδὲν αὐτὸν τὸ κωλύει χρῆσθαι τῇ τάξει τε καὶ ὀνομασίᾳ τῶν μηνῶν τῇ ἀποδοθείσῃ. κἂν Πλήθων οὕτω διονομάζων περὶ μηνῶν ἔγραφεν. εἰ παρὰ ἄλλου λαβεῖν τὴν πρὸς ἀλλήλους σύνταξιν τῶν μηνῶν εἶχεν ὀρθῶς. οὐδὲν γὰρ αὐτὸν οὔτε τὰς ἱερομηνίας οὔτε τῶν ἡμερῶν τὴν καταρίθμησιν ἐλυμαίνετ' ἂν ἥγε τῶν μηνῶν ὀνομασία ὡς Ἀθηναίοις ἡγεμὼν τοῦ λέγειν, ὡς καὶ ἐς μνήμην ἄγειν κομιδῇ ἐπικοσμοῦσα τὸ γράμμα. νῦν δὲ δὴ τὸ μὲν ἄτοπον ἡμῖν. τῶν ἐκφορᾶς τῶν ῥωμαϊκῶν ὀνομάτων φαύλων. ἰανουάριον καὶ φεβρουάριον καὶ τὰ τοιαῦτα ἐξονομάζειν. ἀπρεπῶν δὲ τὴν σύνταξιν τοῦ ἑλληνικοῦ, καὶ τὸ περὶ τὴν ζήτησιν ταλαίπωρον εὐλαβούμενος, ὑπὲρ τὸ πρόχειρον τρέπεται τοῦ ἀριθμοῦ:~

## ΠΕΡῚ ἈΡΧῆΣ ΤῆΣ ἩΜΈΡΑΣ.

Ἡμέρας δὲ ἀρχήν· συνίεται ἀφ' ὧν περὶ μηνῶν λόγου καὶ τοῦτο. Ἀθηναῖοι μὲν ἀφ' ἡλίου δυσμῶν ἦγον, τὴν νύκτα πρὸ τῆς μετ' αὐτὴν ἡμέρας λογιζό-

μένοι καὶ τὸν μεταξὺ χρόνον μέχρι τῶν ἑτέρων δυσμῶν, μίαν τιθέ-
μενοι ἡμέραν. ὡς Αὖλος ῥωμαίων λόγιος μάρκον Βάρρωνα ἀναγε-
γραφέναι φησί. ῥωμαῖοι γοῦν οἱ μὲν ἀρχαῖοι ἀπὸ μέσων νυκτῶν ἤρχοντο
οἷς καὶ πλήθων ἑπόμενος ἀρχὴν τοιαύτην τίθεται. οἱ νῦν δὲ ἀφ' ἡλίου
ἀνίσχοντος ἄρχουσι. παραπλησίως δὲ καὶ οἱ νῦν ἕλληνες. καίτοι τοὐ-
ναντίον ἐχρῆν συμπαντας τούς γε ἀπὸ Χριστοῦ πεπεισμένους, χαριζο-
μένους ᾧ ἀρχὴ ἐστὶ τῇ ἑτέρᾳ μόνον ἔσται τριταῖον ἀναβιῶναι αὐτὸν τε-
θνεῶτα. ἐὰν ἡ τῆς ἡμέρας ἀρχὴ λαμβάνηται ἤτοι ἀπ' ἄκρας
νυκτὸς ὡς ἀθηναῖοι ἤθελον. ἢ ἀπὸ μέσης, ὡς ῥωμαῖοι. πότερον δὲ
οὐ ῥᾴδιον ἀποφήνασθαι. οἱ μὲν γὰρ περὶ τὸν ἄθων θεολόγοι κατὰ
μέσην ἀκριβῶς νύκτα γενέσθαι τὴν ἀνάβιωσιν ἐξηγοῦνται. καὶ τὸ ἀνάστα-
σιν, ἄρχονται ἑορτάζειν εὐθὺς ἀπὸ μέσων νυκτῶν. λόγους δ' αὐτῶν ὅτι τὰς
εἰς τὸ μνῆμα ἀφικομένας γυναῖκας ἐπιμέμψασθαι. τὸν νεκρὸν μισμέ-
να, ὄρθρου μὲν ἔτι βαθέος παραγενέσθαι μὴ εὑρηκέναι δὲ τὸν νε-
κρὸν οἱ περὶ Λουκᾶν τῶν εὐαγγελιστῶν γεγράφασιν ἱστοροῦντες. τὸ
γὰρ τοῦ ὄρθρου βαθύ, τὸ ἐγγύς που τῆς μέσης νυκτὸς μηνύειν ὑπολαμ-
βάνουσιν. ἅμα δὲ καί τι πλέον ἐπιλαμβάνοιτ' ἂν οὕτω τῆς τρίτης
ἡμέρας. τὸ δὲ πλέον, σημεῖον δὴ τῆς τριάδος ἐστὶν ἐναργέστερον. τῶν
δ' ἰταλιωτῶν οἱ περὶ τὴν ῥώμην, μετὰ μέσην που νύκτα φασί,
καὶ τὸ βαθύ, ἀφιστάντες ἱκανῶς τοῦ μέσου, ἀκούουσι. μηδενὸς δ' ἄ-
ρα τῶν συγγραφέων ἀποσαφοῦντος ὁπότε τῆς νυκτὸς ὁ θεὸς ἀ-
νεβίω, ἔοικε μὲν ἀσφαλέστερον ἂν ἔχειν εἴ τις ἀπ' ἄκρας νυκτὸς τι-
θεῖτο τὴν τῆς ἡμέρας ἀρχήν. συμβαίνει γὰρ αὐτῷ ὅλην ἐπιμίξει τὸ
μετὰ τὴν μέσην. οἷς δ' ἐπὶ τὴν τὸ μόνον ὁ λόγος βέβηκεν. οὐ μᾶλλον
τι θάρρος ἐπιτυγχάνειν, ἢ κίνδυνος παραστατεῖν. ἄτοπον
μέντοι γε ἕτερον αὖ ἀκολουθήσει θεμένοις ἀκρόνυχον τὴν ἀρ-
χήν, τὸ τῇ ὑστεραίᾳ νόμιμον ὂν ἐσθίειν κρεῶν ἐξεῖναι κρεοφαγεῖν
ἀπ' ἄκρας τῆς ἡγουμένης νυκτός. καὶ πάλιν ἀπηγορευμένον αὖ,
μὴ ἐξεῖναι δεῖπνον ἐκ κρέατος τῆς αὐτῆς ταύτης νυκτὸς ἑλέ-
σθαι. περὶ τούτων μὲν οὖν ἑσαῦθις ἐπισκεπτέον ὅτι βέλτιον. καὶ
τοὺς περὶ ταῦτα δεινοὺς παρακαλέσαντας συμβουλεύσασθαι.

καλῶς ἔχει. δεῖ γὰρ τὴν σκέψιν οὕτω ποιεῖσθαι. ὡς μήτι συμβαίνειν ἐκ τοῦ λόγου ἐναντίον τοῖς ὁσίοις μηδὲν, ἐν ἀγαθοῖς τε ἡμέρας κατατρέχειν, τοῦ θεοῦ χάριν:~

ὍΘΕΝ ἈΡΙΘΜΗΤΈΟΝ ΤΟῪΣ ΧΡΌΝΟΥΣ·

Ὅσιον δὲ καὶ τοὺς χρόνους ἀριθμεῖν ἀπὸ γενέσεως τοῦ αὐτοῦ θεοῦ. ἀλλὰ μὴ ὡς οἱ νῦν ἕλληνες ἀπὸ κόσμου γενέσεως, ἑξακισχιλιοστὸν ἐνακοσιοστὸν ἑβδομηκοστὸν, ὄγδοον τόδε ἔτος καταριθμοῦντες. προφητῶν μὲν γὰρ ἴσως καὶ ταῦτα ἀμφότερον δὲ τιμῶντας χριστὸν, ἀπ᾽ αὐτοῦ ἄρχεσθαι, καθάπερ οἱ νῦν ὄντες ῥωμαῖοι ἄγουσι χιλιοστὸν τετρακοσιοστὸν ἑβδομηκοστὸν τόδε διαριθμοῦμεν ἔτος. καίτοι τῶν πάλαι ῥωμαίων ἀπὸ κτίσεως ῥώμης ἀριθμούντων. ὥσπερ ἀθηναῖοι μὲν ἀπὸ ὀλυμπιάδος πρώτης. ἄλλοι δὲ ἀπὸ τῶν τρωϊκῶν. περὶ μὲν οὖν τῶν μηνῶν ταύτῃ διωρίσθω τῶν λογίων χάριν ἀνδρῶν. εἴ τις ἄρα ἐλπὶς, διάλεκτον τοῖς ἐπιγινομένοις ἔσεσθαι ἑλληνικὴν, ἀλλὰ μὴν ὡς ἄλλων πάλαι ἐθνῶν. καὶ τοῦ ἑλληνικοῦ νῦν παντὸς ἐκ γένους καὶ λόγου, τελευτὴν εἵμαρτο εἶναι

ὁ.

O

O

~OO O OO:~

O

O

ἐ

ΜΑΡΤΥΡΕΣ ΤΩι ΛΟΓΩ·

| | | |
|---|---|---|
| Βασίλειος | Πλήθων | Αὖλος ῥωμαῖος |
| Ἀριστοτέλης | Γαληνός | Μακρόβιος ῥω- |
| Θεόφραστος | Δημοσθένης | μαῖος |
| Στράβων | Αἰσχίνης | Πλίνιος ῥωμαῖος |
| Πλούταρχος | Θουκυδίδης | Ἀριστοφάνης |
| Σιμπλίκιος | Ἡρόδοτος | Πολυδεύκης |
| Συνέσιος | Καῖσαρ ὁ θεὸς | Σουΐδας· |

# ΒΙΟΣ ἈΠΟΛΛΩΝΙΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀπολλώνιος οὗτος, ἀλεξανδρεὺς μὲν ἦν τὸ γένος· μητρὸς μὲν, Ἀριάδνης· πατρὸς δὲ, Μνησιθέου· ἔσχε δὲ υἱὸν Ἡρωδιανὸν γραμματικόν· ᾤκει δὲ ἐν τῷ προυχείῳ περὶ τὸν δρόμον, ἐν τόπῳ οὕτω καλουμένῳ περὶ τὴν ἀλεξάνδρειαν· ἔνθα καὶ ἐτάφη· ἔγραψε δὲ καὶ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου καὶ περὶ συντάξεως· ἐκλήθη δὲ δύσκολος· ἐπεὶ καὶ δυσχερής ἐστι κατὰ τὴν φράσιν· διὰ ὀλίγων γὰρ λέξεων πολλὰ παριστᾷ νοήματα· ἢ ὅτι κακότροπος ἦν· ἢ ὅτι ἐν ταῖς γυμνασίαις δυσλύτους ἀπορίας ἔλεγε. Ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις σοφοῖς εἰς ἕνα τόπον συνέρχεσθαι· καὶ γυμνασίας χάριν, αἰνιγματώδεις τινὰς καὶ ἀσαφεῖς λέξεις φθέγγεσθαι· τοσοῦτον δὲ ἦν πένης ὁ Ἀπολλώνιος, ὡς ἐν ὀστράκῳ γράφειν τὰ ἑαυτοῦ συγγράμματα διὰ τὸ μὴ εὐπορεῖν χάρτας πρίασθαι. ἐπαίδευσε δὲ τὸν υἱὸν αὐτοῦ Ἡρωδιανὸν τοσοῦτον, ὅσον τὰ τέλη τῆς παιδεύσεως εἰληφότα, ἀπέστη δὲ ἀπ' αὐτοῦ διὰ τὸν οἰκεῖον κλῆρον· ἢ διὰ τὸ μὴ ἐθέλειν αὐτῷ ἐπισυναπαγεῖν· ἀφίκετο δὲ εἰς ῥώμην ἐπὶ Μάρκου Ἀντωνίνου· καὶ διέγραψεν ἐκεῖσε τὰ κάλλιστα· καὶ τοσοῦτον, ὅσον καὶ φίλος τῷ μάρκῳ γέγονεν· ἔνθα καὶ τὴν μερικὴν προσῳδίαν καὶ τὴν καθολικὴν συνεγράψατο ὑπὸ τοῦ αὐτοκράτορος παρακληθείς· καθολικὴ δὲ λέγεται, ὅτι ἀπὸ μονοσυλλάβου λέξεως ἕως δισυλλάβου παραλαμβάνει· ἐν ᾗ μετὰ τὸ πρὸς Μάρκον προοίμιον, οὕτω τὴν προσῳδίαν ὁρίζεται· καὶ τοσαῦτα μὲν, περὶ τοῦ Ἀπολλωνίου καὶ Ἡρωδιανοῦ.

A A

## ΤΑΔΕ ΕΝΕΣΤΙ ΕΝ ΤΩ ΠΡΩΤΩ ΤΩΝ ΑΠΟΛΛΩΝΙΟΥ ΒΙΒΛΙΩΝ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ.

α' Ὅτι ὃν τρόπον καὶ τὰ στοιχεῖα καὶ αἱ συλλαβαὶ κατὰ τὸ δέον ἐπιπλεκόμεναι τὰς λέξεις ἀποτελοῦσιν, οὕτω καὶ αἱ λέξεις τὸν λόγον.

β' Ὅτι τὰ ἐπισυμβαίνοντα τοῖς στοιχείοις καὶ ἐν συλλαβαῖς εὑρίσκεται καὶ ἐν λόγῳ.

γ' Ὅτι κατὰ τὴν δέουσαν τάξιν τὰ μέρη τοῦ λόγου κατείλεκται.

δ' Ὅτι παρυφίσταται παντὶ μέρει λόγου τὸ δ' σημαίνοντι ἑνικῷ ἄρθρῳ.

ε' Ὅτι οὐκ εἰς διάκρισιν τοῦ γένους τὰ ἄρθρα ἐπενοήθη.

ϛ' Ὅτι μετὰ ἀναφορᾶς τὰ ἄρθρα καὶ ἄλλα τινὰ σημαίνει.

ζ' Ὅτι ἀδύνατον τὰ ἐν γενικῇ ἢ δοτικῇ νοούμενα στοιχεῖα, χωρὶς ἄρθρου λέγεσθαι.

η' Ὅτι τεκμήριον τοῦ τὰ ἀπαρέμφατα μετ' ἄρθρου λεγόμενα ὀνοματικὰ εἶναι, χωρὶς δὲ τοῦ ῥήματα.

θ' Τίνες τε εἰσὶ καθ' ἃς ἄρθρων καταλέγουσιν ἐννοίας.

Πότε τὸ ἄλλοι πάντως ἄρθρον προσλήψεται, καὶ πότε οὔ.

ι' Ὅτι ἀσύστατον χωρὶς ἄρθρων ἐκφέρεσθαι τὰς ἐν ἐπισταλτικῇ δοτικὰς τῶν ἐπιθέτων ὀνομάτων.

ια' Ὅτι καὶ τὸ τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων ἀναγκαίως προσέλαβε τὸ ἄρθρον.

ιβ' Περὶ πτωτικῶν τῶν μὴ δυναμένων ἄρθρα παραδέξασθαι.

ιγ' Ὅτι τὸ ἀλλήλων ἀπαράδεκτον ἄρθρου.

ιδ' Ὁμοίως ὅτι καὶ τὸ ἀμφότεροι.

ιε' Ὁμοίως ὅτι καὶ αἱ κλητικαὶ ἀνέφικτοι εἰς ἄρθρων παράθεσιν, καὶ ὅτι τὸ ὦ οὐκ ἄρθρον.

ιϛ' Ὅτι ἀκόλουθα τὰ ἄρθρα κατὰ πτῶσιν.

ιζ' Ὅτι αἱ εὐθεῖαι τῶν ἄρθρων ἀναγκαίως καὶ τὸ τ̄ ἀπέβαλον, καὶ τὸ ὦ ἐπίρρημα κλητικόν ἐστι.

ιη' Ὁμοίως ὅτι τὰ πευστικὰ τῶν ὀνομάτων οὐ προσλαμβάνει ἄρθρον.

ιθ' Ὅτι ἀναγκαίως ἡ δασεῖα πρὸ τοῦ ω̄ ἐπὶ τῶν τοιούτων ἐγχωρήσειεν καὶ ὅτι ἐν τῷ ὁποῖος τὸ ο̄ οὐκ ἄρθρον ἐστί.

κ' Ὅτι οὐκ εἰς ἄλλο τι οἱ Ἴωνες ἠδύναντο μεταβάλλειν τὸ π ἢ εἰς κ, ὡς ἐν τῷ κοῖος καὶ τοῖς ὁμοίοις.
κα' Ὅτι οὐδεμία τῶν ἐλλιπῶν συντάξεως ἄρθρον προσλαβεῖν δύναται.
κβ' Ὅτι οὐδ' αἱ ἀντωνυμίαι τὰ προτακτικὰ ἄρθρα γινώσκουσιν.
κγ' Ὅτι μόνη ἡ αὐτὸς τὸ ἄρθρον προσέλαβεν καὶ ὅτι ἐν τῷ ὁ ἐμὸς οὐ τῆς ἀντωνυμίας τὸ ἄρθρον ἐστίν.
κδ' Πότε τῆς αὐτῆς συντάξεως οὔσης προστίθεται τὰ ἄρθρα καὶ οὐ προστίθεται.
κε' Πότε τοῖς ἐπιθετικοῖς καὶ πότε τοῖς κυρίοις ἢ προσηγορικοῖς.
κς' Πότε ἓν ἄρθρον παραλαμβάνεται ἐν ταῖς συντάξεσι καὶ πότε δύο.
κζ' Περὶ συντάξεως μετοχῆς ὀνόματος καὶ διαφορᾶς τῆς συνόντος ἄρθρου.
κη' Ὅτι παράθεσις ἐνικοῦ ἄρθρου, πλήθους ἔννοιαν παρίστησιν.
κθ' Ὅτι τὰ ἄρθρα ἀοριστωδῶς ἀκούεται.
λ' Περὶ διαφορᾶς τῶν ἐπιφερομένων ῥημάτων.
λα' Πότε ὁ ἐν πεύσει καταγινομένου τὰ ἄρθρα προσνέμεται καὶ πότε οὔ.
λβ' Ποίῳ λόγῳ πῶς δεῖ τῶν ἄλλων ζώων φυλακαῖ τε καὶ κυνὶ ἄρθρον οὐ παραδέχεται.
λγ' Πότε ταῖς κτητικαῖς ἀντωνυμίαις τὰ ἄρθρα προστίθεται καὶ πότε οὔ.
λδ' Περὶ τῶν τοῖς ὀνόμασιν ἐπιφερομένων κτητικῶν ἀντωνυμιῶν καὶ τῆς τούτων διαφορᾶς.
λε' Πότε τὰ ἀπὸ ὀνόματος ἀρχόμενα δύναται προσλαμβάνειν ἕτερον ἄρθρον πρὸ τῆς ἀντωνυμίας· ὁ δοῦλος ὁ ἐμός· οὐ μὴν ἀπὸ ἀντωνυμίας ἀρξάμενα.
λς' Περὶ καθολικῆς συντάξεως τῶν τε δυναμένων δύο ἄρθρα ἀναδέξασθαι καὶ τῶν μὴ δυναμένων.
λζ' Πότε ἐν δυσὶν ὀνόμασι δύο ἄρθρα παραλαμβάνεται καὶ πότε ἕν.
λη' Πότε καὶ ταῖς αὐταῖς πλαγίαις συντάσσεται τὸ ἄρθρον.
λθ' Περὶ συντάξεως ὑποτακτικῶν ἄρθρων.
μ' Περὶ διαφορᾶς τῆς ἐν τοῖς προτακτικοῖς πρὸς τὰ ὑποτακτικά.
μα' Ὅτι καὶ ἐν διαφόροις πτώσεσιν ὑποτάσσεται κατ' ἀνάγκην λόγου τινός.
μβ' Πότε τὰ ὑποτακτικὰ ἄρθρα κοινὸν παραλαμβάνει τὸ ῥῆμα καὶ πότε οὔ.

Α Α ιι

# ἈΠΟΛΛΩΝΊΟΥ ἈΛΕΞΑΝΔΡΈΩΣ ΠΕΡῚ ΣΥΝΤΆΞΕΩΣ ΒΙΒΛΊΟΝ ΠΡΩ͂ΤΟΝ.

α. Ὅτι ὃν τρόπον τὰ στοιχεῖα καὶ αἱ συλλαβαὶ κατὰ τὸ δέον ἐπιπλεκόμεναι τὰς λέξεις ἀποτελοῦσιν, οὕτω καὶ αἱ λέξεις τὸν λόγον.

ΕΝ ΤΑῖΣ προεκδοθείσαις ἡμῖν σχολαῖς, ἡ περὶ τὰς φωνὰς παράδοσις καθὼς ἀπῄτει ὁ περὶ αὐτῶν λόγος, κατείλεκται· ἡ δὲ νῦν ἐκθησομένη ἔκδοσις, περιέξει τὴν ἐκ τούτων γινομένην σύνταξιν, εἰς καταλληλότητα τοῦ αὐτοτελοῦς λόγου· ἣν πάνυ προῄρημαι ἀναγκαιοτάτην οὖσαν πρὸς ἐξήγησιν τῶν ποιημάτων μετὰ πάσης ἀκριβείας ἐκθέσθαι. ἤδη γὰρ καὶ ἡ πρώτη ἐκθεῖσα ἀμερὴς ὕλη τῶν στοιχείων, τοῦτο πολὺ πρότερον κατεπηγγείλατο· οὐχ ὡς ἔτυχεν ἐπιπλοκὰς ποιησαμένη τῶν στοιχείων· ἀλλ᾽ ἐν τῇ κατὰ τὸ δέον συντάξει· ἐξ ἧς σχεδὸν καὶ τὴν ὀνομασίαν εἴληχεν· ἥτε ἐπαναβεβηκυῖα συλλαβή, ταυτὸ ἀναδέξασθαι· εἴγε αἱ ἐκ τούτων συντάξεις ἀναπληρούμεναι κατὰ τὸ δέον ἀποτελοῦσι τὴν λέξιν· καὶ σαφὲς ὅτι ἀκόλουθόν ἐστι τὸ καὶ τὰς λέξεις μέρος οὔσας τοῦ κατὰ σύνταξιν αὐτοτελοῦς λόγου, τὸ κατάλληλον τῆς συντάξεως ἀναδέξασθαι· τὸ γὰρ ἐξ ἑκάστης λέξεως παρυφιστάμενον νοητὸν, τρόπον τινὰ στοιχεῖόν ἐστι τοῦ λόγου· καὶ ὡς τὰ στοιχεῖα συλλαβὰς ἀποτελεῖ κατὰ τὰς ἐπιπλοκὰς, οὕτω καὶ ἡ σύνταξις τῶν νοητῶν, τρόπον τινὰ συλλαβὰς ἀποτελέσει, διὰ τὰς ἐπιπλοκὰς τῶν λέξεων.

## β′ ὍΤΙ ΤᾺ ἘΠΙΣΥΜΒΑΊΝΟΝΤΑ ΤΩ͂Ι ΣΤΟΙΧΕΊΩΙ ΚΑῚ ἘΝ ΣΥΛΛΑΒΗ͂Ι ΕὙΡΊΣΚΕΤΑΙ ΚΑῚ ἘΝ ΛΌΓΩΙ.

Καὶ ἔτι ὃν τρόπον ἐκ τῶν συλλαβῶν αἱ λέξεις, οὕτως ἐκ τῆς καταλληλότητος τῶν νοητῶν, ὁ αὐτοτελὴς λόγος. ἔστι γοῦν ἐκ τῶν ἐπὶ μέρους τὸ τοιοῦτον ἐπιδεῖξαι, ἐνίοτε τὸ αὐτὸ δὶς στοιχεῖον παραλαμβάνεται· ἔλλαβε· ἔννεπεν· ἀτὰρ καὶ συλλαβή· ἐλέλικτο· ἐλελίγκτο· πέμπεν· ἀτὰρ καὶ λέξις· μεσαγκυλῶσα λιθεῖα· βαρύς· βαρὺς σύνοικος· ἀλλὰ καὶ μετὰ λόγου τὸ τοιοῦτον δείκνυται· ἡνίκα τὰ εἰρημένα αὖθις ἐπαναλαμβάνεται· ὁτὲ μὲν ἀναγκαίως· ὁτὲ δὲ ἐκ παρολκῆς. καὶ πλεονάζον στοιχεῖον· λέγω δὲ τὸ αὐτό· φαμὲν οὕτω· ἐν τῷ ὕδωρ τὸ δ πλεονάζει, τοῦ ὕειν ἐγκειμένου· καὶ τὸ α ἐν τῷ ἀλαλητός. ὅπερ δύναται καὶ ἐν πλεονασμῷ συλλαβῆς παραλαμβάνεσθαι· ἐπεὶ καταχρηστικώτερον αἱ μονογράμματοι ἐκφωνήσεις συλλαβαὶ εἴρηνται, φαμὲν καὶ τὰ τοιαῦτα πλεονάζειν συλλαβῇ· θήρεσσι· κύνεσσι· λελάχωσι· καὶ ἄλλα πλεῖστα. πλεονάζουσι δὲ καὶ λέξεις· ἕζομαι καθέζομαι· καὶ ἕπω ἐνέπω· ἀντίος ἐναντίος· οὐ σύ γ' ἔπειτα τυδέος ἔκγονος ἐσσί· ὅπερ γε καὶ παρὰ πληρωματικοὺς συνδέσμους φαμέν· φαμὲν δέ γε καὶ λόγους πως παρέλκειν πρὸς οὐδὲν συντείνοντας· ἔτι πλείστῃ ἀθετήσει ὑπεισέρχου διὰ τοὺς τοιούτους τρόπους ἐγγίνοντα· ἀλλὰ καὶ ἐναντία πρόσθεσις ἐνδείᾳ στοιχείου γίνεται· γαῖα αἶα· παρὰ τὸ σκῆπτρον· ὁ σκηπτοῦχος βασιλεύς· τῇ δὲ ἔχει καὶ παρὰ τὸ φαίδρος, ὁ φαίδιμος· αἱ τοιαῦται παραθέσεις σχεδὸν ἀπείληπτοί εἰσι, παρεμπολλαῦσαι· ἀλλὰ καὶ συλλαβῆς· ἡνίκα τὸ θέλω, λέω· ἡνίκα τὸ αἰγοπόλος, αἰπόλος· ἀλλὰ καὶ λέξεως· ἡνίκα ἀπαιτεῖ τὸ, ἀγυμεῖς ἔρχεσθε τὴν ἀπὸ πρόθεσιν· καὶ τὸ πικρὰς ὠδῖνας ἔχουσαι· ἡ γὰρ αὐτοτέλεια τοῦ λόγου, ὡς στοιχεῖον ἐζήτησε τὴν παρὰ πρόθεσιν. τὸ, τί τὸ ἔριόν μοι οἴσω, λείπει τὸ ἄρθρον· ὁ γὰρ λόγος τὴν ἀναφορὰν τοῦ λόγου ἐπιζητῶν, τὴν τοῦ ἄρθρου ἐνδείκνυται ἔλλειψιν· οὐδὲν δὲ ὅλη ἡ πραγματεία ἐξευρησομένη, καὶ τὰ τοιαῦτα προσδιακρινεῖ· ἐπεὶ καὶ πρόθεσιν ἐστοχάσατο Ζηνόδοτος τὸ, ὦ ἄλλοι κατὰ συναλοιφὴν τοῦ ἄρθρου γράφειν, εἰ μὴ ἐκ τῆς δοκούσης συντάξεως κινού-

μένος. ὅθεν ἀκριβέστερον ἔχει. οὐ λέγει μὲν πλεονάζειν τὸ ἄρθρον, ἐπι-
γράφει δὲ ὡς ἐλλείποντος συνήθως τοῖς ἄρθροις. ἔχων γοῦν ἐ-
κεῖσε ἀφορμὴν τῆς ἀρθρικῆς γραφῆς. ἀπαιτοῦντος τοῦ λόγου τὸ
ἄρθρον, πρὸς τὸ σύνηθες τοῦ πιστοῦ ἐκὼν περιέπεμψαν. ἐκδεξάμε-
νοι μᾶλλον τὸν δαὶ σύνδεσμον ἤπερ τὸ αἳ ἄρθρον. ἐν τούτῳ, πῶς δαὶ
τῶν ἄλλων τρόπων. ἐπιδεδείξεται δὲ ἐν τοῖς κατὰ μέρος τὰ τοιαῦ-
τα. προὔπτον δέ, ὅτι τὰ τοιαῦτα οὐκ ἀποκοπαί εἰσιν ὥς τινες ὑ-
πέλαβον. ἀλλ' ἄνα εἰ μέμονάς γε. πάρα δ' ἀνὴρ ὃς καταθήσει, ἀλ-
λὰ πάθη λόγου ἐλλείποντος ῥήματος. ποτὲ γὰρ ὅλης λέξεως ἀ-
ποκοπὴ γίνεται, μαρτυρεῖ καὶ αὐτὸ τὸ ὄνομα τοῦ πάθους. εἴ γε πᾶ-
σα ἀποκοπὴ μέρος τι τοῦ ὅλου λειπόμενον ὑπαγορεύει. οὐκ ἀπί-
θανον δ' εἶμαι κἀκεῖνο παραστῆσαι. παρεπόμενον γάρ ἐστι ταῖς
λέξεσι καὶ περὶ τὰς γραφὰς ἁμαρτάνεσθαι. ἃς ἢ προφανῶς ἐστι
καταλαβέσθαι διὰ τῆς ἀκοῆς, ἢ ἀδήλου τοῦ τοιούτου ὄντος ἢ κατὰ
τὸν λογισμὸν ἐξέτασις κατορθοῖ. ἣν καλοῦμεν λόγον τὸν περὶ ὀρ-
θογραφίας. τοιοῦτόν τι παρεπόμενον ὑπολαμβάνω κἀν τοῖς λό-
γοις. ἐπειδὰν γὰρ τὰ μὴ δέοντα τῶν λέξεων συναφθῇ, τὸ τοιοῦτον
καλοῦμεν σολοικισμόν. ὡς τῶν στοιχείων τοῦ λόγου ἀκαταλλήλως
συνελθόντων. εἴπερ οὖν ἔστι μαθεῖν τὸ ἀκριβὲς τῆς γραφῆς, μαθεῖν ἄρα
ἔστι καὶ τὸ ἀκριβὲς τῆς συντάξεως τοῦ λόγου. Φαμὲν προτακτι-
κὰ στοιχεῖα ὄντα συμφώνοις ἐν τοῖς φωνήεσι καὶ ἐν συλλαβαῖς. ἡνίκα
τὴν διὰ τοῦ η καὶ υ προτακτικὴν συλλαβὴν ἔστιν εὑρέσθαι. καὶ ἁ-
πάσας τὰς ἐν φωνήεσι διφθόγγους κατὰ τὸ κοινὸν ἔθος. ὑποτακτι-
κάς, τὰς διὰ τοῦ γ μ ἢ χ μ. ἔτι τε ληκτικὰς μερῶν λόγου, λ σ.
ν σ. ἄλλας πλείστας. ἀλλ' ἐπὶ λέξεων, τὸ αὐτό. προθέσεις οὖν κα-
λοῦμεν καὶ προτακτικὰ ἄρθρα καὶ ὑποτακτικὰ καὶ ἔτι ἐπιρ-
ρήματα, ἃ μᾶλλον ἀπὸ τῆς συντάξεως τὴν ὀνομασίαν ἔλα-
βεν, ἤπερ ἀπὸ τοῦ δηλουμένου. καὶ ἐν λόγῳ δὲ ἔστι τὸ τοιοῦτον εὑ-
ρέσθαι, ὁπότε τὰ ἐκ συνημμένων ἀληθῆ προλημματιζόμε-
να τῶν ἐπιφερομένων, ἅπερ ἔγκειται κατὰ τὴν πρώτην τοῦ λό-
γου συναφήν. εἴπερ οὖν τις ἀναφαίνοιτο. εἰ περιπατεῖ Διονύσιος

ον, κινεῖται. Διονύσιος κινεῖται, εἰ περιπατεῖ· ἀντιστρέφοντος γὰρ τοῦ λόγου, οὐκ ἀληθεύει τὸ ὅλον. Στοιχεῖον ἐστὶν ὅτι εἰς δύο μερίζεται τρόπῳ συλλαβικῷ. Ἢ δὲ ἐᾶ δέ. ἀλλὰ καὶ δύο εἰς ἓν συναλείφεται. βέλεμνα βέλη. ἡ συλλαβὴ εἰς δύο μερίζεται. λέγω τὴν κυρίαν συλλαβήν. κοῖλον, κόϊλον. ἀλλὰ καὶ δύο συλλαβαὶ εἰς μίαν συνίζουσιν. ἡνίκα παρὰ τὴν γῆραϊ συλλαβὴν, δισύλλαβον φαμὲν τὴν γῆρα. παρὰ τὴν ἀΐδης, ᾅδης. ἀλλὰ καὶ λέξεις. ἡνίκα ἡ ἀκρόπολις, ἄκρα πόλις. ἡ καλλίχορος, χώρα καλή. καὶ ἔτι συνάγγειον, ἄγγιον σύν. αἱ γὰρ εἰς τὰ λελυμένα συνίζει. ὡς ὑφ' ἓν μέρος λόγου ἀνέγνωμεν. τὸ πασιμέλουσα εἰς κηρεσιφορήτους. ἀλλὰ εἰς τοὺς λόγους οἱ παρειλημμένοι σύνδεσμοι ἐστὶν ὅτι ἑνοῦσι δύο λόγους ἢ καὶ πλείους. καθάπερ οἱ συνδεόμενοι λόγοι ἐκ συνημμένων ἢ παρασυνημμένων, ἢ καὶ ἔτι συμπεπλεγμένων. οἱ πάλιν ἀποστάντες διάλυσιν τῶν λόγων ποιοῦνται. αἴτιοι δὲ τό, ἴωμεν ὡς ἐκέλευσεν ἵνα δρυμὰ φαίδιμον δυστεῦ. εὕρομεν ἐμβήκασι τετυγμένα δώματα καλά. ἐδεῖ δὲ συμπλέξαι τὸν καί. καὶ εὕρομεν ἐμβήκασι. στοιχεῖα ὑπερτίθεται, ἡνίκα ἡ καρδία κραδίη παρὰ τὸ κραδαίνω, κάρρων. ἀλλὰ καὶ συλλαβαί. ἡνίκα τὸ ὀξάπιλε· ὀξαίφιλε· ἡνίκα τὸ ὄρωρεν ὦρορε. ἀλλὰ καὶ λέξεις. ὅτι ὁ οἰνοφόρος φερέοινος λέγεται. ὅτι ἀνδρόγυνοι, γύνανδροι. ἀλλὰ καὶ λόγος. τὰς μὲν, ἄρα θρέψασα τεκοῦσά τε. αὐτὰρ ὁ εἴσω ἱεὶ ὑπὲρ βηλαίνον ὁδοῦ:~

γ' ὍΤΙ ΚΑΤᾺ Τὴν δευτέραν τάξιν τὰ μέρη τοῦ λόγου κατείληπται.

Ἔτι οὖν τρόπον τῶν στοιχείων ἃ μέν ἐστι φωνήεντα, ἃ καὶ καθ' ἑαυτὰ φωνὴν ἀποτελεῖ, ἃ δὲ σύμφωνα, ἅπερ ἄνευ τῶν φωνηέντων οὐκ ἔχει ῥητῶς τὴν ἐκφώνησιν, τὸν αὐτὸν τρόπον ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ τῶν λέξεων μέρους. τὰ μὲν γὰρ αὐτῶν τρόπον τινὰ τῶν φωνηέντων ἔχουσι εἰσί. καθάπερ ἐπὶ τῶν ῥημάτων ἔστιν ἐπινοῆσαι, ὀνομάτων, ἀντωνυμιῶν, ἐπιρρημάτων. ἅπερ ὑπὸ λέξει τῶν γινομέναις ἐνεργείαις ἡνίκα δὲ ἐπιφθεγγόμεθα, τό, κάλλιστα ποιεῖς κατὰ τὸ δέον ἐνεργοῦσιν ἢ ὑγιεῖς ἢ καλῶς. αἱ δέ, ὥσπερ εἰς σύμφωνα ἀναμένουσι τὰ φωνήεντα. οὐ δυνάμεναι κατ' ἰδίαν ῥητὰ εἶναι. τουτέστι τὰ προκατειλεγμένα τῶν μερῶν τοῦ

A A iiii

λόγου· καθάπερ ἐπὶ τῶν προθέσεων· τῶν ἄρθρων· τῶν συνδέσμων· τὰ δὲ τοιαῦτα ἀεὶ τῶν μορίων συσσημαίνεται· εἴτε ἐν γενικῇ μὲν λέγομεν δι' Ἀπολλωνίου· ὡσεὶ γινώσκοντος Ἀπολλωνίου· κατὰ δὲ τὴν αἰτιατικὴν πτῶσιν διὰ τὸν Ἀπολλώνιον· ὡσὰν αὐτοῦ αἰτίου ὄντος· οἵ τε σύνδεσμοι πρὸς τὰς τῶν λόγων συντάξεις καὶ ἀκολουθίας, τὰς ἰδίας δυνάμεις παρεμφαίνουσιν. ὅτι συμπλεκτικοὶ μὲν ἀεὶ εἰσὶν ὁ ἤτοι· ἤτοι ὁ γὰρ εἰπὼν κατ' ἀρξιν· ἐν ἴσῃ γὰρ δυνάμει τοῦ μὲν παραλείπεται· διὸ καὶ κατὰ τὴν ἑξῆς συμπλοκὴν ἀναγκαίως ἐπανέρχεται ὁ δὲ· ὡς τὸ τοῖσι δ' ἀνέστη· ὅτι δὲ διαζευκτικοὶ· ἤτοι νέος ἐστὶν, ἢ παλαιός· τὸ δὲ ἔχει καὶ τὰ ἄρθρα· συμφερόμενα γὰρ τοῖς ὀνόμασι, τὴν ἐν αὐτοῖς δύναμιν ἐπαγγέλλεται· οὐκ ἔχοντα δὲ τοῦτο, μεθίσταται εἰς τὰς καλουμένας ἀντωνυμίας· ὡς ἀποδειχθήσεται ἐν τῷ κατὰ μέρος· ἔνθα καὶ ἐπιδείξομεν τὸ αἴτιον, καθότι καὶ ἐπὶ τῶν ἄλλων μερῶν τοῦ λόγου ταυτὸ παρακολουθήσει· ὥσπερ πολλάκις καὶ τὰ ὀνόματα ἐπιρρηματικῶς ἀκούεται. ἴσως δὲ καὶ ἡ τάξις τῶν στοιχείων ἐν λόγῳ παραλαμβανομένη τοῦ διότι τὸ α προκεῖται, εἶτα μετ' αὐτὸ τὸ β, ἀπαιτήσει καὶ τὴν κατὰ λόγον τῶν μερῶν τοῦ λόγου τάξιν· διότι τὸ ὄνομα πρόκειται· μεθ' ὃ ἐστὶ τὸ ῥῆμα καὶ τὰ ὑπόλοιπα μέρη τοῦ λόγου· ὡσεὶ καὶ πάλιν ἐν ταῖς πτώσεσιν ἡ λεγομένη εὐθεῖα, καὶ γενικὴ καὶ αἱ ὑπόλοιποι· ἔν τε ταῖς χρονικαῖς τομαῖς κατὰ τὰ ῥήματα, ὁ ἐνεστώς, εἶτα ὁ παρατατικός· καὶ οἱ λοιποὶ χρόνοι· ἔν τε γένεσι, τὸ ἀρσενικόν· μεθ' ὃ, τὸ θηλυκόν· καὶ τρίτον, τὸ ἐκ τούτων ἀποφατικὸν οὐδέτερον· καὶ ἐπὶ ἄλλων πλείστων γε· περὶ ὧν ἰδίᾳ ποιησόμεθα συναγωγήν· κατεπείγει μέντοι ἐστὶν ἕνεκα τῶν προκειμένων λόγων, ἀντιπαραβάλλεσθαι τὴν τάξιν τῶν μερῶν τοῦ λόγου· ἴσως τινὲς ἀπειρότεροι ἀναστρέφοντες περὶ τὰ τοιαῦτα τὰς ἰδίας ἀπειρίας παραμυθοῦνται, ὡς οὐδέον περὶ τὰς τοιαύτας ζητήσεις καταγίνεσθαι ὑπολαβόντες τὰ τοιαῦτα κατὰ τύχην τεθεματίσθαι· ἀγνοοῦντες πρὸς γινώσκειν ἐστὶ καθόλου μηδὲ ἐν τάξει παραλαμβάνειν· μὴ δὴ παρὰ τάξιν τι ἡμᾶς τίθεσθαι· ὅπερ πάντη ἠλίθιον· εἰ δ' ἐπὶ τῆς ὅλης, ἀνάγκη καὶ ἐπὶ πάντων δεῖν· ἐστὶ μὲν οὖν τάξις μίμημα τοῦ αὐτοτελοῦς λόγου· πάνυ ἀκριβῶς προετέθη τὸ ὄνομα θεματίσαι· μεθ' ὃ τὸ ῥῆμα· εἴγε πᾶς λόγος ἄνευ

τούτων οὐ συγκλείεται· παρὸν γοῦν ἐπισώσασθαι ἐκ συντάξεως οἷον περιεχούσης τὰ μέρη τοῦ λόγου· δι' ἧς εἴπερ ὑποσταλήσεται ὄνομα, ἢ ῥῆμα, τὰ τοῦ λόγου οὐ συγκλείεται· εἰ μέντοι πάντα τὰ ὑπόλοιπα, οὐ πάντως ἐλλείπει ὁ λόγος· ὁ αὐτὸς ἄνθρωπος ὀλισθήσας σήμερον κατέπεσεν· ἔγκειται δὲ τὰ μέρη τοῦ λόγου πέρι τὸν σύνδεσμον.. ἐπεὶ προστεθεὶς ἕτερον λόγον ἀπαιτήσει· φέρε οὖν ἐκλεῖψαι τὸ ὄνομα, ἢ τὸ ῥῆμα, καὶ ἐλλείψει ὁ λόγος ἐπιζητῶν ὅπου μὲν τὸ ὄνομα, ὅπου δὲ τὸ ῥῆμα· ὁ αὐτὸς ὁ ὀλισθήσας σήμερον κατέπεσεν· ἢ ὁ αὐτὸς ἄνθρωπος ὁ ὀλισθήσας σήμερον· εἰ μέντοι τις ὑφέλοι τὸ ἐπίρρημα, οὐ πάντως λείψει ὁ λόγος, ὁ αὐτὸς ἄνθρωπος ὁ ὀλισθήσας κατέπεσεν· ἀλλ' εἰ καὶ τὴν μετοχήν, οὐδ' οὕτω λείψει· ὁ αὐτὸς ἄνθρωπος κατέπεσεν· οὐδ' εἰ τὴν πρόθεσιν· ὁ αὐτὸς ἄνθρωπος ἔπεσεν· ἀλλ' οὐδ' εἰ τὸ ἄρθρον· τὸ γὰρ ἄνθρωπος ἔπεσεν, οὐ πάντως ἀναφορὰν ζητεῖ· πρώτην διαφήγησιν τοῦ ἀνθρώπου· ἀντὶ τούτου δέ φημι ὅτι καὶ διὰ τῆς ἀντωνυμίας, αὐτοτελὴς συνίσταται· ὅπου φαμὲν ὅλως· ἐγὼ περιπατῶ· σὺ περιπατεῖς· τότε γὰρ συνίσταται καὶ αὐτοτελής, ὅταν ἀντὶ τοῦ ὀνόματος παραληφθῇ ἡ ἀντωνυμία, καὶ δυνάμει πάλιν ἡ αὐτὴ σύνταξις ᾖ· ὁπότερον δὲ ἀνθυπάγεται ἀντωνυμία, ἐν τοῖς κατὰ μέρος εἰρήσεται· καὶ ποῖα ῥήματα πρὸς τὰς εὐθείας συντάσσεται· καὶ τίνα αὐτῶν πλαγίας ἐπιζητεῖ· καὶ τοῦ ῥήματος δὲ ἀναγκαίως προήκται τὸ ὄνομα· ἐπεὶ τὸ διατιθέναι καὶ διατίθεσθαι σώματος ἴδιον, τοῖς σώμασιν ἐπίκειται ἡ θέσις τῶν ὀνομάτων· δι' ὧν ἡ ἰδιότης τοῦ ῥήματος· λέγω τὴν ἐνέργειαν καὶ τὸ πάθος· παρυφίσταται οὖν ἡ εὐθεῖα ἐν αὐτοῖς τοῖς ῥήμασι, κατὰ μὲν τὸ πρῶτον καὶ δεύτερον ὁριζομένη· κατὰ δὲ τὸ τρίτον, διὰ τὸ ἄπειρα εἶναι τὰ τρίτα, ἀοριστουμένη· χωρὶς εἰ μὴ ἐξαίρετος ἐν ἐνέργεια γίνοιτο· καθάπερ ἐπὶ τοῦ ἀστράπτει ἢ βροντᾷ· κατεκράτησεν οὖν καὶ ἡ ἀπ' αὐτοῦ θέσις, τὸ πάντα τὰ τοῦ λόγου μέρη καλεῖσθαι ὀνόματα, ὡς ἂν αὐτοῦ προϋφεστῶτος· εἰ γὰρ ἐκ τῶν ἐναντίων τις ἐκεῖνο ἀποφαίνοιτο, ὡς ἐκ τῆς κοινῆς ὀνομασίας τῶν λέξεων αὐτὸ ἀπηνέγκατο τὴν ὀνομασίαν ἁπάντων, καὶ κατὰ

τοῦτο ἂν εἴποιεν εἰληφέναι πρώτην θέσιν, ὡς τὴν πρώτην τῶν λέξεων ἐπιδεξάμενον, καθότι καὶ δείκνυμεν ὡς ἕνεκα τῆς εὑρέσεως τῶν στοιχείων, πάντα τὰ στοιχεῖα παρὰ τὸ ἄλφα, ἢ δύναται δῆθεν ὀνομασίᾳ χρῆσθαι τῇ οὐ α· ὅπερ ἀφείλετο τὴν πάντων ὀνομασίαν, διὰ τὴν ἐν ἑαυτῷ γενομένην πρώτην θέσιν· συνδραμόντος καὶ τοῦ ἀπ' αὐτοῦ φθόγγου· συνέτρεχε γὰρ ἡ τοῦ ἄλφα ἀρχὴ τῇ ἐκφωνήσει τοῦ στοιχείου, τῶν ὑπολειπομένων ἰδίας ἐπικτήσεις εἰληφότων· οὐκ ἄλογον δὲ ἐκεῖνο οἶμαι τινὶ ἐπιστήσει τῷ δ· τί ποτε οὐχὶ μετὰ τὴν τοῦ ὀνόματος θέσιν, τὸ ἀντὶ τούτου μόριον παραλαμβανόμενον ὑπετάγη, λέγω δὴ τὴν ἀντωνυμίαν, ἥγε κατὰ ἀμοιβὴν τοῦ ὀνόματος, πάλιν σὺν τῷ ῥήματι συνέχει τὸν λόγον, ἀλλὰ τὸ ῥῆμα· περὶ οὗ ἂν προφανὴς ἀπόδειξις γένοιτο ἤδη· ὡς ἕνεκα τῆς τῶν ῥημάτων συνόδου ἐπενοήθησαν αἱ ἀντωνυμίαι, ἐπεὶ γὰρ τὰ ὀνόματα τρίτων προσώπων εἰσὶν ἀποφαντικά, καθὸ αἱ ἀπ' αὐτῶν θέσεις γινόμεναι· οὔτε ἐκ τοῦ ἀποφαινομένου προσώπου εἰσίν, ὅπερ ἐστὶν ἴδιον πρώτου προσώπου, οὐ γὰρ δήγε ἑαυτοῖς τίθενται οἱ παῖδες τὰ ὀνόματα, οὐδὲ πρὸς αὐτοὺς ἀποφαινόμενοι τὰς ὀνομασίας ποιούμεθα, ὅπερ ἐστὶ δευτέρου προσώπου· τὰ δὲ ῥήματα ἐν τρισὶ προσώποις καταγινόμενα, καὶ διὰ τοῦτο προσεπινοεῖται ἡ ἀντωνυμία ἐν προσώποις καταγινομένη· ἀναπληροῦσα καὶ τὴν θέσιν τοῦ ὀνόματος, καὶ τὴν τάξιν τοῦ ῥήματος· ὡς ἐν τοῖς τοιούτοις· ἐγὼ γράφω· σὺ γράφεις· καὶ διὰ τοῦτο οὐκ ἐνεποδίζετο τό, ἐν τρίτῳ λέγειν προσώπῳ, Ἀρίσταρχος ἀναγινώσκει· ὡσὰν δὴ τρίτων συνόντων· οὐ τοῦτο δὲ παρίστημι, ὡς αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι περιτταί εἰσι λαμβανομένων τῶν ὀνομάτων κατὰ τὸ τρίτον πρόσωπον παραλαμβάνεσθαι· διότι γὰρ καὶ ἐν τρίτοις προσώποις καταγίνονται αἱ ἀντωνυμίαι, ἐν τοῖς κατὰ μέρος εἰρήσεται· καὶ εἰ τοῦτο ἀληθές, προφανὲς ὅτι προϋφέστηκεν ἡ τῶν ῥημάτων τάξις, διὰ τὸ ταῦτα ἐπινοηθεισῶν ἀντωνυμιῶν, τὸ δὲ μεῖζον, τὰ ῥήματα προσώπων τε καὶ διαθέσεων νοουμένων ἐστὶ παραστατικά· ἅπερ ἀπολύτως προεῖται· ὁ δὲ ἐκφαινόμενος πει

πάλιν ἢ γράφω, οὐ πρὸς ἑτέρου προσώπου ἔνδειξιν ὁρίζεται. αἵ τε ἀντωνυμίαι εἰς διάκρισιν προσώπου ἐπινοηθεῖσαι, ἐν μὲν ταῖς πλαγίαις πτώσεσιν, ἦσαν καὶ ἐγκλιτικαί· αἵπερ εἰσὶν ἀπολύτων προσώπων παραστατικαί· παραλαμβάνονται δὲ καὶ εἰς ὀρθὴν πτῶσιν, εἰς παρέμπτωσιν ἀντιδιαστελλομένου προσώπου· ὡς ἔχει τό, παῖδα δέ μοι λύσατε, πρὸς τὸ ὑμῖν μὲν θεοὶ δοῖεν· καὶ τό, ἦ δὲ μὲ χειρὸς ἑλοῦσα, πρὸς τό, φίλων ἀπάνευθεν ἑταίρων. Πῶς οὖν αἱ τῆς εὐθείας πτώσεως ἀντωνυμίαι τὸ ἐγκλιτικὸν πρόσωπον οὐ παρεδέχοντο· ἢ ὅτι προϋφεστώτων τῶν ῥημάτων καὶ ἀναπληρούντων τὸ τῆς εὐθείας ἀπόλυτον πρόσωπον, εἰς οὐδὲν χρέω δὲ ἐπενοοῦντο αἱ τῆς εὐθείας ἐγκλιτικαὶ ἀντωνυμίαι· τάχα παρελκόμεναι πλέον τῶν παραπληρωματικῶν συνδέσμων· οὓς ἀποδείξομεν καὶ ἀναγκαίως παραλαμβανομένους· ἤγουν ἐγκλιθεῖσα τῆς ὀρθῆς πτώσεως παρὰ δωριεῦσι τύ· ἀναγκαίως παρέφθειρε καὶ τὴν εὐθεῖαν μετατεθεῖσα εἰς τὴν συγγενῆ αἰτιατικήν. καὶ φαίνεται ὅτι ἐνέμειναν αἱ τῆς εὐθείας ἀντωνυμίαι οὐ δι' ἄλλο τι, ἢ καθ' ὃ τὰ ῥήματα οὐ δυνάμενα παραστῆσαι τὴν ἀντιδιαστολήν, συμπαρελάμβανε τὴν ἀντωνυμίαν ἕνεκα τοῦ ἐξαιρέτου αὐτῆς ἰδιώματος, λέγω τῆς ἀντιδιαστολῆς.

Καὶ ἡ μετοχὴ δὲ κατὰ τὴν δέουσαν ἀκολουθίαν κατειλέχθη μετὰ τὸ ῥῆμα· τῆς τάξεως ἐμφαινούσης τὴν αὐτοῦ ῥήματος μετάπτωσιν εἰς αὐτήν, ὥς γε ἐν τῷ περὶ μετοχῆς διὰ πλειόνων παρεστησάμεθα· ὡς ἀναγκαίως αἱ μεταλήψεις τῶν ῥημάτων ἐγίνοντο εἰς πτωτικὰ σχήματα, ἐν τοῖς παρεπομένοις γένεσι· τῶν ῥημάτων οὐ δυναμένων τὴν καταλληλότητα παραστῆσαι· προφανὲς δ' ὅτι ἡ ἐγγινομένη θέσις τοῦ ὀνόματος, οὐκ ἄλλως ἂν ἐφυλάχθη, εἰ μὴ μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα, τὸ ἐκ τούτων ἐκ καταφάσεως ἠρτημένον μόριον παρελαμβάνετο· ὡς καὶ μετὰ τὸ ἀρσενικὸν καὶ θηλυκόν, τὸ τούτων ἀποφατικὸν οὐδέτερον. εἰ γὰρ μὴ παραδεξαίμεθα τῶν προκειμένων μορίων προτέραν θέσιν, καταλελείψεται τὸ μὴ τὴν μετοχὴν καλεῖν· μὴ τὴν μὲν οὐδέτερον· ἐπεὶ τινῶν δύο προϋφεστώτων, γένοιτο ἂν ἀποφατικὸν τὸ οὐδέτερον· τινῶν δὲ μεθέξει

ἡ μετοχή· ἀλλ' οὐδὲ ἄλλου μορίου δύναιτο ἄν τις παρέμπτωσιν ποιήσασθαι, λέγω ἀντωνυμίας, ἐπιρρήματος, συνδέσμου· ἄλλου που· οὐδὲ γὰρ τῆς τούτων ἰδιότητος μετέχει. Οὕτως ἔτυχε δὲ καὶ ἡ τοῦ ἄρθρου τάξις προσαρρήγνυσι· ὑπαγορεύουσα μὲν τὸ συνεζευγμένον τοῖς πτωτικοῖς, ἐκκλίνασα δὲ τὴν ἀπαράδεκτον τῶν ἄρθρων ἀντωνυμίαν· ὅπου καὶ μέχρι ῥήματος ἡ τούτου συνάρτησίς ἐστι· τὸ φιλολογεῖν καλόν ἐστι· τῷ περιπατεῖν ἥδομαι· οὐδ' ἀνύσεται ἐπιστάσεως ἡ ὑποῦσα ἀντωνυμία· ὅπου καὶ παρεκινδύνευε μετὰ τὴν τοῦ ὀνόματος θέσιν παραλαμβάνεσθαι. πρόδηλον δ' ὅτι καὶ τὸ ἀντί τινος παραλαμβανόμενον, μεταγενεστέραν θέσιν ὁμολογεῖ. καὶ εἰ τὸ ἄρθρον μετὰ ὀνόματος, καὶ ἡ ἀντωνυμία ἀντὶ ὀνόματος, δέδεικται ὅτι τὸ συνυπάρχον ἄρθρον τῷ ὀνόματι πρεσβύτερόν ἐστι τῆς ἀντωνυμίας. Ἴσως γὰρ καὶ αἱ ἀναφορικαὶ ἀντωνυμίαι, ἀντὶ ὀνομάτων εἰσὶ τῶν σὺν ἄρθροις λεγομένων· οὐ γὰρ δή γε τὰ ὀνόματα ἐξ αὐτῶν ἀναφορὰν παρίστησιν, εἰ μὴ συμπαραλάβοιεν τὸ ἄρθρον· οὗ ἐξαίρετός ἐστιν ἡ ἀναφορά. δῆλον μέντοι ἄρα ἀντὶ ἄρθρων παραλαμβάνεται αὐτὰ, ὅπου τὰ ἄρθρα τῆς πρὸς τὰ ὀνόματα συναρτήσεως ἀποστάντα εἰς τὴν ὑποτεταγμένην ἀντωνυμίαν μετέπεσε· ὡς ἐπὶ τοῦ στίχου· ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· ὃς γὰρ ῥα μάλιστα ἤνδανε κηρύκων· τὸν δ' ἀπαμειβόμενος· ὑπὲρ τῆς τοιαύτης συντάξεως κατὰ τὸν προσήκοντα λόγον ἐντελῶς τὰ τῆς συντάξεως ἀποδείξομεν. Φαίνεται δ' ὅτι ἡ πρόθεσις, οὐ πρώτην ἔχουσα θέσιν ἐν ἀρχαιοτέρᾳ τῶν ἄλλων λέξεων, τῆς δὲ κατειλέχθαι· ὅπου γε κατὰ τὴν ἰδίαν ἔννοιαν τὴν ὀνομασίαν εἴληχεν· ἀλλ' ἐκ τοῦ τῶν προϋποστάντων μορίων προτίθεσθαι· ἅπερ εἰ μὴ προϋφεστήκοι, οὐδ' αὕτη συστήσεται· καθὼς ἐπιδείκνυμεν κατὰ τὰς μετοχάς· ἐνθάδε γοῦν ἐν τῇ τάξει ἔτυχεν· εἴποι ὅτι μὲν κατὰ σύνθεσιν· ὅτε δὲ κατὰ παράθεσιν προτίθεται τῶν προκατειλεγμένων μορίων· ὥστε μεταγενεστέρα μέν ἐστι τῇ φύσει· τῇ τάξει δὲ ἀρκτική· καθότι ἐστὶ μόνον κἀπὶ τοῦ καλουμένου προτακτικοῦ ἄρθρου· ἔτι γε δὴ ὅτι καὶ προτακτικὴ καὶ πρεσβυτέρα τῶν ὀνομάτων· ἰδοὺ γὰρ παρατιθέμενοι τοῖς ὀνόμασι, τῶν ἐκπαλαι τοῦ τῶν ἱερῶν ἀντί

λεῖ. Κἀπειδὴ τὸ ἐπίρρημα ῥήματός ἐστι δύναμιν ἐπιθετικὴν σύνταξις, ὡς καὶ ἡ ἐπιγινομένη θέσις τοῦ ὀνόματος μαρτυρεῖ, διότι ῥοῦντι ἄρα γε τὸ ἐπίρρημα προθέσεως, τῆς κατὰ σύνθεσιν καὶ κατὰ παράθεσιν προτιθεμένης τῶν ὀνομάτων. ἐπὶ πᾶσι δὲ τοῖς καταλελειμμένοις, ὁ τούτων συνδετικὸς σύνδεσμος παραλαμβάνεται. οὐδὲν δυνάμενος ἰδίᾳ παραστῆσαι χωρὶς τῆς τῶν λέξεων ὕλης. καθάπερ οἱ τῶν σωμάτων δεσμοὶ οὐκ εἰσὶ χωρὶς ἀνυποστάτων ὄντων τῶν σωμάτων. Ἔστι δὲ καὶ διὰ πλειόνων τὰ τῆς τάξεως ἐπιδείξασθαι. ἀλλ' ἐπεὶ οὐ περὶ ταύτης σκοπὸς ἡμῖν πρόκειται, αὐτοῦ που περιγραπτέον τὸν λόγον. κἀκεῖνο γε πρὸ τούτων ἐπισκεπτέον πρὸς τῷ κατὰ μέρος τοῦ λόγου συντάξεως. Ὅτι δή ποτε τὰ πλεῖστα τῶν μορίων εἰς δύο μέρη λόγου ἐχώρησε. λέγω τὸ ὀνοματικὸν καὶ ἐπιρρηματικόν. ἢ διὰ τί οὐκ εἰς ἓν ὀνοματικὸν ἢ γοῦν ἐπιρρηματικὸν αἱ πεύσεις πλειόνα. τίς. ποῖος. πόσος. πόστος. πηλίκος. ποδαπός. πῶς. πότε. πηνίκα. ποῦ. πῆ. πόθεν. ἢ καὶ αὕτη ἀπόδειξίς ἐστι τοῦ τὰ ἐμψυχότατα μέρη τοῦ λόγου δύο εἶναι, ὄνομα καὶ ῥῆμα. ἅπερ οὐκ ἐν γνώσει ὄντα, τὴν κατ' αὐτῶν πεῦσιν ἔχει συνεχῶς παραλαμβανομένην. ἣν δὲ καὶ ἐν πλείοσιν ὀνοματικοῖς καὶ ἐν πλείοσιν ἐπιρρηματικοῖς διὰ λόγον τοιοῦτον. ὕπαρξιν τινὸς ὑποκειμένου ζητοῦντές, φαμέν, τίς κινεῖται. τίς περιπατεῖ. τίς λαλεῖ. προδήλου μὲν οὔσης τῆς κινήσεως περιπατήσεως καὶ λαλιᾶς. τοῦ δὲ φθεγγομένου προσώπου ἀδήλου καθεστῶτος. ἔνθα καὶ αἱ ἀνθυπαγόμεναι ὀνοματικαὶ γίνονται προσηγορικαὶ ἢ κύριαι. τῶν κυρίων ἐμφανιζόντων καὶ τὴν οὐσίαν. φαμὲν γὰρ ὁ ἄνθρωπος περιπατεῖ ἢ Τρύφων. ἢ ἵππος. ἐγκειμένου πάλιν τοῦ ἀνθρώπου. ἢ κύριον τὸ ἀπὸ τοῦ ὀνόματος παραλαμβανόμενον λέγω τοῦ κυρίου. ὅτι φαμὲν ἐγώ. κἀπεὶ οὐκ ἐμφανῆ ὄντα τὰ ἐπιβαίνοντα τοῖς προκειμένοις ὀνόμασιν, αὐτὸ δὲ τὸ τίς, ὀνοματικὸν ὂν ἐζήτει, μὴ ἐπιδεῖξαι τὸ ποῖον ἢ τὸ πόσον ἢ τὸ πηλίκον, προσεπινοεῖται ἡ ἐκ τούτων πεῦσις. ὅτι κατὰ μὲν ποιότητα ζητοῦντες λέγομεν ποῖος. κατὰ δὲ ποσότητα, πόσος. κατὰ δὲ πηλικότητα, πηλίκος. καὶ ἐν παραγωγῇ ἐθνικῇ τῇ ἀπὸ τοῦ

ποῖος τὸ ποδαπός· ὥστε τὰ ἀνθυπάγεσθαι μὲν τῷ ποῖος προειλημ-
ματισμένον ἀπὸ τοῦ τινὸς ὡς κατὰ ἐπιθετικὴν πτῶσιν εἰ τύχοι, ὁ
γραμματικός· ὁ μουσικός· ὁ δρομεύς· ἔχοντος τοῦ λόγου τὴν δι-
στὶς ἀναστὼς ἦν; Τρύφων· πότερος ἢ ποῖος ὁ γραμματικὸς ἢ ὁ ῥή-
τωρ; ἅπαντα τὰ δυνάμενα ἐπισυμβαίνειν τοῖς ἐκ τοῦ τινὸς ἀνθυ-
παγομένοις ὀνόμασι κατὰ ἐπιθετικὴν ἔννοιαν· διότι μέντοι τὰ
ἀνθυπαγόμενα μετὰ ἄρθρου τὴν ἀνταπόδοσιν ἔχει, ὕστερον εἰρή-
σεται. ἀλλ᾽ ἐπειδὴ καί τινά ἐστι δι᾽ ἐνικοῦ χαρακτῆρος πλῆθος ἐμφαί-
νοντα, καὶ τούτων τῇ ἐννοίᾳ ἡ πεῦσις χαρακτῆρα ἀπένειμε. λέ-
γω δὲ τῷ πόσος· ὅτι ἐπὶ πλήθους πυνθανόμεθα. καὶ ὅτι τάξιν τὸν
καθέκαστον ἀριθμὸν ἐπὶ πλήθους ἐπιζητοῦμεν· ὡς ἐν τῷ πόστος· καὶ
ὡς προείπομεν ἐπὶ μεγέθους· πηλίκος· καὶ ἐπὶ ἐθνικῆς ἐννοίας ποδα-
πός· ἢ εἴθε τι ἀνθυπάγεται καὶ τὰ ἐν ποιότητι εἰ τύχοι· ὅτι λέγομεν
ποδαπός ἐστι Τρύφων; μέλας· ἢ λευκός· ἤ τι τοιοῦτον· ἅπερ οἶμαι
οὐκ ἀληθῶς ἀνθυπάγεσθαι, τῇ πρὸς τὸ πρωτότυπον πτώσει· λέγω
τῇ ποῖος· ᾧ λόγῳ καὶ τὸ ἡμεδαπὸς ἔχει τὴν ἀντωνυμικὴν πτῶ-
σιν· καὶ ἔτι τὸ ὑμεδαπός, τοῦτο παρὰ τὸ ἄλλος ἀλλοδαπός· πά-
λιν τὴν ἀναίρεσιν τῶν προσώπων τῆς ἐθνικῆς παραγωγῆς ἐπαγ-
γελλομένης· τούτῳ μέντοι διοίσοντα· ἢ τὰ μὲν ἐκ τοῦ ποῖος ἀνθυ-
παγόμενα μετὰ ἄρθρου ἐκφέρεται· ποῖος Τρύφων; εἰ τύχοι ὁ μέλας
ἢ ὁ λευκός; ὁ πότερος Αἴας; ὁ Λοκρὸς ἢ ὁ Τελαμώνιος; ποδαπὸς
ἐστὶ Τρύφων; τὸ μὲν ἀνενδοίαστον ἡ ὑπεὶς, Ἀλεξανδρεύς· Ἀθηναῖος·
τὸ δὲ παρεμπίπτον διὰ τὴν πρὸς τὸ πρωτότυπον ὡς ἔφαμεν πτῶ-
σιν, μέλας ἢ λευκός· ἤδη μέντοι ὑπ᾽ ὄψιν πιπτούσης τῆς οὐσίας
καὶ τῆς ποιότητος· καὶ ἐπὶ τῶν συμπαρεπομένων ἔτι προσγίνεται
πεῦσις ἡ κατὰ τῆς ἰδιότητος τοῦ ὀνόματος· ἀναφορᾷ γοῦν ὁ Πρίαμος
πάντα τὰ προειρημένα· τὴν μὲν οὐσίαν, ἐν τῷ, ὅδε· καὶ τὸ ἔθνος, ἐν τῷ
ἀχαιὸς ἀνήρ· καὶ τὴν ποιότητα, ἐν τῷ ἠΰς· καὶ τὴν πηλικότητα,
ἐν τῷ μέγας· οὐ μὴν τὴν ἰδιότητα τοῦ ὀνόματος· ὅθεν ἀναπλη-
ροῦται ἐν τῷ, οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος· καὶ τὰ ἐπιῤῥήματα δὲ
φέρεται ἐπὶ τὰς αὐτοῦ μόνας διαθέσεις ἢ κατὰ ποιότητα τὴν πρό-

ξενοι· ὡς φαμέν· πῶς ἀμείνων· ἀνθυπάγοντες δυνάμει ἐπιθετικὸν τὸ ἐπίρρημα· εἰ τύχοι, καλῶς· ῥητορικῶς· φιλοσόφως· ἢ τοῦ τοῖς ἐπιζητουμένοις· χρόνον δὲ, καθ᾽ ὃν τὰ τῆς διαθέσεως ἐγένετο· πότε· πηνίκα· οἷς ἀνθυπάγεται πάλιν, ἐχθές· πρώην· πάλαι· ἢ τόπον· ἐν ᾧ τὰ περὶ πράξεως γίνεται· ποῦ νῦν δ᾽ αὖ ῥα κιὼν λίπες Ἕκτορα δῖον· καὶ διαφορᾷ τῇ ἐκ τόπου· ἢ εἰς τόπον· πῇ ἔβη Ἀνδρομάχη; πόθεν παραγένου· γινώσκει γὰρ τὸν ὁδυσσέα, πόθεν ἦλθεν Ἐλπήνωρ· καὶ οὐ φησὶ πόθεν ἦλθες· ὃ ᾔδειν τὴν ἔφοδον· διό φησι πόθεν ἦλθες; ὡς μὲν οὖν τὰ προκείμενα μόρια ἀναγκαίως καὶ ἐπιρρηματικά ἐστιν ἢ ὀνοματικὰ, ἀποδείξει· περὶ ὧν τῆς συντάξεως κατὰ τὸ ἑξῆς εἰρήσεται. Ἐπεὶ οὖν τὰ ὑπόλοιπα τῶν μερῶν τοῦ λόγου ἀνάγεται πρὸς τὴν τοῦ ῥήματος καὶ τοῦ ὀνόματος σύνταξιν, ἑξῆς δὲ τὴν τοῦ ὀνόματος ἔχει θέσιν, δέον διαλαβεῖν περὶ ἑκάστου ὅτι παραλαμβανόμενα δὲ τὸ ἀνθυπαγόμενα· ἢ καὶ συμπαραλαμβανόμενα· ὡς αἱ ἀντωνυμίαι, ἀντὶ τῶν ὀνομάτων· δὲ μετὰ τῶν ῥημάτων, καὶ ἐπὶ τῶν ἑξῆς μερῶν τοῦ λόγου:~

δ´ ὍΤΙ ΠΑΡΥΦίσταται παντὶ μέρει λόγου οὐδὲν σημαίνοντι τὸ ἰδικὸν ἄρθρον.

ΤΑ Μὲν οὖν ἄρθρα ἡ τῶν ὀνομάτων σύνταξις παραλαμβάνει· καὶ ἔτι ἡ τῶν ῥημάτων· ὡς ἔστιν ἐπὶ τῶν ἀπαρεμφάτων φάναι· τὸ φιλολογεῖν ὠφέλιμον· τοῦ περιπατεῖν ἥδομαι· καὶ ἔτι παντὶ μέρει λόγου οὐδὲν σημαίνοντι πλέον, ἢ αὐτὸ μόνον τὸ ὄνομα τῆς φωνῆς· ὥστε πρὸς τὸ ὑπακουόμενον ἔξωθεν τὸ ἄρθρον ἀνατείνεσθαι·

Ὁ μὲν, προτακτικός ἐστι τοῦ διά· ἀνάγεται γὰρ πρὸς τὸ σύνδεσμον. τὸ λέγε, προστακτικόν ἐστι· δῆλον ὡς πρὸς τὸ ῥῆμα· καὶ ἐπὶ τῶν πτωτικῶν· ὅτι γὰρ φαμὲν ὁ Ἀρίσταρχος, πρὸς τὸ νοούμενον γένος τὸ ἄρθρον παρατίθεμεν· ὅτι οὕτω, τὸ ἀρίσταρχοι προπαροξύνεται, τὸ ἀρίσταρχοι εἰσὶ οἳ λέγει, πρὸς τὸ ὄνομα τῆς φωνῆς φαμὲν, ὑπακουομένου τοῦ ὀνόματος· καθότι καὶ εἴ τις οὕτως εἴπῃ· ἡ σημεῖον· ἡ χείρ· διὸ καὶ τὸ ἰδικὸν πάντοτε τὰ τοιαῦτα ἄρθρα παραλαμβάνει· πᾶν γὰρ μέρος λόγου τὸ ἰδικόν ἐστιν· ἐξ αὐτῶν γε μὴν παρυφίσταταί τινα πληθυντικά· οἱ γὰρ τοῦ ἄνθρωποι, ὅσον ἐφ᾽ ἑαυτοῦ κατὰ τὸν μερισμὸν τοῦ λόγου, παριστά-

ρεῖ ἐκ τοῦ δηλουμένου πληθυντικὴν γίνοιτ᾽ ἄν· ἀλλὰ καὶ ὅτι τινὲς ἀποφαίνονται ἀσυνάρθρους τὰς ἀντωνυμίας, οὐ πρὸς τὴν φωνὴν ἀποτείνονται· πρὸς δὲ τὸ ἐξ αὐτῶν δηλούμενον· ὃ μετὰ δείξεως ἐστὶ προσώπων παραστατικόν· ἐπεὶ πάλιν ὅσον ἐφ᾽ ἑαυτῇ ἡ φωνὴ προσλαμβάνει ἄρθρον· ὅτι φαμὲν, εἰ ἐγὼ μόνος ὀρθοτομεῖται:~

ΟΤΙ οὐκ εἰς διάκρισιν τοῦ γένους τὰ ἄρθρα ἐπινοήθη.

ΟΥ Μετρίως δέ τινες ἐσφάλησαν ὑπολαβόντες τὴν παράθεσιν τῶν ἄρθρων εἰς γένους διάκρισιν παρατίθεσθαι τοῖς ὀνόμασι· πρὸς οὓς ἀντείρηται διὰ πλειόνων ἐν τῷ περὶ γενῶν. ἐν δὲ τῷ νῦν δὲ ἀπαιτούσης τῆς συντάξεως, ὀλίγα πρὸς αὐτοὺς ἐκθησόμεθα· ἅπερ διελέγξει τὴν διεψευσμένην αὐτῶν δόξαν. Πρῶτον, ὅτι οὐδὲν μέρος λόγου ὑπενοήθη εἰς διάκρισιν ἀμφιβολίας ἑτέρου μέρους λόγου· ἕκαστον δὲ αὐτῶν ἐξ ἰδίας ἐννοίας ἀνάγεται· ὡς δέδεικται ἐν τοῖς ἑξῆς· ἐπιλύεται δὲ γοῦν ἡ τοῦ γένους σύνοδος ἐκ τῶν παρεπομένων μερῶν τοῦ λόγου· καθότι καὶ τὰ ἄλλα μόρια ἐν πλείοσι σημαινομένοις γινόμενα, διὰ μιᾶς φωνῆς τῇ προφερομένῃ συντάξει ἀπολύεται τῆς ἀμφιβόλου προφορᾶς· οὐ συνόντος γοῦν τοῦ ἄρθρου ἐν τῷ, σώφρονος Ἑλένη ἡρπάσθη ὑπὸ Ἀλεξάνδρου, τὸ ἀμφίβολον τοῦ σώφρων ἐκ τοῦ συμπαρειμένου ἀπέβαλε· τὸ μέντοι ἐκ τῶν θεῶν ἐπικλώθη Ὀδυσσεῖ τὸ μὴ παθεῖν κατὰ θάλασσαν, κἂν μετὰ ἄρθρου λέγηται, ἀλλ᾽ ὅμως ἐπικρατεῖται πρὸς τῆς ἀμφιβολίας τοῦ γένους, πότερον οἱ θεοὶ, ἢ αἱ μοῖραι· πῶς οὖν οὐ γελοῖον εἰς διάκρισιν γένους παραλαμβάνεσθαι τὰ ἄρθρα· ὁπότε ἄρθρου μὲν ὄντος, ἀμφιβάλλεταί τινος· μὴ ὄντος δὲ, ἀπολύεται τῆς ἀμφιβολίας. Δεύτερον οὐκ ὤφειλε τὸ εἰς διάκρισιν γένους παραλαμβανόμενον, εἰς τὸ αὐτὸ ἐμπίπτειν, τὸ, δι᾽ ὃ καὶ αὐτὸ ἐπενοήθη. Λέγω δὴ τὴν σύγχυσιν τοῦ γένους· ὁποῖόν ἐστι τὸ, τῶν· ἢ τοῖν, ἢ ἄλλο τι τοιοῦτον, ὃ κοινὸς λόγου κατηγορεῖται· ἢ εἰ παραδεξαίμεθα τὸ, ὦ ἄρθρον ἁπάντων τῶν γενῶν μετὰ τῶν συνόντων ἀριθμῶν, ἐπινοηθήσεται ἄλλα μὲν ἄρθρα εἰς τὴν τῶν τοιούτων ἄρθρων διάκρισιν· ἢ εἴπερ ἔσθ᾽ ὅτε ταῦτα διὰ τῶν συνόντων ὀνομάτων τῆς κατὰ τὸ γέ-

νος ἀμφιβολίας ἀπολύεται· ὅτι φαμὲν τῶν μουσῶν, οὐδὲν κω-
λύει φάναι, ὡς τὰ ὀνόματα ἐπινοήθη εἰς διάκρισιν τῶν ἐν τοῖς ἄρ-
θροις γενῶν. ὅπερ εὔηθες· ἐκ γὰρ ἐπιμένουσιν οἱ μὲν αὐτὰ ἀπολύειν τῆς
ἀμφιβολίας τῶν γενῶν· καὶ χωρὶς τούτου δέ ἐστιν ἐκεῖνο προσθεῖναι· ὡς ἐ-
κείνων μόνον τοῖς ἀμφιβολίαν τοῦ γένους προβαλλομένοις παρατί-
θεσθαι τὰ ἄρθρα, ἤπερ τοῖς δυναμένοις δι' ἑαυτῶν τὸ γένος ἐνδείξα-
σθαι· ὡς ἐπὶ τοῦ θεός· ὅτι φαμὲν ὁ θεὸς καὶ ἡ θεός· ὁ ἵππος καὶ ἡ ἵππος·
ἤπερ τῷ, γυνὴ προσκείσεται· ὅπου γε καὶ σχεδὸν τὸ ὄνομα τοῦ γενι-
κοῦ γένους ἔγκειται· νυνὶ δὲ τῷ μὲν γυνὴ προσκείσεται ἔν τισι λό-
γοις μετὰ τῆς δεούσης συντάξεως· τῷ δὲ θεὸς ἢ ἵππος ἢ τινι τῶν
τοιούτων, κατ' οὐδένα τρόπον παρατεθήσεται. Ἐγκείσθω δὲ ὑ-
ποδείγματα τοῦ μὲν προτέρου, πῶς ἡ γυνή σοι ὕβρισε· τὸ γὰρ δί-
χα τοῦ ἄρθρου, ἀσύνετον· τοῦ δὲ ἑτέρου θεός τίς σοι ἠλέησεν· ἀ-
δύνατον γὰρ ἐπὶ τούτου τὸ ἄρθρον προστεθῆναι· καθότι παρεστή-
σαμεν καὶ ἐν τῷ περὶ γενῶν· ἐπὶ τοῦ μήτις οὖν θήλεα, θεῶν τό-
σι, μή τέ τις ἄρσην, ὡς ἀκριβὲς προσέθηκε τὸ θήλεα· σχεδὸν
γὰρ πρὸς ἥρας καὶ ἀθηνᾶς ἀποτείνεται· τὸ δὲ μήτε τις ἄρσην, σχε-
δὸν προσέρριπται· ὑπὲρ τοῦ μὴ ἄρτι χρυσ αὐτὸν πρὸς τοὺς δαί-
μονας ἀποφαίνεσθαι· καὶ σαφὲς ὅτι ὅπερ ἔμελλε διακρίνειν
τὸ ἄρθρον παρατεθὲν, ἐκ παρεπομένου, τοῦτο τὸ θήλεα καὶ τὸ
ἄρθρον ἀφηγήσατο· ἐπεὶ τὸ ἴδιον τοῦ ἄρθρου οὐκ ἠδύνατο ἡ σύν-
ταξις παραδέξασθαι, ἀορίστου μένου τοῦ λόγου· καὶ ἴσως τὶς φή-
σει· οὐχὶ οὖν καὶ ἐν ἄλλοις ἐλλειπτική ἐστι τῶν ἄρθρων ἡ σύνταξις;
πρὸς ὃν φήσομεν· ὡς δυνάμει τὰ ἐλλείποντα παράκειται· ἐμφα-
νιζόμενα, διὰ τοῦ ἐπιζητοῦντος αὐτὰ λόγου· ἐπεὶ μέντοι τῆς
προκειμένης συντάξεως, τοῦ καταλλήλου οὐκ ἐπιζητοῦντος,
τὰ τοῦ γένους συνείχετο· καὶ διὰ τοῦτο οἶμαι πάνυ ἀκρι-
βῶς διὰ τῆς ὀνομασίας τῶν γενῶν ἀνεπλήρωσε τὸν λόγον.
λέγω τοῦ θήλεα καὶ τοῦ ἄρρην:~

ς' Ὅτι μετὰ ἀναφορᾶς τὰ ἄρθρα καὶ ἄλλα τινὰ σημαίνει.

Ἔστιν οὖν καθὸ καὶ ἐν ἄλλοις ἀπεφηνάμεθα ἴδιον ἄρθρου ἡ ἀναφορά· ἥ ἐστι προκατειλεγμένου προσώπου παραστατική. ἀναφέρεται δὲ τὰ ὀνόματα ποτὲ μὲν κατ' ἐξοχήν, ὅτε φαμέν· οὗτός ἐστιν ὁ γραμματικός· τῆς γὰρ ἔστι ἐμφαίνοντες ὁ πάντων προύχων· ὡς ἔστιν εἰπεῖν· ὁ γλυκώτερος· τῇ δὲ γὰρ καὶ ὡς συλλαβὴν τὸ ἄρθρον ἀπηνέγκατο ὁ ποιητὴς ἀπενεγκάμενος καὶ τὴν πάντων ἐξοχήν. καὶ τὴν πρὸς ἁπάντων προπεπερασμένην γνῶσιν. ἢ καὶ κατὰ μοναδικὴν κτῆσιν· ὁ γὰρ οὕτως ἀποφαινόμενος δοῦλός σου ταῦτα ἐποίησε, πλῆθος ὑπαγορεύει δούλων· ὁ δὲ μετὰ τοῦ ἄρθρου, ὁ δοῦλός σου ταῦτα ἐποίησε, μοναδικὴν κτῆσιν ὑπαγορεύει. ἢ καὶ κατ' αὐτὸ μόνον ἁπλῆν ἀναφοράν· ὅτε φαμὲν, ἦλθέ σε ζητῶν· ὁ γραμματικός σε ἐζήτει· νῦν γὰρ οὕτως ἀκουομένου τοῦ, ὁ γραμματικὸς καθὼς πρόκειται. ἔθος τε ἦν καὶ προληπτικώτερον πρόσωπον ἀναφέρειν· ὅτε δὴ καὶ ἀοριστῶδες φαίνεται· ὅτε οὕτω φαμέν· ὁ τυραννοκτονήσας, τιμάσθω· τὸ γὰρ ὡς ἐσόμενον πρόσωπον ἀνεπόλησεν· ὅμοιον καθέστως ἐκείνῳ·

» Κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξο-
» χος ἄλλων, ὅς κέ σ' ἐέδνοισι βρίσας οἶκον δ' ἀγάγηται·

γὰρ ὅμοιόν ἐστι τῷ, κεῖνος ἀνήρ ὅτι μὲν ὁ κωμῳδίας ἐπεὶ τοῦτο μὲν, τὸ προγεγονὸς πρόσωπον ἀναπλεῖ· τὸ δὲ προκείμενον τὸ ἐσόμενον· ἀτελὴς θέμα, ὡς δύναται προϋφεστὼς πρόσωπον ἀναφέρειν, τὸ, ὁ τυραννοκτονήσας τιμάσθω. φέρε γὰρ εἰ τύχοι τυραννοκτονῆσαί τινα, καὶ μήπω τι τιμηθῆναι. μεταβάλλοντες δὲ τοῦ τοιούτου φαμέν τινα, ὁ τυραννοκτονήσας τιμάσθω· ὅπερ πάνυ ἐμφαντικώτερον γίνεται μετὰ ὁριστικῆς προφορᾶς· καὶ μάλιστα ἐπὶ τῶν ἀρχομένων χρόνων· ὁ τυραννοκτονήσας τετίμηται· δειχθήσεται δὲ, ὡς καὶ πλήθους ἔθος τε ἔμφασιν ποιεῖ:~

## ζ' ὍΤΙ ἈΔΎΝΑΤΟΝ ΤᾺ ἘΝ ΓΕΝΙΚῆι Ἢ ΔΟΤΙΚῆι ΝΟΟΎΜΕΝΑ ΣΤΟΙΧΕῖΑ ΧΩΡῚΣ ἌΡΘΡΟΥ ΛΈΓΕΣΘΑΙ.

Κατὰ τὰς προειρημένας οὖν ἐννοίας τοῦ μορίου, σκεπτέον εἰ πᾶσι τοῖς πτωτικοῖς συμφέρεται· καὶ τίνα τούτων ἀδυνατεῖ τοῦ ἄρθρου ἐξαι-

τὴν συνάρτησιν ἀναδέξασθαι· καὶ τίνα ἃ ἅπαξ ἀναδεξάμενα αὐτὰ ἐμμενήσει, καθάπερ ἰδίας συλλαβάς. ἀλλὰ πρῶτόν γε ἀρκτέον ἀπὸ τῆς τῶν στοιχείων συντάξεως, ὡς πρὸ τὰ ἄρθρα. τὰ γοῦν στοιχεῖα ἐν εὐθείᾳ καὶ αἰτιατικῇ, ἤτοι χωρὶς ἄρθρου λέγεται, ἢ σὺν ἄρθρῳ. καὶ χωρὶς μὲν ἄρθρου, ἡνίκα φαμὲν οὕτω· τοῦτο α ἐστί· τοῦτο β ἐστί· νῦν εὐθείας νοουμένης· ὡς εἰ καί τις φαίη, τοῦτο ἀγαθός ἐστι· ἵππος ἐστι· διδάσκει γὰρ ἡ τοῦ ῥήματος σύνοδος συντείνουσα ἐπὶ τὴν εὐθεῖαν. κατὰ δὲ αἰτιατικὴν, τοῦτο ἄλφα προσαγορεύει ὁ διδάσκαλος· τοῦτο βῆτα. πάλιν ἐκ τῆς μεταβάσεως τοῦ ῥήματος συντεινούσης ἐπὶ τὸ, διδάσκαλος. καὶ τοῦ στοιχείου νοουμένου κατ᾽ αἰτιατικήν. ὡς εἰ γὰρ οὕτως ἀποφαινόμεθα· τοῦτον τὸν χαρακτῆρα σημαίνει ὁ διδάσκαλος. σὺν δὲ ἄρθρῳ, ὅτι οὕτω φαμέν· τὸ α δίχρονόν ἐστι· τὸ α τελικόν ἐστι θηλυκῶν καὶ οὐδετέρων. καὶ ἔτι κατ᾽ αἰτιατικήν· τὸ α ἀπήλειψεν ὁ παῖς. ὡς εἰ γὰρ τὸν χαρακτῆρα ἀπήλειψε. κατὰ μέντοι γενικὴν καὶ δοτικὴν ἀδύνατον ἐκστῆναι τὸ ἄρθρον ἀπὸ συντάξεως τῶν στοιχείων. ὅτι οὕτω φαμὲν ἔτι· τοῦ α παρέπεται τὸ ἐκτείνεσθαι καὶ συστέλλεσθαι· τῷ α τὴν κεραίαν ἀπήλειψε. τοῦ α ἡ ἐκφώνησις μεγίστη ἐστίν. ἔστι δὲ αἰτία τῆς συντάξεως ἥδε. μονόπτωτά ἐστι τὰ στοιχεῖα. καὶ πρῶτον· ὅτι ἡ αὐτῶν πρώτη ἐκφώνησις καὶ θέσις ἐν εὐθείᾳ ἐστίν. αὕτη γὰρ ἄγνωστος οὖσα τοῖς ἀρτιμαθέσι τῶν παίδων, ἀναγκαίως δίχα ἄρθρου λέγεται. εἴπερ τὸ ἄρθρον προϋφεστῶσαν γνῶσιν δηλοῖ. ὁ δὲ παῖς ἀγνοεῖ τὸ στοιχεῖον. ὑγιὲς ἄρα φαμὲν κατὰ τὰς διδαχάς, τοῦτο α ἐστίν. ἤδη μέντοι ἀναλαβόντες τὴν γνῶσιν αὐτοῦ, ὡς προδεδιδαγμένοι, ἀναγκαίως τὴν κατ᾽ αὐτοῦ ἀναπόλησιν παρεμφαίνοντες, πάντως καὶ σὺν ἄρθρῳ ἀποφαινόμεθα· τὸ α, τελικόν ἐστι θηλυκῶν καὶ οὐδετέρων. τουτέστιν ὃ προεμάθομεν ἄλφα. ἤδη μέντοι λημματιζομένης τῆς εὐθείας, σύνεστι καὶ ἡ ὁμόφωνος αἰτιατικὴ ταῖς αὐταῖς ἐφόδοις. καὶ μετὰ ἄρθρου λεγομένη καὶ χωρὶς ἄρθρου. πάλιν γὰρ κατὰ τὴν πρώτην θέσιν, τοῦτο α προσαγορεύει ὁ διδάσκαλος. καὶ πάλιν κατὰ τὴν προϋποκειμένην γνῶσιν, τὸ α ἀπήλειψεν ὁ παῖς. ἡ μέντοι γενικὴ καὶ ἡ συμπαθοῦσα αὐτῇ δοτικὴ, οὐκ ἐ-

B B ii

χουσα διὰ τῆς φωνῆς τὴν γενικὴν ἀποδεῖξαι, ἐπεὶ ἄκλιτα τὰ στοιχεῖα, βοηθεῖται τῇ τοῦ ἄρθρου κλινομένου γενικῇ· οἷον τοῦ α ἡ ἐκφώνησις μεγίστη ἐστί· καὶ ἔτι ἐπὶ τῆς δοτικῆς ὁ αὐτὸς λόγος. εἰ γὰρ τὸ ἄρθρον τις ἀφέλοι, ἡ λειπομένη φωνὴ ὡς εὐθεῖα μὲν λέγεται· καὶ καθὼς εἴπομεν ἡ πρώτη θέσις, εὐθεῖά ἐστι· καὶ οὕτω γίνεται ἀκατάλληλα τοῦ λόγου· α ἡ ἐκφώνησις μεγίστη ἐστίν. οὐ γὰρ μᾶλλον τὸ α τὸ ἔστι συντετάξεται, ἤπερ τὸ μεγίστη ἐκφώνησις· ἐπεὶ δύο οὖν εὐθεῖαι οὐδέποτε συνίστανται, ὡς δύο εὐθειῶν νοουμένων, ἀκατάλληλα τὰ τοῦ λόγου γίνεται. ὁ αὐτὸς λόγος κἀπὶ τῆς δοτικῆς. τῷ α πρόσκειται τὸ ι. ἐὰν γὰρ εἴπωμεν, α πρόσκειται τὸ ι, πάλιν ὡς δύο εὐθειῶν νοουμένων, ἀκατάλληλα τὰ τοῦ λόγου γίνεται. ὅτι δὲ διὰ τὸ ἄκλιτον τῆς φωνῆς ἡ τοῦ ἄρθρου πρόθεσις γίνεται, σαφὲς κἀκ τῶν κλινομένων, καὶ κατὰ φωνήν. δίωνος ἡ ἐκφώνησις, μεγίστη ἐστίν. ἰδοὺ γὰρ μὴ συνόντος τοῦ ἄρθρου, κατάλληλα τὰ τοῦ λόγου ἐστίν. ὁ αὐτὸς λόγος κἀπὶ τῆς δοτικῆς. δίωνι πρόσκειται τὸ ι. ἐδείχθη ἄρα ἡ γενικὴ καὶ δοτικὴ τῶν στοιχείων, ὡς ἀναγκαίως ἐμεθήκει τὰ ἄρθρα.

ιʹ ΟΤΙ ΟΥ ΤΕΚΜΗΡΙΟΝ ΤΟΥ ΤΑ ΑΠΑΡΕΜΦΑΤΑ ΜΕτ᾽ ἄρθρου μὲν λεγόμενα ὀνοματικὰ εἶναι· χωρὶς δὲ τούτων ῥήματα :~

Καὶ ἕνεκα τοῦ τοιούτου, οὐ συγκατατίθεμαι τῷ Τρύφωνι ἀποφαινομένῳ ἐν τῷ περὶ ἄρθρων· ὡς τὰ ἀπαρέμφατα ῥήματα, ποτὲ μὲν ὀνόματά ἐστι τῶν ῥημάτων· ὅτε καὶ ὡς ὀνόματα ἄρθρα προσλαμβάνει· τῷ περιπατεῖν ἥδομαι· τοῦ περιπατεῖν πρόνοιαν ἔχω· καὶ ἔτι ἐπὶ εὐθείας· τὸ περιπατεῖν ἀνιαρόν ἐστι· χωρὶς μέντοι ἄρθρου λεγόμενα, ῥήματα ἂν εἴη· περιπατεῖν θέλω ἢ περιστάναι· τοιαύταις γάρ τισι συντάξεσιν ἐδόκει μερίζειν, τὸ μὲν, ὡς ὀνοματικόν, τὸ δὲ ὡς ῥηματικὸν προκεῖται οὖν ὁ λόγος φυσικώτατος, ὃς οὐ παρὰ τὰς ἐλλείψεις τοῦ ἄρθρου, ἢ προσθέσεις ἐξελέγξει, εἰ ἃ μὲν εἶναι ὀνόματα, ἃ δὲ μή· ἅπαξ γὰρ ἐκεῖνό ἐστι διαλαβεῖν· ὡς πᾶν ἀπαρέμφατον ὄνομά ἐστι ῥηματικόν. ἐπεί γε καὶ οἱ ἀπὸ τῆς στοᾶς αὐτὸ μὲν κα

λοῦσι ῥῆμα· τὸ γὰρ περιπατεῖν ἢ γράφειν, κατηγόρημα, ἢ σύμβαμα. ὅτι ἔτι τὰς ἀπὸ τούτου ἐγκλίσεις διαλύει τό, καὶ ὡς ἂν γενικὸν ὄνομα τὸ ἀπαρέμφατον, πᾶσα ἔγκλισις ὑποστρέφει. εἰ γάρ τις τῇ ἀποφαίνοιτο, περιπατεῖ Τρύφων, μεταβάλοι δέ τις τοῦτο εἰς ἀφήγησιν τοῦ εἰρημένου, προσθεὶς τὸ ἐγκείμενον τῇ ὁριστικῇ ἐγκλίσει, λέγω τὸ, ὡρίσατο, οὕτως ἂν εἴποι· ὡρίσατο περιπατεῖν Τρύφωνα. καὶ ἐπὶ εὐκτικῆς προφορᾶς, περιπατοίη Τρύφων, πάλιν τὸ ἐγκείμενον τῆς εὐχῆς συμπαραλαβών, φαίη ἂν ηὔξατο περιπατεῖν Τρύφωνα. καὶ ἔτι ἐπὶ τῆς προστακτικῆς ἐγκλίσεως, περιπατείτω Τρύφων, εἴποι ἂν προσέταξε περιπατεῖν Τρύφωνα. ὅθεν μοι δοκοῦσιν εὐήθως ἀναστρέφεσθαι οἱ ἐπιζητοῦντες, διατί ἐλλείπει προσώποις καὶ ἀριθμοῖς· καὶ ἔτι ψυχικῇ διαθέσει, εἴγε οὐ πληθύνεται. ὅτι πᾶν πρᾶγμα ἕν ἐστιν· ἔτι οὐκ ἔχει ψυχικὴν διάθεσιν. ὅτι μὴ γὰρ εἰς πρόσωπα ἀνεκυκλήθη. ἀπαρέμφατα ὄντα, τὴν ἐν αὐτοῖς διάθεσιν τῆς ψυχῆς ἐπανείλεται· ὥστε δυνάμει αὐτὸ τὸ ῥῆμα, οὔτε πρόσωπα ἐπιδέχεται, οὔτε ἀριθμούς· ἀλλ᾽ ἐγγινόμενον ἐν προσώποις, ὅτε καὶ τὰ πρόσωπα διέστειλεν· ὄντα λοιπὸν ἢ ἑνικά, ἢ δυϊκά, ἢ πληθυντικά· πρόδηλον δὲ ὅτι οὐδὲ ψυχικὴν διάθεσιν, καθὼς προείπομεν. πῶς οὖν οὐκ εὐηθέστεροι οἱ κἀκεῖνο ἀποφαινόμενοι· ὅτι καὶ ἑνικὰ καὶ δυϊκὰ καὶ πληθυντικά, καὶ προσώπων διαιρέσεις ἔχει, ἐν συνεμπτώσει δὲ ἀριθμουμένων, τὸ ἐμὲ γράφειν. σὲ γράφειν. ἐκεῖνον γράφειν. ἡμᾶς γράφειν. ὑμᾶς γράφειν. ἐκείνους γράφειν. ἀλλ᾽ ἔνεστιν ἐξαιρέτως ἐν τοῖς ἑξῆς ἔτι καὶ περὶ τούτων διαλαβεῖν. ἐν οἷς καὶ ζητήσομεν, διατί ἐπαιτιατικὴν φαίνεται· ἀγνώς τι ὅτι γὰρ ἀφησὶ χωρὶς ἄρθρων λέγεσθαι, δύναται καὶ μετὰ ἄρθρων παραλαμβάνεσθαι. τὸ φιλοσοφεῖν βούλομαι, ἤπερ τὸ πλουτεῖν. ὡς πρόκειται οὖν ἡ τῶν ἄρθρων τῶν ἀπαρεμφάτων σύνταξις, ἡ αὐτή ἐστι τῇ τῶν στοιχείων συντάξει. χρὴ μέντοι νοεῖν, ὅτι διχῶς πρόσεισι τὸ ἄρθρον. ὅτε μὲν τοῦ λόγου τοῦ προκειμένου καθάπερ ἐπεδείξαμεν ἐπὶ παντὸς μέρους λόγου. ὅτε δέ, ὡς πρὸς τὸ πρᾶγμα. καὶ τὸ μὲν προτέρου, τὸ γράφειν, πρώτης ἐστὶ συζυγίας· τὸ γράφειν, διὰ τὴν

ἀδιαφθόγγου γράφεται· καὶ ὅσα οὕτω δύναται κατὰ τὴν φωνῆς λέ-
γεσθαι· τοῦ δὲ δευτέρου, τὸ γράφειν ἐπίρρημα ὄν ἐστι· τὸ γράφειν τὸ λο-
πόνου ἄρθρος ἐστιν· οὐκ ἔστι μέντοι παρέλκον ἐν ταῖς τοιαύταις
συντάξεσιν ἀποδεῖξαι, ὅτι τὰ τοῦ παρατιθέμενα τοῖς ῥήμα-
σιν ἄρθρα, οὐ μὴν ἐπιρρήματά ἐστιν· ἐπεὶ οὖν οὐκ ἀπίθανος ὁ λό-
γος παρευθύζεται· τὸ, μὴ τὰ χεῖσα τὰ ἄρθρα τὰ τοιαῦτα ἀρθρικὰ
νοεῖσθαι, ἐπιρρηματικὰ δὲ, φέρε διαλαβεῖν καὶ περὶ τοῦ τοι-
ούτου. ἡ κατὰ τὸ οὐδέτερον θέσις συνεχέστερον πρὸ τῶν ῥημάτων
τιθεμένη, ἐπιρρηματικὰς ἀνύεται, ὥσπερ ὀνοματικάς. εἰ οὕτως ἀ-
„ τοφαινοίμεθα ταχὺ παρεγένου. ὅστις ὦρευ ῥεῖ πυλίων διὰ γεί-
„ νης· οὐ μὴν καλὸν ἀτίμβειν οὐδὲ δίκαιον· τάχιον διαλείπον· ὅπερ
δύναται καὶ ἐπὶ προσγενείας τῶν ἄρθρων ἐγχωρεῖν. εἰ γὰρ τὸ δεῖν
ταχὺ λέγειν ἢ ταχὺ τρέχειν, ἐν ἴσῳ ἐστὶ τῷ δεῖν ταχέως τρέχειν, καὶ
τὸ παρεμπίπτον οὐδέτερον ἄρθρον πρὸ τοῦ ῥήματος, τὸ αὐτὸ ἅμα
δέξεται τῇ προειρημένῃ συντάξει. ἐπιρρηματικῶς νοούμενον κα-
τὰ ἀρθρικὴν ἀναφοράν. ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτον φάναι. ὅτι
τὰ συντάξεως ἐπιρρηματικῆς τυχόντα πτωτικὰ, τὸν τόπον ἀπε-
νεγκάμενα τοῦ ἐπιρρήματος, ἄκλιτα καθίσταται, μιμούμενα τὸ
μοναδικὸν τῶν ἐπιρρημάτων· φέρε γὰρ οὕτω φάναι ἐπ' ὀνοματι-
κῆς συντάξεως· ταχὺ ἐλθὸν παιδίον ὤνησεν ἡμᾶς· ταχέος ἐλθόν-
τος παιδίου, ὠφελήθημεν· κἀπὶ τῶν ἑξῆς πτώσεων· συμπαρα-
λαμβανομένης τῆς συντάξεως τῆς δεούσης. ἡνίκα δὲ ἐπιρ-
ρηματικῶς, καθ' ἕνα σχηματισμὸν λέγομεν· οἷον ταχὺ ἐλθὸν παι-
δίον· ταχὺ ἐλθόντος παιδίου· ταχὺ ἐλθόντι παιδίῳ· εἰ δὲ τοῦτο
ἀληθὲς, ἔδει τὸ ἄρθρον εἴπερ ἐπιρρηματικῶς παρείκετο, ἄκλιτον
καθίστασθαι· νυνὶ δὲ κλίνεται· καὶ κλιθὲν, ἀμετάστατόν ἐστι τῆς συν-
τάξεως. καὶ φαίνεται ὅτι ὁ προκείμενος λόγος οὐ μᾶλλον παρίστησι
τὰ ἄρθρα ἐπιρρήματα, ἤπερ τὰ ῥήματα ὀνόματα, διὰ τὴν ἐγκλί-
σεων μεταλήψεως καθὼς προεδείξαμεν. ὅτι τῶν ἐγκλίσεων τὰ ὀ-
νόματα, αὐτὰ τὰ ἀπαρέμφατά ἐστι διὸ καὶ ἐξαίρετον αὐτοῖς πρό-
σεισιν ἡ τῶν ἄρθρων παράθεσις· καὶ τὰ ὀνόματα τῶν ἐγκλίσεων

διὰ τῶν δηλοῦται καθὰ προαπεδείξαμεν. κἀκεῖνο δὲ προσθετέον· ὡς τὰ ὀνοματικὰ ἐπιρρήματα ἐστὶν ἀρθρούμενα, τῇ δὲ αὐτῶν παραθέσει εἰς τὴν ὀνοματικὴν ὑποστρέφει σύνταξιν· τὸ γὰρ ταχὺ ἐλθὸν παιδίον δυνάμενον ἀκούεσθαι ταχέως ἐλθὸν παιδίον, προσλαβὸν τὸ ἄρθρον, ἀποβάλλει τὴν ἐπιρρηματικὴν σύνταξιν· τὸ ταχὺ ἐλθὸν παιδίον, ὠφέλησεν ἡμᾶς. καὶ ἐὰν τῷ, εὐρὺ ῥεῖ, προσθείη τις τὸ ἄρθρον, φήσας, τὸ εὐρὺ ῥεῖ, ὄνομα ποιήσειεν ἂν τὸ εὐρύ. πῶς οὖν οὐ βέβαιον, τὸ μεταποιοῦν μᾶλλον τὰ ἐπιρρηματικὰ εἰς ὀνοματικὰς συντάξεις ἢ τὰς ἐπιρρηματικὰς παραλαμβάνειν;~

ΤΊΝΕΣ Τῶν γενικῶν ἄνευ ἄρθρων καταλέγουσιν ἔννοιαν.

Πᾶσα γενικὴ παντὸς ὀνόματος ἐπιμεριζομένη, πάντως συνέχει τὸ ἄρθρον, ἐκκείσθω δὲ ὑποδείγματα. τῶν αὐτῶν, οἱ μὲν, εἰσὶν Ἕλληνες· οἱ δὲ, βάρβαροι. τῶν αἰάντων, ὁ μὲν, ἐκαλεῖτο τελαμώνιος· ὁ δὲ, λοκρός. τῶν ἀδελφῶν μου, ὁ μὲν, ῥήτωρ ἐστίν· ὁ δὲ ἕτερος, γραμματικός. καὶ ἐφεξῆς τῶν δυναμένων λῆψιν ἀναδέξασθαι· ὡς ἐπὶ τοῦ χρυσοῦ· ἀργύρου· καὶ τῶν οὕτω παραλαμβανομένων. φημὶ δὲ ἐπιμεριζομένων· ἐπεὶ οἷόν τε γενικὴν, οὐ τὸ τοιοῦτον ἐπιδεχομένην, ἢ χωρὶς ἄρθρων λέγεσθαι. ἀνθρώπων ἀκούω· φίλων προνοοῦμαι· οὐ μὴν ἄλλων, ὃς μὲν ἀγαθός ἐστιν, ὃς δὲ πονηρός. πάντως γὰρ σὺν τῷ ἄρθρῳ· οὐ μόνον οὖν ἐπ' ἐκείνων ἡ πτῶσις· νοεῖσθαι δοῦ μὲν· οὐ πᾶσα τύμνιον, ἀλλὰ προφανές, ὅτι καὶ τὸ ἄρθρον λείπει· καὶ σαφὲς ὅτι τὸ χρῆμα ἐξηγήσατο τὸ ἀσύστατον τοῦ λόγου. γενικῆς γὰρ οὔσης, οὐκ ἂν ἔλειπε τὸ ἄρθρον. τὸ μέντοι, οἱ δὲ δύο σκόπελοι, αὐτὸ μόνον τὴν πτῶσιν ἐνήλλαξεν. ἔχει δὲ τὰ τῆς συντάξεως, ἀπολογίαν τοιαύτην· τὰ ἐπιμεριζόμενα ἐκ προὐφεστῶτός ἐστι πλήθους ἐν γνώσει παραλαμβανομένου· εἴγε τὸ μέρος τῶν πρός τι καθέστηκε· καὶ ἔχει πρὸς τὸ ὅλον τὴν ἀπόστασιν· ἀναγκαῖον οὖν ἐστι προσγίνεσθαι τὸ ἄρθρον τῷ ἐμπεριληπτικῷ τοῦ μέρους· ἵνα τὴν προὐφεστῶσαν γνῶσιν δηλώσῃ. ἔστι δὲ καὶ ἐκ παρεπομένου παραστῆσαι· ὡς τὰ καλούμενα πληθυντικὰ ἀδιακρίτως ὄντα τοῦ ἀριθμοῦ, προσδιακρίνεται οὐ μόνον κατὰ τὴν πρόσθεσιν τοῦ ἀριθμοῦ.

φέρε γὰρ οὕτω φάναι, αἱ πολλαὶ τάχιστα ἐλθόντων· φίλοον. ἆρα ἰδεῖν·
τινὶς, ἀλλὰ κατὰ τὴν ἀκαταλληλότητα σύνταξιν καὶ εἰ μὴ κυρίως ἀεὶ μάχ·
ἀναλογίαν· ἐπεὶ καὶ τὰ προειρημένα μάχεται· ἐν γὰρ τῷ ἐπιμεριζόμενα
ἐλλείπει … τῶν ἄλλων φανερόν ἐστι τὸ, ἢ καὶ φίλον καθίσταται …
τὰ οἱ μὲν, ἄστε ἀγαθοί· οἱ δὲ, φίλοι· ἐγγίνεται μὲν τὰ περὶ συντά-
ξεως τοῖς φίλοι, οὐ μέλλοντος φίλοι ἔλαττόν ἐστι τοῦ φίλων· ἢ τὸ
τὸ ἐναντίον προφαμένην δυσὶν τῶν τοιούτων συντάξεων, οἱ ἐν τοῖς τοιού-
τοις καὶ μὴν παραλαμβάνουσι τὸν λόγον, διασαφεῖ τὰ περὶ συντάξεως.
οὕτως δὲ ὁμοίως τι πείσονται ὡς ἐκ γραφῆς τὰ χρήματα τῶν λέξεων
παρειλήφασιν· ἡμῖν ἐκ δυνάμεως τῶν κατὰ παράδοσιν τῶν ἑλλήνων.
καὶ περὶ συμπαρεπομένης ἐν αὐτοῖς ἀναλογίας· οἷς παρακολου-
θεῖ τὸ εἰ διαμαρτάνοιτό τι χρῆμα, μὴ δύνασθαι διορθοῦν τὸ ἁμάρτη-
μα διὰ τὴν παρακολουθοῦσαν αὐτοῖς ἀπειρίαν· καθάπερ οὖν πάμ-
πολλος ὄφελος ἡ ἀρχὴ περὶ τὸν ἑλληνισμὸν παράδοσις, κατορ-
θοῦσα μὲν τὴν τῶν ποιημάτων ἀνάγνωσιν, τὴν κατὰ χεῖρα ὁμι-
λίαν, ἔτι ἐπικρίνουσα τὴν παρὰ τοῖς ἀρχαίοις θέσιν τῶν ὀνομά-
των, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ προκειμένη ζήτησις τῆς καταλληλό-
τητος ἐπεὶ ὅπως δήποτε διαπεσὸν ἐν λόγῳ κατορθώσει. ἤδη μέν-
τοι καί τινα τῶν κατὰ παράδοσιν ὑφισταμένην ἔχει προφοράν τῶν
μὲν διστάζοντων, εἰ τὸ εἴρηκας ἑλληνικὸν ἢ τὸ εἴρηκες διὰ τοῦ ε, ἢ
ὥστινες ἀποφαίνονται ἑρμεῖ διὰ διφθόγγου, τοῦ λόγου ἀναιροῦντος τὴν
διὰ τοῦ η γραφήν· καὶ φαίνεται ὅτι ἡ τοῦ λόγου συνέχεια, τὸ ἐν κα-
νόνι εἰρημένον, παραστήσει τοιοῦτον τὸ ἐλλεῖπον παρακολουθή-
σει καὶ τὰ τῆς προκειμένης ζητήσεως ἀμφιβαλλομένων γεγονότων.
τὰ γὰρ τοῦ λόγου ἐγγινόμενα μετά τινος φυσικῆς παρακολουθήσεως ἀπ-
οστήσει τὸ ἔνδεον τῆς συντάξεως· ἄγωστε ἐδείξαμεν, ὡς οὐ πᾶσα γε-
νικὴ τὸ ἄρθρον ἀπαιτεῖ· εἰ δὲ ἐν τῇ προκειμένῃ συντάξει, εἴ πο-
τε τὴν [illegible] ἄδειαν ἐξαρτουμένη τὸ καὶ πλεονάζειν καὶ ἐλλεί-
πειν, παραλείπει τι τῶν τοιούτων, τὸ ἀντιπαρατεταγ-
μένον τοῦ λόγου παραστήσει καὶ τὸ λεῖπον καὶ τὸ πλεο-
νάζον. Φέρε γὰρ πάντα τὰ τῆς τοιαύτης συντάξεως τινά

„ παραλαμβάνειν· ἄλλοισι δὴ ταῦτ' ἐπιτέλλεο· ἄλλοι μὲν γὰρ θεοί τε·
„ ἄλλοι μὲν χαλκῷ· ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ·
„ οἳ δ' ἄλλους μὲν ἐῶσιν· ἄλλοι μοι δοκέουσι παλαιότεροι ἔμμεναι ἵπ-
ποι· ἄλλος δ' ἐνὶ χερσὶν ἐδέξατο· καὶ ἐπ' ἄλλων πλειόνων· πότερον
ἐλλείπει τῇ τῶν ἄρθρων παραθέσει, ἢ ἐντελής ἐστι· καὶ πότερον ἀ-
παιτεῖ τὰ τοιαῦτα, ἤτινα αὐτῶν· οὐχ ἧττον ἄχρηστος ὁ λόγος· ἀνα-
πληρῶν μὲν τὸ λεῖπον· οὐ πλεονάζοι δὲ ἐνταῦθα μὴ δεόμενον· ἢ ἐκεῖνο
ἀπόδειξίς ἐστι, τὸ ἀναμεῖναι τὴν συνόδου γραφήν, ἐνταῦθα, ὦ ἄλλοι
μὲν ὅσα θεοί τε· καὶ σαφὲς ὅτι ἐκεῖ πάλιν οὐ προσποιοῦμεν· ὅπου οὐδὲ
ὁ συνόδοντος· ἄλλοισι μὲν δὴ ταῦτ' ἐπιτέλλεο· ἀλλὰ τὰ τοιαῦτα
παρείσθω, παρολκὴν μᾶλλον παρέχοντα ἢ παράδοσιν πραγμά-
των. πάντοτε οὖν τὸ ἄλλοι συντάξει τὸ ἄρθρον· ἡνίκα τὸ κατηγο-
ρουμένου πλήθους ὅλον ἐστὶν ἐμπεριληπτικόν· τήν τε διαίρεσιν πά-
λιν μερικὴν ποιεῖται· οὐ γὰρ τῇδε ἔχον, οὐ πάντως ἐξ ἐπὶ τὸ ἄρθρον
παραλαμβανόμενον· ἐκκείσθω δὲ ὑποδείγματα τῶν μὲν κατὰ τὸ ἔ-
θος προφορᾶς, τάδε· Οἱ μὲν ἄλλοι ἕλληνες δασύνουσι τὰ ἐν τῇ
λέξει φωνήεντα· αἰολεῖς δὲ μόνοι ψιλοῦσι· Τμῆμα γὰρ τῶν ἑλλή-
νων οἱ αἰολεῖς· καὶ ὁ τῇδε τις μᾶλλον ἀποφαίνοιτο· Οἱ μὲν
ἄλλοι δωριεῖς τηροῦσι τὸ θ· Λάκωνες δὲ καὶ εἰς σ μεταβάλλουσι·
Πάλιν γὰρ ἐμπεριεκτικὸν γέγονε πλήθους, τῶν ὑποτεμνομένων
δωριέων· Ὁ αὐτὸς λόγος παρακολουθήσει κατὰ τὴν παροῦ-
σαν ἔφοδον ἐπὶ πάντων τῶν τοιούτων· Τὸ δ' ἕτερον, ἄλλοις αὐτοῖς
ὁμίλει, μὴ ῥεῖς περὶ ξύμφωνα· ἢ δὲ γινῶσκε τό, ἄλλοι, πάντων αὐτῶν
περιεκτικόν ἐστιν· ἄλλοι μὲν οὖν ἐπὶ χαρίζονται ἡμῖν· σὺ δὲ ἀπροσαφαιρῇ
ἄλλους ὕβριζε μὴ ἡμᾶς. οὐδὲ μία οὖν ἀνάγκη προσνέμειν τὸ ἄρθρον· ὅ-
που γε καὶ ἐν τῇ ἐστὶν ὑφαιρέσει καὶ ἡ παράδοχος· ἡ μέντοι προκει-
μένη ἀσυνδέτως εἶδος τοῦ ἄρθρου λέγοιτο, ἄλλοι μὲν ἕλληνες δασύνουσι
τὰ φωνήεντα· αἰολεῖς δὲ οὐδαμῶς· ταύτῃ γοῦν τῇ ἐφόδῳ διακρινοῦμεν
ἐπὶ τό, παρὰ τοῖς ποιηταῖς ἐμπεριεκτικὸν καθεστὼς θεῶν καὶ ἀνθρώπων
τό, ἄλλοι καὶ ἐπιμεριζόμενον εἰς τὴν διὰ ποιήσεως τὸ ἄρθρον· οὐ μὴν
„ τὸ ἄλλοι μοι δοκέουσι παλαιότεροι ἔμμεναι ἵπποι· οὐ γὰρ τῶν δὲ χει-

τό, τὰ ἄλλοισι δέ. πῶς τε τὸ ἐπιτέλλοιτο. ἡ πάντως ἐξ ἀνάγκης παραλείπεται
τὸ ἄρθρον. τί γὰρ εἰ οὕτω λέγοι, ἐνίοις ἐπέταξας. καθάπερ ἐν τῷ βίῳ
φαμέν. ἄλλοις προσέρχου μὴ ἐμοί. καὶ ἔτι ἄλλους ὕβριζε μὴ ἐμέ.
οὐ τοῦτο προσέταξέν τις, ἅπαντας τοὺς ἐν ὑποστάσει ὑβρίζειν, τοὺς
„ δὲ ὧν πλείους. ἐκεῖνο γὰρ μόνον παραλιμπάνει. Ἠδ᾽ ἄλλοισι μὲν
„ ἕκαστον. θέμις ἐστὶ ἡ ἐπαγγελία δὲ καὶ τὸ ἅπας. ἐμπεριεκτικὸν γάρ ἐστιν ἁ-
πάντων τῶν συμπεριεχομένων θεῶν. οὐ γὰρ μὴν τὰ τοιαῦτα ἐλλεί-
„ πει. ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ᾽ αἴθωνι σιδήρῳ. οὔτε γὰρ τῶν πάν-
των τὸ, ἄλλοι νῦν περιεκτικόν ἐστιν, οὔτε ἐκ τῶν πρότερον ἐπιμερί-
ζεται τὸ ἐπιφερόμενον. ἄλλοι δ᾽ αἴθωνι σιδήρῳ. Ἐν ἴσῳ γὰρ ἀριθ-
μῷ σχεδὸν τὰ τῆς συντάξεως ἐγίνετο. Προσκείσεται γὰρ τὸ, ἄλ-
„ λοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ᾽ ἐν Ὀλύμπῳ, πάντες σοὶ ἐπιπείθονται.
διὰ τὴν τοῦ ὅσοι σύνταξιν. καθὸ προέλαβε τὴν ἀρχήν. δέδεικται δὲ
ὅτι τὸ ἀοριστῶδες ἐμποδίζει τὰς τῶν ἄρθρων παρεμπτώσεις:~

ι. ΟΤΙ ΑΣΥΣΤΑΤΟΝ χωρὶς ἄρθρων ἐκφέρεσθαι τὰς ἐν ἐπισταλτικῇ δοτικὰς τῶν ἐπιθετικῶν ὀνομάτων.

ΕΤΙ Πᾶσα δοτικὴ ἐπιθετικοῦ ὀνόματος, κατὰ τὴν ἐπισταλτικὴν σύνταξιν συνέχει τὸ ἄρθρον. Διονύσιος Τρύφωνι τῷ αἰδεσιμωτάτῳ
χαίρειν. τῷ τιμιωτάτῳ. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου λεγόμενον.
Ἔχει δὲ λόγον ἡ συνέχεια τοῦ ἄρθρου τοιοῦτον. ἐν τοῖς κυρίοις ὀνόμασι
παρεμπίπτει ἡ ὁμωνυμία. Ἥ τε τὸ ἀμφίβολον οὐκ ἂν λύοιτο
δίχα τῆς ἐπιτρεχούσης τῷ ὀνόματι ἐπιθετικῆς προσθέσεως. Τρύ-
φων ὁ γραμματικός. Δίων ὁ φιλόσοφος. ἡ κατὰ τὴν εὐθεῖαν σύνταξιν
Ἀπολλόδωρος ὁ Κυρηναῖος. καὶ οὕτω τὰ κύρια ὑπεκλύεται τῆς εἰς
πλείονα πρόσωπα συντεινούσης ἐννοίας. Διὸ καὶ τῇ προκειμέ-
νῃ συντάξει ταὐτὸν ἐνεχώρησεν. ἔνθεν γὰρ ὁ Μενέλαος μεταπεμπό-
μενος τὸν Αἴαντα, οὐκ ἀπιθέτως διὰ δύο ἐπιθέτων τὸν Αἴαντα, τῆς
„ ὁμωνυμίας ἀπέλυσεν. ἐν τῷ, ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλ-
„ κιμος Αἴας. καὶ ἐν ἑτέροις. Αἴας δὲ μέγας αἰὲν ἐφ᾽ Ἕκτορι.
„ Σαφὲς δ᾽ ὅτι καὶ ἡ προκειμένη σύνταξις, καὶ εὐφημότερα τὰ ἐ-
πιθετικὰ ἀπαιτεῖ, ἐπεὶ καὶ διὰ φιλοφροσύνην παραλαμβα-

νομένου ῥήματος· λέγω τῷ χαίρειν· περὶ οὗ τῆς συντάξεως καὶ ἄλλως τὰ τῆς συνεπείας καλεῖ, τὸ δέον εἰρήσεται. Ἀλλ᾽ οὖν πάλιν γε τὰ ἐπιθετικὰ τῶν ὀνομάτων διὰ πλείονος ὕλης χωρεῖ, προὔπτον. Ἵν᾽ οὖν καὶ τὸ τοιοῦτον ἀποστῇ τῆς συντάξεως, ἀναγκαίως προστίθεται τὸ ἄρθρον· σημαῖνον ἔσθ᾽ ὅτε καὶ μοναδικὴν ἀναφοράν· καθὼς καὶ ἐν τοῖς προκειμένοις ἐδιδάξαμεν. Ἔστι καὶ οὕτω φάναι· τὰ ἄρθρα ἔσθ᾽ ὅτε προστιθέμενα, ἰδιότητα ὀνόματος παρίστησιν· ἔστω γὰρ ἔκδηλον τὸ πλοῖον εἰς Ἀθήνας τὸ ἐξ ἀγορᾶς κατέπλευσεν. Εἴ γε τῷ συνέχεσθαι τοῦ ἄρθρου, ἐστὶ τοῦ, τὸ πλοῖον κατέπλευσε· καθὸ καὶ τὸ, ὄνειν τὰς ὑπαγορεύσεις τὸν Ὅμηρον, δεόντως ἀρχαϊκὰ λαλεῖ τὸ γὰρ ἱστορεῖν ἡ πρόσθεσις τοῦ ἄρθρου συνιδιάζουσα τὸ ἐπιθετικὸν ὡς κυρίῳ ὀνόματι.

ια. ΟΤΙ Καὶ τὸ τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, ἀναγκαίως προσέλαβε τὸ ἄρθρον.

ΥΠΟ Τὸν αὐτὸν λόγον πίπτει καὶ ἡ τοιαύτη σύνταξις· βασιλεὺς Μακεδόνων Φίλιππος, Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. Ἔστι γὰρ τὸ συμφραζόμενον τοιοῦτον· Ἀθηναίοις χαίρειν· καὶ ἐπειδὴ οὐχ ἅπασι ταὐτὸ παρέπεται, ἐπεὶ γὰρ οἱ μὲν, δημόται, οἱ δὲ, βουλευταί, ἐδέετο δὲ τοῦ διαστέλλοντος ἐπιθέτου, ἡ ἐπισταλτικὴ σύνταξις, ἀπεμέρισε τοὺς μὲν βουλευτάς, διὰ τὸ, τῇ βουλῇ· τοὺς δὲ δημότας, διὰ τὸ, τῷ δήμῳ· ὥστε πᾶν τὸ συμφραζόμενον εἶναι, τοῖς βουλευταῖς καὶ δημόταις· καὶ σαφὲς ὅτι τὴν τοιαύτην ἄθροισιν ἀπηνέγκατο τὰ ἀθροιστικὰ ὀνόματα· ἅπερ ἑνικῶς μὲν λέγεται, καὶ διὰ τοῦτο δίμερές, τὸ, ἀγρόμενοι πᾶς δῆμος πρὸς τὸ ὑπακουόμενον τὸ ῥῆμα ὑπήκουσεν. Ἐδείχθη ἄρα, ὡς κατηναγκασμένη ἐστὶν ἡ σύνταξις τοῦ ἄρθρου, ἐὰν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

ιβ. ΠΕΡΙ ΠΤΩτικῶν δυναμένων ἄρθρον παραδέξασθαι.

Κἀκεῖνο δὲ ἐπιστατέον· τί δή ποτε οὐκ ἐν ἄλλῃ πτώσει προσεχέστερα τῆς συντάξεως· καὶ μάλιστα γε τῇ δοτικῇ, ἧς ἐστι σύνταξις μόνη δὲ τῇ γενικῇ. Ἢ ὅτι τὰ ἐπιμεριζόμενα μέρη ὄντα ὅλου ἀθροίσματος, κτητικὴν σύνταξιν ἀπαιτεῖ· διὰ λ-

ρας δὲ πτώσεως οὐκ ἐμφανίζεται κλῆσις, ἢ διὰ μόνης γενικῆς· καὶ τοσαῦτα περὶ τῆς ἀεὶ συνουσίας παρέχει τῶν ἄρθρων τοῖς πτωτικοῖς. ἑξῆς χωρητέον καὶ ἐπὶ τὰ ἀδυνατοῦντα μόρια τὴν σύνταξιν τῶν ἄρθρων παραδέξασθαι.~

ιγ. ὍΤΙ ΤῸ ἈΛΛΉΛΩΝ ἀπαράδεκτον ἄρθρου.

ἈΝΕΠΊΔΕΚΤΟΝ δὲ τὸ ἀλλήλων εἰς ἄρθρου παράθεσιν· καὶ προφανὲς ἔστιν ἐκ τῆς παραπεσούσης χρήσεως καὶ τοῦ συμπαρεπομένου λόγου. μετὰ ῥήματος γὰρ διαβατικὴν προσώπων παράθεσιν σημαίνει· ἀλλήλους τρώουσιν, ἀλλήλους διελύσαμεν· ἀλλήλων ἀμείνονες, ἐλασσονοῦνται. αἱ δὴ τοιαῦται συντάξεις ἐν ὀρθῇ καὶ πλαγίᾳ πτώσει νοοῦνται. ἔστι δὲ τὸ προκείμενον ὄνομα, ἐπὶ ὀρθῆς καὶ πλαγίας· ἄλλοι γὰρ ἄλλων· καὶ ἄλλοι ἄλλοις· καὶ ἄλλοι ἄλλους. Ὁποτέρᾳ οὖν πτώσει ἐπειδὰν προσέλθῃ τὸ ἄρθρον, ἀκαταλληλότητα παρέξει· εἰ γὰρ τῇ λεγομένῃ ὀρθῇ, τὸ ἐγκείμενον τῆς πλαγίας οὐ παραδέξεται· καὶ εἰ τῷ τῆς πλαγίας, τὸ ἐγκείμενον τῆς ὀρθῆς ἀντικείσεται. ἐν ἑνὶ γὰρ ὀνόματι δύο προτακτικὰ ἄρθρα συντάττεσθαι, ἀμήχανον. καὶ εἰκότως ἡ σύνταξις ἀνεπίδεκτος ἐγένετο.~

ιδ. ὉΜΟΊΩΣ ὍΤΙ καὶ τὸ ἀμφότεροι.

ὉΜΟΊΩΣ ἀνεπίδεκτον τὸ ἄρθρον πρὸς σύνταξιν τὴν τοῦ ἀμφότεροι· καὶ τῆς φύσεως τὸ τοιοῦτον ἀπαγορευούσης, καὶ τοῦ συμπαρεπομένου λόγου. Ἐξ οὗ δείκνυται ὡσεὶ ταυτόν ἐστι τῷ δύο, τὸ, ἀμφότεροι. Εἴγε κατὰ τὸν ἐόντα λόγον τῷ, δύο καὶ τὸ ἄρθρον προστίθεται, καθὸ καὶ τοῖς ἑξῆς ἅπασιν ἀριθμοῖς· οὐ μὴν τῷ προκειμένῳ μορίῳ. Ἔστι δὲ αἰτία ἥδε· ἐπὶ δυάδος ἐγνωσμένης τὸ, ἀμφότεροι παραλαμβάνεται. Ἔστιν οὖν φάναι, δύο [illegible] ἐξέχουσιν· ὡσὰν τοῦ δύο πρώτην γνῶσιν τὴν κατὰ τῶν ἀνθρώπων ὑπαγορεύοντος· τοῦ δὲ ἀμφότεροι δηλοῦντος, τὴν πάλαι γνῶσιν. ἔνθεν οὐδέ ἐστι προσθεῖναι μετὰ τὴν τοῦ δύο σύνταξιν πρὸ τοῦ, ἀμφοῖ τὸ ἄρθρον· δύο οἱ ἄνθρωποι ἐξέχουσι· πρώτη γὰρ ἡ ἀφήγησις· ἡ δὲ πρόθεσις τοῦ ἄρθρου ἐλέχθη ἀναπολοῦσα τὰ προδεδηλωμένα. Μετὰ μέντοι τὸ, ἀμφότεροι, ἀμφότεροι οἱ ἄνθρωποι ἐξέχουσιν· ἀμ-

φότεροι οἱ φίλοι τρέχουσι· προέγνωστο γὰρ ἡ τοῦ ἀμφότεροι δυὰς καὶ διὰ τοῦτο ἀνέφικτος ἡ τοῦ ἄρθρου παράθεσις· ἀναπολήθεισα γὰρ ἡ τοῦ δύο σύνταξις, δεικτικὴ γίνεται τοῦ ἄρθρου· οἱ δύο ἄνθρωποι τρέχουσι· πρόδηλον οὖν ὅτι ἡ τοῦ ἀμφότεροι σύνταξις τὸ ἐνχῆστον τοῦ ἄρθρου ὑπαγορεύουσα ὡς περισσὴ, τὴν τοιαύτην σύνταξιν ἀπηξιώσατο. Τὸ γὰρ ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι, κατηγορεῖ τῶν ἑνωσμένων, διὰ τῶν προκειμένων λόγων. λέγω δὲ Ἕκτορος καὶ Ἀλεξάνδρου· ἐξέσσυτο φαίδιμος Ἕκτωρ· καὶ τῷ δ' ἅμα κί' ἀδελφός. οὐ λέληθέ με ἡ ὑπαρκτικὴ τῶν ὀνομάτων σύνταξις, παραδεχομένη μετὰ τοῦ ἀμφότεροι τὰ συνόντα ὀνόματα, χωρὶς ἄρθρου· ἀμφότεροι φίλοι εἰσίν· ἀμφότεροι ἄνθρωποί εἰσιν· ἀμφότεροι γραμματικοὶ ὀνομάζονται. Καθὸ ὑπέκειτο μέντοι οἱ διὰ τοῦ ἀμφότεροι. Τὸ δὲ προγεγενημένον ταύτῃ ἡ ὑπαρκτικὴ σύνταξις ἀφηγεῖται· ὡς ἐν τοῖς ἑξῆς τὸ τοιοῦτον ἀκριβέστερον φανήσεται:~

ιε ὉΜΟΙ͂ΩΣ ὅτι καὶ αἱ κλητικαὶ ἀνέφικτοι εἰς ἄρθρων παράθεσιν.

ΜΕΤᾺ μέντοι τὰς εἰρημένας συντάξεις τῶν ἄρθρων ἀκολούθως σκεπτέον, εἰ καὶ αἱ κλητικαὶ τῶν ὀνομάτων κατὰ τὴν κοινὴν δόξαν δεικτικαί εἰσιν ἄρθρων. διαστολὴν γὰρ ἐξ αὐτῶν φασὶ γίνεσθαι τῶν συνεμπιπτουσῶν εὐθειῶν τε καὶ κλητικῆς. Ὁ θέων ὦ θέων. ὁ ἑλικὼν, ὦ ἑλικών· εἰ γοῦν καὶ αἱ φωναὶ ἐναλλαγείησαν τῶν ὀνομάτων κατά τι ἐθνικὸν ἔθος, πάλιν ἡ παράθεσις τοῦ ἄρθρου τὸ σχῆμα διελέγξει· κλητικῆς μὲν γάρ ἐστι τὸ θυέστα· ἀλλ' ὁπηνίκα προσλαμβάνει τὸ ὁ ἄρθρον, τῷ τηνικαῦτα συντάξεως τῆς κατ' εὐθεῖαν τυγχάνει· ἀτὰρ ὃ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε. Καὶ εἰ εὐθείας εἴη, πάλιν ἡ παράθεσις τοῦ ἄρθρου κλητικὴν σύνταξιν ἀποτελεῖ. Ὦ φίλταθ' Αἴας· καὶ ἔτι ὦ φίλος· οὔ σε γ' ἔολπα. διστάζεται τὸ παρὰ Μενάνδρῳ· ὦ λάχης λάχης· πότερον ἐν σχήματί ἐστι τῷ προκειμένῳ, ἢ δεόντως μετὰ τοῦ ἄρθρου καὶ τὴν θέσιν ἔχει τῆς κλητικῆς· καὶ ἔστιν εἰς τὸ τοιοῦτο πάμπολλα παραθέσθαι:~

19 Ὅτι ἀκόλουθα τὰ ἄρθρα ταῖς κατὰ πτῶσιν, καὶ ὅτι τὸ ὦ οὐκ ἄρθρον ἐστίν.

ὉΜΕΝ οὖν Τρύφων ἐν τῷ παρεπομένων τῇ φωνῇ, ὡς ἔστι κατὰ τὸ διαφέρουσαν τῆς ἀκολουθίας τῶν ἄρθρων, περιγράφει τὸ μόριον τοῦτο ἰδίως· ἀλλὰ καὶ ἔτι διὰ τῆς ἐννοίας ἐν οἷς τὰ μὲν ἄλλα ἄρθρα τὴν ἐν τρίτοις προσώποις σύνταξιν ἀναδέχεται· τὸ δὲ ὦ, τῆς ἐν δευτέροις· ὅπερ πάλιν ἀμφισβητεῖ εἰς τὸ κοινὸν τῆς δόξης προαγόμενος· καὶ πρὸς μὲν τὸν ἀπὸ τῆς φωνῆς λόγον φησί. μὴ δεῖν τὰ ἄρθρα ἐν ἀκολουθίᾳ εἶναι, καθότι καὶ ἄλλα πολλὰ ἀνακόλουθα κατὰ πτώσεις· καὶ τὰ συνόντα γοῦν οὐκ εὔλογόν τι ἡγεῖται μιᾷ φωνῇ κεκλῖσθαι τῶν ἄρθρων· ἵνα μὴ ἐν μιᾷ λέξει μέρος λόγου καταχωρίζηται. Πρὸς δὲ τὸν ἀπὸ τῆς ἐννοίας λόγον, ὡς οὐκ ἐν τρίτῳ προσώπῳ καταγίνεται τὸ ὦ, ἐκεῖνό φησιν· ὡς οὐδὲ ἡ κλητικὴ ὀνομάτων· ἐπειδὴ πρὸς δεύτερον πρόσωπον τῶν ἄλλων πτώσεων τὴν ἐν τρίτοις προσώποις σύνταξιν ποιουμένων, καὶ εἰ ἀπέμφαινον τὴν κλητικὴν ὀνομάτων μὴ παραδέχεσθαι. Ἀπεμφαῖνον ἄρα καὶ τὸ τῆς κλητικῆς ἄρθρον μὴ φάναι ἄρθρον. Ὅτι σύνταξιν τὴν πρὸς τὸ δεύτερον πρόσωπον ποιεῖται. Ἀλλ' ἔστι καὶ πρὸς ταῦτα φάναι, ὡς τὸ πρῶτον οὐκ ἀληθές, τὸ, μὴ ἐν ἀκολουθίᾳ εἶναι τὰ ἄρθρα· ἐν γὰρ τῇ δεούσῃ ἀκολουθίᾳ καταγίνεται· αὐτὸ μόνον, τῆς εὐθείας ἐμπαθοῦς γενομένης· ἀλλ' ὅτι ὀφείλει καὶ ἐν ἀκολουθίᾳ εἶναι, δῆλον ἐκ τοῦ συνηρτῆσθαι αὐτὸ τοῖς κατὰ ἀκολουθίαν πτωτικοῖς· καὶ ἕνεκα τούτου συνελεύσεται τῇ τούτων ἀκολούθῳ κλίσει· ἐπεὶ πῶς ἂν ἄρθρον γένοιτο· ἀλλ' οὐδ' ἐκεῖνό ἐστιν ἀναγκαστικόν, τὸ πάντως ἐν θέμασιν αὐτὸ, καταγίνεσθαι· ἵνα μὴ διὰ μιᾶς λέξεως ἀκολούθου, μέρος λόγου καταχωρίζηται· τῷ μὲν ἐν πλειόνων λέξεων τὰ μέρη τοῦ λόγου διακρίνεσθαι· ἐν δὲ ἐννοίᾳ ἰδίᾳ αἰτεῖ τὸ τοιοῦτον τις μὴ δεῖν, καθὸ καὶ μέρη λόγου ὄντα ἀνακόλουθα οὐ μὴν διαφεύγουσι τὸν μερισμὸν τῆς ἐννοίας, ὑπὸ τὴν αὐτὴν ἰδέαν τοῦ μερισμοῦ· ἐκεῖνο ἀληθές. Ὡς τὰ ἐκτὸς γινόμενα, τῆς ἰδίας ἐννοίας, κἂν πάνυ τῆς δεούσης ἀκολουθίας ἔχηται.

κατὰ φωνὴν, ὡς ἔχει τὰ τῆς ὁμοφωνίας, οὐκ εἰς τὸν αὐτὸν μερισμὸν καταλήψεται. Πῶς οὖν οὐ μᾶλλον περιγραφήσεται, τὸ εἶναι ἄρθρον τὸ ὦ· ἀπονοῦσαν καὶ τὴν ἀκολουθίαν τῶν φωνῶν κατὰ πάντα τρόπον· καὶ ἔτι τὴν ἔννοιαν τοῦ ἄρθρου. Ὑποτιμηθῶ δὲ ὁ λόγος εἰς τὸ τοιοῦτον· ὡς οὔτε περὶ τὸ ἀκόλουθον τῶν φωνῶν, οὔτε μὴν περὶ τὸ ἀνακόλουθον τὰ τοῦ λόγου παραστήσεται μέρη. ὡς δὲ πρόκειται ἐκ τῆς παρεπομένης ἰδιότητος. Φησὶ γοῦν ὁ τρύφων. Καθότι ἡ κλητικὴ καὶ δεύτερον πρόσωπόν ἐστι, καὶ τὸ ὦ ἄρθρον συνοδεῦόν ἐστι τῇ συνεστημένῃ κλητικῇ. Ἀλλὰ τὸ μὲν ὄνομα διασώζει τὸ ἴδιον κατὰ πᾶσαν κλίσιν· εἴγε οὐκ ἴδιον αὐτῷ παρέπεται τὸ κατὰ πρόσωπα ἐγγίνεσθαι· ὅπου γε καὶ ἐν πρώτῳ καὶ δευτέρῳ παραλαμβάνεται· εἰμὶ Διονύσιος· καὶ ἐπὶ δευτέρου προσώπου Διονύσιος εἶ· συνοῦσαι γὰρ ἔχει τὴν ἰδίαν ποιότητα. ἥγε μὴν τοῦ ἄρθρου παράθεσις, ἣν ἰδίωμα ἔχει τὴν τῶν τρίτων προσώπων ἀναπόλησιν· ἐναντιώτατον δὲ ἔχει τὸ ὑπόψιν παραλαμβανόμενον πρόσωπον, ὅπου γε καὶ τὸ ἐμὸς ἐστι, προσλαμβάνον τὸ ἄρθρον κατὰ τὸ τρίτον πρόσωπον, οὐκέτι προσλαμβάνει ἐν τῷ ἐμὸς εἶ· διὰ τὴν πρὸς τὸ δεύτερον πρόσωπον σύνταξιν. Εἴπερ οὖν τὸ μόριον παρὰ τὸ ἀδιάφορον πρόσωπον καὶ ἄρθρον προσλαμβάνει, καὶ οὐ προσλαμβάνει, πῶς οὐ μᾶλλον καὶ τὸ τῇ φωνῇ παραλλάξαι ἐκστήσεται τῆς τοῦ ἄρθρου παραθέσεως· μάλιστά γε τῆς φωνῆς ἐνδεξαμένης διὰ τῆς πάμπαν ἀκολουθίας τὸ ἀκοινώνητον τῶν ἄρθρων. Ζητούσης ἄρα τῆς κλητικῆς δεύτερον πρόσωπον, περιττὸν ζητεῖν εἰ τὸ ὦ ἄρθρον ἐστι. Πῶς οὖν καί τι ἐλέχθη πρὸς πάντων. Φαίην ἂν συνεκδρομῇ τῶν ἄλλων κλίσεων· ἐπεὶ τὰ ταύταις συνιδιάσαντα ἄρθρα, ἐκαλεῖτο, ᾧ λόγῳ συλλαβαὶ καὶ αἱ μονογράμματοι. ἦν δὲ ἴδιον κλητικῆς τὸ ὦ:~

ιζʹ ὍΤΙ ΑἹ ΕΥ̓ΘΕΙ͂ΑΙ τῶν ἄρθρων ἀναγκαίως τὸ τ ἀπέβαλον, καὶ τὸ ὦ ἐπιρρηματικόν ἐστι.

ΟΥ̓ Παρέλκον δὲ ἐστι καὶ διὰ τῆς φωνῆς παραστῆσαι τὸ ἀκόλουθον τῶν ἄλλων, ὡς πρὸς τὴν ἄτι παράθεσιν τοῦ ὦ· τὸ μὲν

τῆς εὐθείας, ὃ ἀναγκαίως καὶ ἕτερον πάθος ἀπεδέξατο. λέγω τὴν ἀποβολὴν τοῦ σ. ἔμελλε γὰρ ταυτὸ γίνεσθαι τῷ ὑποτακτικῷ· οὐ τὸ τῆς συντάξεως, οὐ πάντα ἀπαιτεῖ τὸ προτακτικόν· ὡς δεδείξεται ἐν τῷ περὶ ὑποτακτικῶν. καὶ ἐν τῇ ἐκθέσει ἔμελλε τὰ τοῦ λόγου ἀκαταλληλότερα φαίνεσθαι. ὅτι γὰρ καὶ τὸ σ λείπει, σαφὲς ἐκ τοῦ τὴν αὐτὴν εἶναι κατὰ λῆξιν προτακτικῶν καὶ ὑποτακτικῶν. ὅστις γὰρ τὸ ὑποτακτικὸν ὅς· καθότι καὶ ἐπὶ τοῦ, οὗ· καὶ τοῦ· καὶ ᾧ· καὶ τῷ· καὶ ὃν, καὶ τόν. σαφὲς κἀκ τοῦ πληθυντικοῦ. τὰ γὰρ εἰς οι πληθυντικὰ, τὰ ἑνικὰ, εἰς ος, ἐὰν ἐκ συνῃρημένων ᾖ· ὡς ἐπὶ τοῦ χρυσοῦς. καὶ τῶν ὁμοίων. συμφανὲς δὲ κἀκ τῶν πλαγίων πτώσεων. εἴ γε ἅπασαι αἱ τοιαῦται, τῶν εἰς ος εὐθειῶν εἰσι. καὶ ἔτι ἡ θηλυκὴ διαίρεσις, κατὰ ἑνικήν. λέγω ἐπὶ τῆς τοῖο· ὡς καλοῖο. θηλυκοῦ τε τοῦ ἡ.

Πάλιν γὰρ τοῖς εἰς ος λήγουσι τὸ τοιοῦτον γένος παράκειται. οὐ γὰρ εἰς η ἔληξεν, εἰ μὴ συντάξεως εἴχετο τῆς τοῦ τ. καθότι καὶ τῷ νοητὸς, τὸ νοητὴ παράκειται. Ἰδοὺ καὶ τὸ λεῖπον τ ἀναπληρώσει τὸ δώριον ἔθος. τοτί. λέγοντι. φαντί. τοὶ ἄνθρωποι. ταὶ γυναῖκες. οὐκ ἀπιθάνως. ἡ γὰρ διάλεκτος κατάπυκνος ἐπὶ τὴν τοῦ τ χρῆσιν. τοτί. λέγοντι. φαντί. τέρυντι. τύ. ἄλλα μυρία. εἰ γὰρ ἐκ μεταπτώσεως ἐστὶ τὰ τῆς χρήσεως, πολλῷ μᾶλλον ἐφελκύσεται τὸ λεῖπον. σαφὲς κἀκ τοῦ πνεύματος. οὐ γὰρ ἄλλως δασύνεται τὰ ἄρθρα, εἰ μὴ ἀποβαλλόμενα τὸ τ. Ἔστι πιστώσασθαι κἀκ τοῦ οὐδετέρου ἀρξαμένου μὲν ἀπὸ τοῦ τ. λήξαντος δὲ εἰς ο. καθὸ ἀπαιτεῖ ὁ παρασχηματισμὸς τῶν εἰς ος ληγόντων ἀρσενικῶν. καὶ φαίνεται ὅτι εἰς ἐμφανισμὸν τοῦ συγκεχυμένου γένους κατὰ τὰς τοιαύτας αἰτίας, τὸ πάθος οὐκ ἀπίθανον ἐγένετο. αἱ γοῦν ἀντωνυμίαι οὐ βοηθούμεναι τῇ τοῦ ἄρθρου παραθέσει, ἐμιμήσαντο κατὰ τὸ οὐδέτερον τὴν λῆξιν τοῦ ἄρθρου. ἐκεῖνο. τοῦτο. ἔτι κατὰ συνεκδρομὴν τούτων. ὅτι φαμὲν αὐτό. Ἀναλογώτερον οὖν ὁ ἀττικὸς ἀποδίδωσι τὸ ἄρθρον τῇ ἀντωνυμίᾳ, ἀπὸ πλήρους τὸ εἰς παρολκὴν πάθος παραλαμβανόμενον ἐν τῷ ταυτό. Ἔστιν οὖν ἐκεῖνο φανερὸν, ὅτι δύο ἂν συνάπτηται λόγων ἀκολουθία, τῶν ἄρθρων διατ-

τούτων ἀνθίσταται ἡ τοῦ ὦ φωνή. εἰ αἱ ἐγκλίσεις τῶν ἄρθρων μιμοῦνται τὴν ἐν τοῖς ὀνόμασι κλίσιν, καὶ ἡ κλητικὴ δὲ ὑπό τι πλείονι χρόνῳ χρῆται εὐθείας, πῶς τὸ ὦ πλεῖόν ἐστι τοῦ ὁ. τί γὰρ μᾶλλον οὐκ εἰς ὁ ἔληξεν. ὥσπερ πρὸς ἀκολουθίαν γενικῆς τοῦ τοῦ. καὶ αἰτιατικῆς τοῦ τόν. καὶ ἐν θηλυκοῖς τε, διατί οὐχ ὁμοφωνεῖ ἡ εὐθεῖα τῇ κλητικῇ. καὶ ἔτι ἐν οὐδετέροις, πῶς οὖν κατὰ τὴν πληθυντικὴν προφορὰν αἱ εὐθεῖαι ταῖς κλητικαῖς ὁμοφωνοῦσιν. ὅπερ ἐστὶν ἐπὶ παντὸς πτωτικοῦ παραδέξασθαι τοῦ συνέχοντος κλητικήν. πῶς δασυνομένων τῶν δίχα τοῦ τ ἐκφερομένων ἄρθρων, αὐτὸ ψιλοῦται. πῶς δ' οὐχ ὁμοτονεῖ ταῖς εὐθείαις. οὐ γὰρ ἀνέφικτον τὸ ὦ εἰς ὀξεῖαν τάσιν, καθότι ἔνιαι τῶν συλλαβῶν. τί δέ, εἰ περισπᾶται οὐκ ἐγκλιθὲν κατὰ τὰς αἰολικὰς ἀναγνώσεις ὑπάρχον. καθὸ καὶ τὰ ἄλλα τῶν περισπωμένων ἄρθρων. ἢ ἐν ὑπονοίᾳ καὶ αὐτὸς οὐκ εἶχε τὸ μόριον. διατί οὐκ ἀπὸ τοῦ τ ἤρξατο, ὡς τὰ ἄλλα τῶν προτακτικῶν. οὐ γὰρ ἀφορμὴ τῆς ἀποβολῆς τοῦ τ, διότι ὑποτακτικὸν οὐκ ἔχει. ἢ καθότι οὐδὲ προτακτικὸν ἄρθρον ἐστί. πρὸς τὴν συνέμπτωσιν τῶν εἰρημένων φησὶ Τρύφων. μηδὲ τὸ τῶν ἄρθρον χρὴ παραδέχεσθαι, ὅτι τριγενές. εἰ δὲ τὸ τῶν ἄρθρον, καὶ τὸ ὦ ἄρθρον. τὴν αὐτὴν σύμπτωσιν παραδεξάμενον. ληρῶδες δὲ τὸ τοιοῦτον. πάνυ γὰρ ἄρθρον τό, τῶν διὰ τὴν συνέμπτωσιν. εἴγε συναπήχθη τοῖς πρὸς ὃ ἠρώτηται. μέμνηται γὰρ τῶν φίλων. μουσῶν. καλῶν. καὶ σχεδὸν πᾶσα συνέμπτωσις [illegible]. μίμημά ἐστιν ὀνοματικῆς συμπτώσεως, κατὰ γένη. κατὰ τὸ ἐν σχήματι καταγέγραπται, ὡς ἐν τῷ μὰ τὼ θεώ. ὅμοιον γάρ ἐστι τὼ καλυψαμένω. καὶ τοσούτῳ μᾶλλον ἐπιτείνεται τὸ ἄρθρα εἶναι. καὶ εἰ τὸ τοιοῦτον ἀληθὲς κατὰ πολὺ διώκεται τὸ ὦ. κατὰ μηδένα τρόπον συνέμπτωσιν ὀνοματικὴν ἀναδεδεγμένον. τὰ μετὰ διαφόρου ἀριθμοῦ καὶ διαφόρου γένους συμφερόμενα, ἄρθρα μὲν οὐδέποτε ἐστίν. ἄκλιτα δὲ μόρια. σύνδεσμοι. ἐπιρρήματα. καὶ προθέσεις. καὶ σαφὲς ὅτι γε τὸ ὦ οὐ σύνδεσμος, οὐ πρόθεσις, ἐν τούτῳ ἐπίρρημα κλη-

C Γ

τικὸν ἄκλιτον· ἀλλὰ διά τι συμφέρεται ὀνόματι· ὅτι καὶ λεκτικὸν ἐπίφθεγμα· ὡς τὰ ὁμοτικά· λέγω, τὸ νὴ καὶ μὰ, τῇ αἰτιατικῇ πτώσει· καὶ οὐ πάντως ἄρθρα· ὧν καὶ ἡ σύνταξις ἐπὶ τὰ συγκείμενα τοῦ ὦ συντείνει· πάντῃ γὰρ ἀριθμῷ συμφέρεται· πάντῃ γένει· δείξομεν ὅτι ὡς καὶ σύνδεσμοι ἐπὶ πτώσεις φέρονται διαφόρους· ἕνεκεν Ἀπολλωνίου· ἕνεκεν Διονυσίου· ἕνεκεν μηνὸς εἶδος τε Ἀλεξάνδρου· καὶ οὐ τοῦτο τὸ ἐξαίρετον τῆς πτώσεως· ἀλλ᾽ ὅτι ἐπιδέξεται τὸν ἕνεκα σύνδεσμον· οὐκ ἄρα παρὰ τὰς ἐξαιρέτους συντάξεις ἀποστήσεται τὰ μόρια τῆς ἐννοίας:~

ιη ὉΜΟΙ´ΩΣ ὍΤΙ ΤᾺ ΠΕΥΣΤΙΚᾺ ΤΩ͂Ν ὈΝΟμάτων οὐ προσλαμβάνει ἄρθρα.

Ὁμοίως δὲ καὶ τὰ πευστικὰ ὀνόματα ἀπαράδεκτά ἐστι τῆς τῶν ἄρθρων παραθέσεως· ἐπεὶ τὰ μὲν ἐμφανίζει πρόσωπον προδεδηλωμένον· τὰ δὲ ἐν ἀγνοίᾳ καθέστηκε προσώπου· καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἐδείχθη:~

ιθ ὍΤΙ ἈΝΑΓΚΑΙ´ΩΣ Ἡ ΔΑΣΕΙ͂Α ΠΡῸ ΤΟΥ͂ Π ἘΠῚ ΤΩ͂Ν ΤΟΙΟΥ´των ἐνεχώρησεν· καὶ ὅτι ἐν τῷ ὁποῖος τὸ ὁ οὐκ ἄρθρον ἐστί.

Οὐχὶ οὖν οἰήσεταί τις ἐν τῷ ὁποῖος ἄρθρον εἶναι τὸ ὁ· ἐκ τῆς φωνῆς καθὸ δασύνεται, οὐ δυναμένου τοῦ ο δασύνεσθαι πρὸ τοῦ π, καὶ καθότι ἐπί τι ἀναφέρεται ἡ σύνταξις πρόσωπον αὐτοῦ· ἐν τῷ ὁποῖός ἐστι Θέων, τοιοῦτός ἐστι καὶ ὁ Τρύφων· ἀλλ᾽ ἔστι γε πρὸς τὸ τοιοῦτον φάναι, ὅτι οὐ τῷ ποῖος τὸ ο προσῆλθεν· ἀλλ᾽ ἔστιν ἁπλοῦν ἓν μέρος λόγου τὸ ὁποῖος· σημαῖνον, οὐ τὴν ἐν τοῖς ἄρθροις ἀναφοράν, ὡς φαμὲν ὁ ἄνθρωπος παρεγένετο· ὁ ἵππος ἔδραμεν· ἐπί τινι τῶν ἐγνωσμένων κατὰ τὴν ἰδίαν ποιότητα τὸ τοιοῦτον παραλαμβάνεται· ἤγε μὴν διὰ τοῦ ὁποῖος ἀναπόλησις, ὁμοιωματικὴν ἀνταπόδοσιν ζητεῖ, καθάπερ ἐπὶ τοῦ οἷος· ταυτὸ παρακολουθεῖ κἀπὶ τοῦ ὅσος καὶ ἡλίκος· οὐ γὰρ δήπου κἀπὶ τούτων ἄρθρων ἔννοια, τίς ἐστιν· ἀδιαφόρως οὖν πάλιν τὰ

ἀνταποδιδόμενα τοιαῦτά ἐστι τοῖς ἀπὸ τοῦ ο καὶ τῶν ἀρχομένοις· καὶ γὰρ οὕτω φαμέν· οἷός ἐστι τρύφων· τοιοῦτός ἐστι καὶ δίων· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ὅσος καὶ ὁπόσος· καὶ τῶν ὁμοίων· καὶ τὰ παρεπόμενα δὲ γένη· καὶ ἔτι αἱ πτώσεις καὶ οἱ ἀριθμοί, ἐμφανῶς ἐνδείκνυνται, τὸ μὴ τὰ τοιαῦτα ἄρθρα εἶναι· συγκλίνεται γὰρ τοῖς πτωτικοῖς τὰ ἄρθρα· πῶς οὖν ὁποίου· καὶ ὁποίῳ καὶ ὁποῖον· κατὰ γένος ἀμείβεται ὁ ἵππος καὶ ἡ ἵππος· πῶς οὖν ὁποῖος καὶ ὁποία. τοῖς μὲν γὰρ ὀνόμασιν ἔσθ' ὅτε καὶ τὸ γένος ἐπικοινωνεῖ· οὐ μὴν τοῖς ἄρθροις, φαμὲν οἱ ἵπποι καὶ τοὺς ἵππους· πῶς οὖν φαμὲν ὁπόσοι ὁπόσους· ἀλλ' οὐδὲν συνθέσει τις ὑπολάβοι τὸ ἄρθρον· καθὸ τὰ ἄρθρα οὐ συντίθενται· ἀλλ' εἰ καὶ συνετίθετο, ἐπί γε τοιαύτης συνθέσεως ἀδυνατεῖ· εἴγε ἐδείξαμεν τὰ σχήματα μαχόμενα τῇ τῶν ἄρθρων ἐννοίᾳ· ὅτι καὶ τῆς φωνῆς παραστήσασθαι τό τε παροξυνόμενα ἢ προπερισπώμενα. σύνθεσιν ἀναδεξάμενα, προπαροξύνονται· κοῦρος· ἄκουρος· ἐπίκουρος· δῆλος ἄδηλος· πόνος ἄπονος· πλησίος παράπλησιος· πῶς οὖν ὁποῖος φαμὲν καὶ ὁπόσος· ἀλλὰ καὶ τοῦ γένους· εἰ τὰ σύνθετα πρόδηλον ἔχει τὴν κοινότητα τῶν ὀνομάτων· ὅπερ οὐ παρέπεται τῷ ὁποῖος καὶ ὁπόσος· ἔτι δὲ καὶ ἐπιρρήμασιν ἑνικὰ ἄρθρα προτίθεται, ἐμφανίζοντα γένος ἀρσενικόν· τοῦ· ὅπου πῃ, ὅπῃ· ἀλλ' ὡς γελοῖον τὰ τοιαῦτα ἄρθρα φάναι, εὔηθες κἀκεῖνα παραδέξασθαι ἄρθρα· καθὼς οὖν πρόκειται, αἱ τοιαῦται φωναί, ἁπλαῖ λέξεις εἰσί, κατὰ τὰς ἀνταποδόσεις διάφορον πνεῦμα ἀπαιτοῦσαι· τὸ οἷος ἀπὸ δασείας ἤρξατο ἐν πάλιν τὸ τοιοῦτου σύζυγον, καὶ τὸ φωνῆεν παρητήσατο, καὶ τὸ πνεῦμα τὸ ἐν τῷ φωνήεντι· καὶ ἐνταῦθεν παρεδέξατο τὸ ψιλὸν ἀντίστοιχον τὸ τ· τοῖος· καὶ ἔτι τὸ ποῖος· ἀρξάμενον πάλιν ἀπὸ ψιλοῦ ἀντιστοίχου, ἔχει τὸ σύζυγον δασεῖας καὶ ἀπὸ φωνήεντος ἀρχόμενον, ἐν τῷ πνεύματι, τῷ ὅ- οἷος· διὰ τοῦτο ἐν ἡ ἰωνικὴ μετάθεσις ἐξηλλάγη τῶν μορίων· ἐπεὶ τὰ ψιλὰ εἰς δασέα μετατιθέασιν οἱ ἴωνες· καὶ τὰ δασέα εἰς ψιλά· ὡς ἐπὶ τὸ πέφυθε τοῦ τὸ· ἐνταῦθα καὶ ἐπὶ τῆς συναλοιφῆς· καθορᾶς πάλιν:~

C Γ ii

κ' ὍΤΙ ΟΥ̓Κ ΕἸΣ ἌΛΛΟ ὍΤΙ ΟἹ ἸΩΝΕΣ ἨΔΎΝΑΝΤΟ
ΜΕΤΑΒΑ΄ΛΛΕΙΝ ΤῸ Π ΕἸΣ Κ,
ὩΣ ἘΝ ΤΩ͂Ι ΚΟΙ͂ΟΣ ΚΑῚ
ΤΟΙ͂Σ ὉΜΟΙ΄ΟΙΣ.

Ὁμοίως ἐπὶ τὸ ποῖος καὶ τῶν ὁμοίων· εἴγε κοῖός φασι καὶ κόσος· οὐ γὰρ διὰ τοῦ π ἐδύναντο τὰ τοιαῦτα μόρια ἐκφέρεσθαι· διὰ τὸ ἀνταποδιδόμενον φωνῆεν δασύ· ἀλλ' οὐδ' ἄλλο τι σύμφωνον ἐδύνατο παραδέξασθαι, εἰ μόνον τὸ κ. δέδεικται γὰρ ὅτι κἂν ἀνταποδῶσι ψιλὸν ἀπαιτεῖ τὸ σύμφωνον, ἀλλ' οὐδὲν ἔλαττον ψιλὸν ἢ τὸ τ. ὅπερ καὶ μετατίθεται εἰς τὸ ποῖος καὶ πόσος:~

ὍΤΙ ΟΥ̓Δ' ΑἹ ΤΩ͂Ν ἙΛΛΗ΄ΝΩΝ ΣΥΝΤΑ΄-
κα' ΞΕΙΣ ἌΡΘΡΟΝ ΠΡΟΣΛΑΒΕΙ͂Ν
ΔΥ΄ΝΑΝΤΑΙ.

Ἀλλ' οὐδ' αἱ τῶν ἑλλήνων συντάξεις ἀποδέξονται τὴν τῶν ἄρθρων παράθεσιν· ἐπεὶ κοινῆς ἐννοίας, λέγω δὲ τῶν συνταγμάτων ἢ ποιημάτων διάκεινται· τοῦτο δηλοῦσι· τὸ κατ' Ἀλκαῖον· Φοίνισσαι Εὐριπίδου. ἐν γνώσει γὰρ τὰ τοιαῦτα γενόμενα, ἀκολούθως τὸ ἄρθρον προσλαμβάνει. αἱ Φοίνισσαι Εὐριπίδου περιέχουσι τὸν θηβαϊκὸν πόλεμον· τὸ κατ' Ἀλκαῖον ᾀδόμενον· ἢ τοσαῦτα μὲν περὶ τῶν χωρὶς ἄρθρου οὐ δυναμένων ἐκφέρεσθαι· καὶ ἔτι τῶν μὴ δυναμένων ἄρθρον προσλαβεῖν:~

ὍΤΙ ΟΥ̓ΔῈ ΑἹ ἈΝΤΩΝΥΜΙ΄ΑΙ ΤᾺ
κβ' ΠΡΟΤΑΚΤΙΚᾺ ἌΡΘΡΑ
ΓΙΝΩ΄ΣΚΟΥΣΙ.

Ἑξῆς ῥητέον περὶ δὲ τῆς τῶν ἄρθρων συντάξεως πρὸς τὰς ἀντωνυμίας· ἅς τινες ἐξαιρέτως συνάρθρους καὶ ἀσυνάρθρους ἐκάλεσαν· ὡς οὐ δυναμένων τῶν προκατειλεγμένων ὀνομάτων ἀσυνάρθρων καλεῖσθαι· καὶ ἴσως ἁρμόζει μᾶλλον ἡ τοιαύτη θέσις· καθὸ τὰ μὴ προσλαμβάνονται ὅλως ἐν παραδεκτικοῖς εἰσιν εἰς τὴν παράθεσιν τῶν ἄρθρων· τὰ δὲ προσλαμβάνονται, οὐδέποτε χωρὶς τούτων. ἐν γὰρ ταῖς στερήσει λεγόμεναι, ἐν ἐπιβάλλοντος ἀπαξίᾳ νοοῦνται.

ἡνίκα γοῦν λέγοιμεν ἄττιχον αὐλητὴν, ἐπιβαλλούσης τῆς τύχης ἀ-
ξίαν παρείσαμεν· καὶ οὕτω φαμέν· οὗτος ἄφιλος· δέον γοῦν φίλι-
κὸν εἶναι· ἣν καὶ τοῖς ὀνόμασι συμπαρεπόμενα τὰ ἄρθρα· ἃ τοῖς
ἀπαρεκτήσασι παρείπετο ἀντὶ τοῦ καλεῖσθαι ἀσυνάρθροις ὀνόμασιν·
Εἴπερ οὖν ἀναφορᾶς μὴ οὔσης παρέπεται ἡ τοιαύτη θέσις· τῆς ἰδίας
ἐννοίας ἀνακειμένη τοῦ ὀνόματος· πῶς οὐ μᾶλλον τοῖς μὴ δόλως δυνα-
μένοις μορίοις ἐν παραδοχῇ τοῦ ἄρθρου γίνεσθαι, ἡ τοιαύτη θέσις πα-
ρακολουθήσει· ὥσπερ ἐκ τῶν εἰρημένων δεδείξεται. Οὐχὶ οὖν ἄ-
πορον ἔσται, πῶς τὰ μὲν ὀνόματα μετὰ ἄρθρων ἐκφέρεται, αἱ δὲ
ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, ἀπεώσαντο τὴν
τῶν ἄρθρων παράθεσιν; ἢ τάχα καὶ τῆς φωνῆς ἐπιζητούσης τὴν
τῶν ἄρθρων σύνταξιν ἕνεκα τοῦ συγκεχυμένου κατὰ τὴν φωνὴν
γένους· ἔστιν οὖν πρὸς τὸ τοιοῦτον φάναι· ὅτι ὥσπερ αὐτὰ τὰ ὀνόμα-
τα διά τινα παρεπόμενα, οὐ δόλως δύναται ἄρθρον παραδέ-
ξασθαι, ὡς ἐδείχθη, τὸν αὐτὸν ἄρα τρόπον καὶ τὰ μόρια τὰ ἀντὶ τού-
των παραλαμβανόμενα, ὑφέξει αἰτίαν τῆς ὑποστολῆς τῶν ἄρ-
θρων· προσώπων ὁριστουμένων δεικτικά ἐστι τὰ μόρια· διὸ καὶ
τὰ ἐξ αὐτῶν πρόσωπα νοούμενα ἐν ὁρισμῷ καταλαμβάνεται. Ἔτι
σαφὲς ὅτι αἱ ἐξ αὐτοῦ ἀποδείξεις πρόκειται ἔφοδοί εἰσι τῶν ὑποκειμέ-
νων προσώπων· ἐλλειπόμεναι τῆς τοῦ ἄρθρου συντάξεως· οὐ γὰρ ἀνα-
φέρεται τὰ πρόσωπα· ὑπὸ ὄψιν δὲ δείκνυται· ἀναγκαίῳ ἄρα λό-
γῳ ἀποκωλύεται τὰ τῆς συντάξεως τρόπον ἔχοντα τῶν ἀντισταμέ-
νων· ὃν γὰρ τρόπον καὶ τὰ τῶν στοιχείων ἐστὶ ἐπινοοῦσαι τὰ ὑποτα-
κτικὰ οὔπω τι προτακτικὰ γινόμενα τῶν, οἷς ὑπέταγη, τὸν αὐτὸν
τρόπον στοιχεῖα λόγου ἐπέχοντα τὰ μέρη τοῦ λόγου, τὸ τοιοῦτον
ἐπιδείκνυται· προτακτικὴ γάρ ἐστιν ἀντωνυμία ἡ πρώτην θέσιν ἐ-
παγγελλομένη τῶν προσώπων· ἡ δὲ τῶν ἄρθρων παράθεσις, ἐν δευ-
τέρᾳ τάξει παραλαμβάνεται, ὑποτασσομένων ταῖς ἀντωνυμίαις·
ἐγὼ ὁ λαλήσας· τὴν γὰρ πρώτην θέσιν τοῦ ἐγὼ, ἀνεπλήρωσε τὸ ἄρ-
θρον. Εἰκός τινα φήσειν· εἰ πρὸ τῶν δεικτικῶν μορίων τὰ ἄρ-
θρα οὐ τίθεται, ἐχρῆν αὐτὰ μόνον ταῖς δεικτικαῖς ἀντωνυμίαις μὴ

C Γ iii

συνοῦσαι· ταῖς γε μὴν κατὰ τὸ τρίτον πρόσωπον, πάλιν ὑποστελλομένων τῶν δεικτικῶν ἀκωλύτως προσαρτᾶσθαι. ἀλλ' οὐδ' ἐνδέονται τοῦ ἄρθρου· διὰ τοῦτο γάρ εἰσιν ἀναφορικαί· ὥστε καὶ ἐπιδείξομεν ἀμοιβὴν γινομένην αὐτῶν τε καὶ τῶν ἄρθρων:-

κϛʹ ~ὍΤΙ ΜΌΝΗ Ἡ Αὐτὸς τὸ ἄρθρον προσέλαβεν:~

Ἀλλὰ πῶς πάλιν ἡ αὐτὸς ἄρθρον προσέλαβεν, εἴπερ ἀναφοραὶ οὐ προσλαμβάνουσι. καὶ πρὸς τοῦτο δὲ ἔστι φάναι· ὡς καὶ ἐν ἄλλοις μορίοις τὸ τοιοῦτον ἔστιν εὑρέσθαι· ἔστι ἐγκεῖται ἐν τῷ Πριαμίδης ὁ υἱός· ἀναγκαίως πρόσκειται ἐν τῷ Πριαμίδην νόθον υἱόν. ἀλλὰ καὶ ἐν τοῖς συγκριτικοῖς, ἔγκειται τὸ μᾶλλον. καὶ πολλάκις συμπαραλαμβάνεται ἡ τοῦ μᾶλλον σύνταξις· „ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε. Τὸν αὐτὸν δὴ τρόπον ἔγκειται μὲν ἐν τῇ αὐτὸς ἡ ἀναφορά, ὁπηνίκα δὲ ἑτέρα προσγίνεται, τὸ ἐγκείμενον τῆς ἀναφορᾶς ἐν τῇ αὐτὸς συμπαραλαμβάνεται διὰ τοῦ ὁ ἄρθρου δηλοῦντος καὶ αὐτοῦ ἀναφοράν· καὶ οὕτω „δὶς ἀναφέρεται· ὡς δὶς καὶ ἐπιτέτακται τό, ῥηΐτεροι γὰρ μᾶλλον „Ἀχαιοῖσιν δὴ ἔσεσθε. προφανὲς δ' ὅτι τῇ συνηθεστέρᾳ ἀντωνυμίᾳ προσεχώρησε τὸ τῆς συντάξεως· ἤτοι, καὶ ἑ, καὶ ἡ μίν, καὶ αἱ σύζυγοι· οὐδὲ ῥηταί, ὅτι μὴ παρὰ ποιηταῖς· ἀλλὰ καὶ αἱ σύζυγοι ταῖς κατὰ τὸ πρῶτον καὶ δεύτερον· ὧν ἡ σύνταξις ἐν παραδέκτοις· μὴ γὰρ ἐκεῖνό γε παραλελείφθω, ὡς ἐξαιρέτως ἡ αἰτιατικὴ χρῆσις, οὐδὲ οὕτως ἐπὶ μόνης αἰτιατικῆς τὸ ἄρθρον παραλαμβάνει· ὡς ἐν τῷ, τὸν ἐμέ, τὸν σέ· αὐτίκα γοῦν καὶ παρὰ Καλλιμάχῳ· τὸν σὲ Κροτωπιάδην· εἴ γε πάλιν ἡ τοιαύτη σύνταξις ἐπίφορος πρὸς τὴν τοῦ ἄρθρου παράθεσιν. Προείρηται δὲ ἡ μὲν ὡς ἐξοχὴν ἕνεκα τὰ ἄρθρα παραλαμβάνεται· ἀλλὰ καὶ τὰς καλουμένας συνάρθρους ἀντωνυμίας, ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ δεικτικῶν παραλαμβανομένων, οἳ ἤδη τοι παραδέχονται τὰ ἄρθρα, ἐν τῷ, ὁ ἐμός· ὁ σός· ἢ ὁ ἡμέτερος· ἦν γὰρ ἡ σύνταξις τῆς ἀντωνυμικῆς προσώπου· λέγω τοῦ κατὰ τὸν κτήτορα· τοῦ δὲ ὑπακουομένου κατὰ τὸ κτῆμα· λέγω τό, δοῦλος ἢ τὸ οἶκος· ἢ τινὸς τῶν

τοιούτων. Ἄβρων μέντοι ἐν τῷ περὶ ἀντωνυμίας, οὐκ εἶναί φησι τὰ ἄρθρα τῶν ὑπακουομένων λόγῳ τοιῷδε. Εἴπερ τὰ ἄρθρα ἐπὶ τὰ ὑπακουόμενα φέρεται, πάντως ἂν τὴν αὐτὴν καταλληλότητα ἐφύλασσον ὑπερβιβασθέντα πρὸ τῶν ὀνομάτων. οὐ ταυτὸ δέ ἐστι τὸ, ὁ ἐμὸς πατὴρ τῷ, ἐμὸς ὁ πατήρ. καὶ εἰ ἐν τοῖς τοιούτοις ἀνεπληρώθη τὸ ἄρθρον τοῦ ὀνόματος, ἐν τῷ, ὁ πατήρ, πῶς ἔτι ὁ ἐμὸς ἄρθρον προσλαμβάνει, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ, εἰ μὴ ἡ ἀντωνυμία ἄρθρου ἔχρῃζε. καὶ ἕνεκα τῆς τοιαύτης συντάξεως. ἔδοξε καὶ τῇ τοιαύτῃ ἀντωνυμίᾳ ἴδιον ἄρθρον προσνέμειν καὶ τῷ ὑπακουομένῳ κτήματι. ἔστι δὲ παραπέμπεσθαι τὴν τοιαύτην πιθανότητα πρῶτον. Εἰ ἑκατέρῳ μορίῳ πρόσεστιν ἄρθρον, τί οὐκ ἤρξατο ἀπὸ τοῦ, ὁ ἐμός, καὶ ἐπήνεγκε τὸ, ὁ πατὴρ μετὰ τοῦ ἄρθρου. καὶ φαίνεται ὅτι ἐν ἴσῳ τὰ τοῦ λόγου ἐγένετο. ἐπὶ μὲν γὰρ τῆς προτέρας, δύο ἦν τὰ ἄρθρα· ἐπὶ δὲ τῆς δευτέρας, ἀδύνατον ἦν δύο ἄρθρα παραθέσθαι. Δεύτερον, ὅτι παρὰ τὰς μεταθέσεις τῶν ἄρθρων, καὶ τὰς ἐξ αὐτῶν γινομένας διαφορὰς τῆς φράσεως, ἀποστήσεται τοῦ, μὴ συμφέρεσθαι τοῖς ὀνόμασι τὰ ἄρθρα. ἔτι διαφέρει τὸ, οἱ νῦν ἄνθρωποι ἀγαθοί εἰσι· τοῦ, νῦν οἱ ἄνθρωποι ἀγαθοί εἰσιν. οὐκ ἔστιν ὅστις τολμήσει φάναι, ὅτι οὐ τὸ, οἱ, τοῦ ἀνθρώπου ἐστὶν ἄρθρον. οὐκ ἄρα παρὰ τὴν ἐξαλλαγὴν τῆς φράσεως, κατὰ τὴν μετάθεσιν, οὐχὶ τοῦ κτήματός ἐστι τὸ ἄρθρον, ἐν τῷ, ὁ ἐμὸς πατήρ. καὶ ἐν τῷ, ἐμὸς ὁ πατήρ. τὴν δὲ τούτων διαφορὰν, κατὰ τὸ δέον ἀκριβώσομεν. τὸ, μὲν δύο ἄρθρα κατὰ μιᾶς πτώσεως φέρεσθαι, οὐκ ἔστιν ἀσύστατον.

Ἔστι γοῦν φάναι ὁ πατὴρ ὁ ἐκείνου. καὶ προφανές ἐστι τῷ, πατὴρ τὰ δύο ἄρθρα συντείνει. ἐπεὶ πῶς ἡ ἀπαράδεκτος ἀντωνυμία τῶν ἄρθρων, ἐν γενικῇ πτώσει εὐθείας ἄρθρον παραδέχεται. ἀλλὰ καὶ ἐπὶ τῶν ὀνομάτων. ὁ δοῦλος ὁ τοῦ ἀριστάρχου πρὸς ἐμὲ ἦλθεν. ἰδοὺ γὰρ ἡ γενικὴ τὸ ἴδιον ἐπέχει ἄρθρον. καὶ τὰ λειπόμενα δύο ἄρθρα εἰς μίαν τὴν εὐθεῖαν ἀναφέρεται. οὐκ ἄρα ἐν τῷ, ὁ πατὴρ ὁ ἐμὸς κατηνάγκασται τὸ ἕτερον τῶν ἄρθρων ἐπὶ τὴν ἀντωνυμίαν φέρεσθαι. Ἡ οὖν ἐμοῦ διὰ τοῦ σα γενικὴ, τὸ μὲν, τοῦ κτήτορος

Γ iiii

ἔχει τὸ πρόσωπον ἀντωνυμικόν· ὅθεν καὶ τὴν ὀνομασίαν ἔχει· τὸ ἀντωνυμία καλεῖσθαι· ὅπερ ὁμολογεῖ τὴν δεῖξιν τοῦ ὡρισμένου προσώπου· καὶ ἔτι τὴν μετάβασιν τὴν ἐπὶ τὸ δεύτερον καὶ τρίτον· τὸ δὲ ἕτερον, τοῦ ὑπακουομένου κτήματος· ὃ κλίσιν ποιεῖται τὴν εἰς τὰς πτώσεις· μετάθεσίν τε τὴν εἰς τὰ γένη· ἀριθμοὺς τε τοὺς κατὰ ἀκολουθίαν τοῖς ὀνόμασι· τὸ γὰρ ἀντωνυμικὸν πρόσωπον ἐν γενικῇ μόνον νοούμενον, ἄκλιτόν ἐστιν εἰς τὰς πτώσεις· ἡ γὰρ πτῶσις ἡ γενικὴ κρατεῖ τὴν κτητικὴν ἔννοιαν· διὰ τοῦτο καὶ πᾶσα κτητικὴ ἀντωνυμία μετὰ τοῦ κτήματος εἰς γενικὴν ἀναλύεται· καὶ φαίνεται, ὅτι αἱ μὲν πρωτότυποι, οὐ κλίνονται εἰς τὰς πτώσεις· αἱ δὲ κτητικαί, οὐκ εἰς ἄλλο τι, ἢ εἰς πτώσεις καὶ εἰς ἀριθμούς· καὶ ἕνεκα τούτων τοῖς δύο προσώποις ἰδία μόρια παρίσταται· τῷ μὲν ὀνομαστικῷ, τὸ ἄρθρον· τῷ δὲ ἀντωνυμικῷ ἡ συνήθης ἐπιτασσομένη ἐπιταγματικὴ ἀντωνυμία, κατὰ μίαν πτῶσιν τὴν γενικήν· ἣν καί φαμεν μόνην ἐγκεῖσθαι ἐν τῇ κτητικῇ ἀντωνυμίᾳ· Ἀλλ᾽ ἐὸν αὐτῶν χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ· αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν· ἢ καὶ ἑὸν αὐτοῦ χρεῖος.

Ἐνδεῖ ἁπάσαις πτώσεσι τὸ ἄρθρον, καθὸ ἡ τοῦ κτήματος πτῶσις κλίνεται· ὁ ἐμός· τοῦ ἐμοῦ· τῷ ἐμῷ· Συμμεταπίπτει τε καὶ ἐπὶ τοῦ γένους· ἡ ἐμή· τὸ ἐμόν· προφανὲς γὰρ ὅτι ἐγὼ καὶ τὸ αὐτὸ πρόσωπον τοῦ κτήτορος· διάφορα δὲ τὰ κτήματα ἐν γένει. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἀριθμοῦ· ἔστι γὰρ πάλιν· εἷς μὲν ὁ κτήτωρ, πλείονα δὲ τὰ κτήματα κατὰ πᾶν γένος· οἱ ἐμοί· αἱ ἐμαί· τὰ ἐμά· κἂν ἀμειφθῇ τὰ τοῦ ἀριθμοῦ, καὶ τὰ τοῦ ἄρθρου συναμείβεται· φέρε δὲ πλείονας ἑνὸς ἀγροῦ ἐπικρατεῖν· φαίης ἂν ὁ ἡμέτερος ἀγρὸς σκάπτεται· τοῦ ἄρθρου ἑνὸς μένοντος πρὸς τὸ ὑποκείμενον κτῆμα, καθὼς ἦν προείρηται ἐν ταῖς τοιαύταις συντάξεσιν, οὐ δεόντως ἐπὶ τὴν δεῖξιν φέρεται τῶν ἀντωνυμιῶν τὰ συνεζευγμένα ἄρθρα. Καὶ αὕτη δέ ἐστιν ἀπόδειξις τοῦ τὸ ὦ μὴ εἶναι ἄρθρον· καθότι προτίθεται ἐθάτι δεικτικῶν φωνῶν, εἴτ᾽ οὖν καὶ τοσαῦτα, ἤ τι τῶν μοναδικῶν προσλαμβανόντων τὰ ἄρθρα, διὰ τὸ τῶν ἀπροσλήπτων:~

κδʹ. ΠΟΤΕ τῆς αὐτῆς συντάξεως οὔσης, προστίθεται τὰ ἄρθρα, καὶ οὐ προστίθεται.

Ἤγε μὴν ὑπόλοιπος σύνταξις κατὰ μίαν προφορὰν κλητικοῦ. πρὸς τὸ δέον τοῦ λόγου τὰ ἄρθρα προσλήψεται. Ἵππος τρέχει. ἢ ἐπὶ προεγνωσμένῳ τῷ ἵππῳ. ὁ ἵππος τρέχει. πλεῖον κατὰ πολύσιν ὅθεν φαμὲν λείπειν τὸ ἄρθρον, ἐν τῷ, ἀρήιον δέ μοι οἴῳ ἀνὴρ ἥμιδες ἑταῖροι. καθὸ περὶ ἐκείνου διαλέγεται τοῦ προκατηγγελμένου. „ἐν τῷ ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε. τὸ κατὰ νῶτα λαβόν. εἰ γὰρ μὴ οὕτως εἴη, οὐ λείπει τὸ ἄρθρον. πληρέστερον γὰρ ἐκεῖ προσκείσεται. τὰ ἢ μῆλα λαβὼν ἀπεδέρετο. Προκατείλεκται δὲ καθ' ὃν καιρὸν ἐνεβιάζετο ὑπὸ τῆς Κίρκης. δῆλον ὁ λόγος ἐπὶ πάσης τῆς τῶν ῥημάτων συντάξεως. ὑποστελλομένων τῶν ἐσομένων ὕπαρξιν δηλούντων. ἔστω ὑποδείγματα Διονύσιος ὁ γνώριμός μου, θέλει φιλολογεῖν. οὗτος ὁ ἄνθρωπος θέλει ἀναγινώσκειν. καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος. Εἰ μέντοι ἐπιφέροιτο τὸ γενέσθαι, τὸ καλεῖσθαι, τὰ τούτοις σύζυγα, ἀποστήσεται τὸ ἄρθρον, Διονύσιος θέλει μοι γνώριμος γενέσθαι, Θέων γραμματικὸς θέλει καλεῖσθαι, πάνυ εὐλόγως. ἐσομένην γὰρ ποιότητα τὸ ῥῆμα ὑπαγορεύει. τὸ δὲ ἄρθρον, τὴν γενομένην οἶδεν. εἰ γοῦν προσθείη τις καὶ τὸ ἄρθρον, ἕτερον προσθήσει ἐπιθετικόν. ἐφ' ὃ ἐπενεχθήσεται τὸ ῥῆμα. ἐπεὶ τὸ ἄρθρον ἀπηνέγκατο τὸ ἕτερον, ὥσπερ ἐν γνώσει προϋφεστώσῃ. Διονύσιος ὁ γνώριμός μου θέλει γενέσθαι φιλόσοφος. προφανὲς γὰρ πάλιν, ὅτι εἰ τὸ ἄρθρον τις ὑφέλοι, ἀκατάλληλον τὸ τοῦ λόγου γένοιτο ἄν, τοῦ ῥήματος οὐ δυναμένου εἰς τὰ δύο ἐπίθετα ἐγχωρῆσαι. καὶ κατάλληλος δὲ σύνταξις δύο ὀνομάτων εἰς ἓν πρόσωπον συντεινόντων, διαφορά τις ἐστὶ τῶν προκατειλεγμένων ῥημάτων. ἐξ ὧν καὶ ὁ Τρύφων ἤρξατο τὴν ἐν τοῖς ἄρθροις σύνταξιν παραδιδόναι. τῶν προκατειλεγμένων προσώπων, οὐδὲ ἔννοιαν παραθέμενος:~

κεʹ. ΠΟΤΕ τοῖς ἐπιθετικοῖς. καὶ πότε τοῖς κυρίοις ἢ προσηγορικοῖς.

Τὰ δὲ ἐπιθετικά, ἐπὰν συντάσσηται κυρίοις ὀνόμασι, πάντως σύν

ἄρθροις λέγεται, εἰ μὴ τὰ ὑπαρκτικὰ τῶν ῥημάτων ἐπιφέροιτο.

Ὁ γραμματικὸς Τρύφων ἀνεγνώσθη. Ὁ φιλόσοφος Τρύφων περιπατεῖ. καὶ οὐκ ἄλλως ἀποστήσεται τὸ ἄρθρον, εἰ μὴ ὑπαρκτικὴ μετοχὴ ἐπενεχθείη. γραμματικὸς ὢν Τρύφων ἀνεγνώσθη. φιλόσοφος ὢν Δίων διαλέγεται. πάνυ εὐλόγως. διὰ τὴν νῦν ἐμφαινομένην ποιότητα, διὰ τοῦ ὤν. οὐδὲ γὰρ ἐν ῥήματι τὸ τοιοῦτον ἐδύνατο παραληφθῆναι ἕνεκα τοῦ ἐπιφερομένου ῥήματος.

Ἐπεὶ καὶ δύο ῥήματα οὐ δύναται μίαν σύνταξιν ἐπιδέξασθαι δίχα συμπλοκῆς. καὶ σαφὲς ἐκ τοῦ ὑποδείγματος, τοῦ μὲν προειρημένου, ὁ φιλόσοφος Δίων διαλέγεται. τοῦ δὲ δευτέρου, φιλόσοφος ὢν Δίων διαλέγεται. τοῦ δὲ τρίτου, φιλόσοφός ἐστι Δίων καὶ διαλέγεται. οὐ γὰρ συστήσεται δίχα τοῦ καὶ συνδέσμου. φιλόσοφός ἐστι Δίων διαλέγεται. Εἴρηται δὲ ἀκριβέστερον ἡ τοιαύτη σύνταξις ἐν τῷ περὶ μετοχῶν. ἐν ᾧ καὶ ἐπεδείξαμεν, ὡς τὸ, αὐτὰρ ὁ τὸν
„ Ῥῆσόν τε καὶ Ἀντίφονον ἐξεναρίζων. εἰ μὴ ἔστιν ὄνομα τὸ βὴ ῥῆσον, ἐπὶ ῥῆμα πάντως τὸ συγκλεῖον τὴν διάνοιαν ἀναχωρήσεται τὸ τέλος. λέγω τὸ ἐξεναρίζειν. εἰ δὲ ἐλείπετο τὸ ἔβη ῥῆμα, ἀνέφικτον μὲν τὸ τοῦ ῥήματος. κατάλληλον δὲ τὸ τῆς μετοχῆς. λέγω τὸ ἐξεναρίζων, τῇ προκειμένῃ συντάξει ἀδιαφόρως τὰ ἄρθρα προστιθήσεται. Εἰ ὡς εἴπομεν τὰ ἐπιφερόμενα ῥήματα πρώτης κατηγοροίη ποιότητος. Πάλιν δὲ ἔστω ὑποδείγματα τοῦ μὲν προτέρου, ὁ γραμματικὸς Τρύφων ἀείδει. ἦν γὰρ ἀσύνετον φάναι ὁ Τρύφων γραμματικὸς ἀείδει. τοῦ δὲ δευτέρου, ὁ γραμματικὸς Τρύφων καλεῖται. ὁ γραμματικὸς Τρύφων περιηγεῖτο. ὁ Τρύφων γραμματικὸς περιηγεῖτο. καὶ σαφὲς ὅτι τὰ ῥήματα κατηγοροῦντα τοῦ ἐπιθετικοῦ, εὐλόγως τὴν τοῦ ἄρθρου σύνταξιν παρείλετο. ἔνθεν δὲ τὰ
„ τῆς ἀναστροφῆς δῆλα, οὕνεκα τὸν Χρύσην ἠτίμασ' ἀρητῆρα. εἰ γὰρ ἀφέλοι τις τὸ, ἠτίμησεν, ἀντιθείη δὲ τὸ ὠνόμασε, διάφορον πάλιν ἕξει τὴν σύνταξιν. οὕνεκα τὸν Χρύσην ὠνόμασεν ἀρητῆρα:~

κϛʹ. Ὅτι ἓν ἄρθρον παραλαμβάνεται ἐν ταῖς συντάξεσι καὶ οὐ τὰ δύο.

Ἡ αὐτὴ σύνταξις καὶ ἐν προσηγορικοῖς. καὶ ἐν ἐπιθετικοῖς. ὀλυ-

κὸς ἵππος, τρέχει ὁ ἵππος λευκός ἐστιν. εἰ μέντοι εἴη δύο ἐπιθετι-
κὰ, δύο καὶ τὰ ἄρθρα προσγίνεται. πάλιν τῶν προειρημένων ῥημά-
των ὑποστελλομένων, ὁ σεμνὸς, ὁ καλὸς ὑβρίζεται. ὁ φρόνιμος, ὁ
ἀπαθὸς ἐξίσταται τοῦ καθήκοντος. πρόδηλον τὸ ἀκατάλληλον, εἰ ἀφέ-
λοι τις τὸ ἕτερον τῶν ἄρθρων. καὶ δῆλόν ἐστιν ὡς οὐ τὸ θάτερον ἐγχω-
ρεῖ τοῦ ἄρθρου, καθὸ ἀπὸ μιᾶς ὕλης τῶν ὀνομάτων ἄγεται. τοῦ δὲ ἑ-
τέρου, ὁ σεμνὸς, σοφός ἐστιν. ὁ σεμνὸς, φρόνιμός ἐστιν. ὁ σώφρων ἀ-
γαθός ἐστιν. ὁ ἀπαθὸς σώφρων ἐστί. καὶ ἐπὶ τῶν ἄλλων ῥημάτων, ὁ
αὐτὸς λόγος:~

κζʹ. ΠΕΡΙ Συντάξεως μετοχῶν, καὶ ὀνομάτων, καὶ
διαφορᾶς τῶν συνιόντων ἄρθρων.

Συμφέρεται τοῖς ὀνόμασι καὶ ἡ τῶν μετοχῶν σύνταξις. καθ᾽ ὃν ἐ-
πεδείξαμεν λόγον ἐν τῷ περὶ μετοχῶν. Μετὰ μὲν οὖν κυ-
ρίων, ἡνίκα, οὕτω φαμέν. Ὁ Πτολεμαῖος γυμνασιαρχήσας ἐτι-
μήθη. Ὁ Διονύσιος τυραννήσας ἐμέμφθη. ὥσπερ καὶ χωρὶς
ἄρθρου τὸν αὐτὸν λόγον συγκλείει. καὶ ἡ μὲν τοιαύτη σύνταξις, χρο-
νικῶς νοεῖται. Μετὰ τὸ γυμνασιαρχῆσαι ἐτιμήθη. Με-
τὰ τὸ τυραννῆσαι ἐμέμφθη. εἰ δὲ αἱ μετοχαὶ προσλάβοιεν τὰ ἄρ-
θρα, πλειόνων Πτολεμαίων ἔμφασις νοεῖται. ὥστε οὐκ ἀπι-
θανός ἐστι φάναι. Ὡς τὰ γενικὰ ἄρθρα παρεμφαίνει καὶ
πλῆθος. εἰ γὰρ τῇδέ τις ἀποφαίνοιτο, ὁ γυμνασιαρχήσας Πτο-
λεμαῖος ἐτιμήθη, οὐχ ἕνα δηλώσει Πτολεμαῖον, ἀλλὰ πλείονας.
ἐξ ὧν ὁ εἷς τιμῆς μετέλαβεν:~

κηʹ. ὍΤΙ Παράθεσις γενικοῦ ἄρθρου πλήθους γένοι-
αν παρίστησι.

ὍΤΙ ΔΕ τὸ ἄρθρον αἴτιόν ἐστι τῆς παρεμφάσεως τοῦ πλήθους
συμφανὲς ἐκ τοῦ ἀποβαλλομένου ἄρθρου. καὶ πάλιν τοῦ ἑ-
νὸς νοουμένου Πτολεμαίου, γυμνασιαρχήσας Πτολεμαῖος ἐ-
τιμήθη. ἔστι καὶ ἐν προσηγορικοῖς ἡ τοιαύτη σύνταξις.
Ἐφ᾽ οὗ καὶ τρίτος λόγος ἀνακύπτει. καὶ ἔστω ὁ μὲν πρῶτος τοιοῦ-
τος. χρονικὴν διαφορὰν παρεμφαίνων. ὁ παῖς διαπονήσας, χοι-

μαθέτω. ὁ δὲ δεύτερος, ἡνίκα πλῆθος παρεμφαίνεται. ὁ δειπνήσας παῖς κοιμάσθω. ἐφ' οὗ καὶ ἀοριστώδης ἡ σύνταξις γίνεται. τοῦ ἄρθρου ἔνθεν καὶ οἱ ἀπὸ τῆς στοᾶς τὰ τοιαῦτα μόρια ἀοριστώδη ἐκάλεσαν. Τρίτος δὲ, ὃς τὴν αὐτὴν μὲν ἔχει σύνταξιν. οὐ μὴν ἀοριστώδως πάντως νοεῖται· ἀναφορικῶς δέ. Φέρε γὰρ τινὰ δειπνῆσαι τῶν παίδων· καὶ μετὰ τοῦτο γίνεσθαι τὰ τῆς προστάξεως· καὶ πάλιν τὰ τοῦ λόγου τῇδε κατασταθήσεται. ὁ δειπνήσας παῖς κοιμάσθω· καθὼς εἰ ἐν παισὶν ἀπειλήσει τις, ἐφ' οὗ ἂν φαίνοιτο διδάσκαλος ὁ ἀτακτήσας παῖς, τυπτέσθω. οὐκ ἔστιν ἡ τοιαύτη σύνταξις ἐν ξιβιστέρᾳ χωρὶς ἄρθρων λεγομένη, καθάπερ ἐπὶ τῶν κυρίων. εἴγε τὰ κύρια διὰ τὴν ἐν αὐτοῖς ἰδιότητα, οὕτως προσδεῖται τοῦ ἄρθρου, καθάπερ τὰ κοινὴν ἔννοιαν ἔχοντα· δύναμις γὰρ συστέλλεται ἐκ τῆς πολλῆς ποιότητος τῇ παραθέσει τοῦ ἄρθρου. Ἔστι γε ἀοριστώδης μὲν, τὸ, παῖς δειπνήσας ἐκοιμήθη. οὐ μὴν τὸ ὁ παῖς δειπνήσας ἐκοιμήθη, ὃ παραδεικτικὸν δὲ τὸ ὁ Πτολεμαῖος δειπνήσας ἐκοιμήθη οὕτως ἀπαιτοῦν τὸ ἄρθρον. οἷόν τέ ἐστι τοῖς προσηγορικοῖς ὀνόμασι προστιθέμενον ἄρθρον, καὶ ταῖς συντασσομέναις μετοχαῖς. Ὁ παῖς ὁ δειπνήσας κοιμᾶται. καθότι καὶ ἐπὶ τῶν προσηγορικῶν καὶ ἐπιθετικῶν. ὁ ἵππος ὁ λευκὸς τρέχει. ὅπερ ταυτὸ συνάγει τοῖς ἀπὸ τοῦ ἐπιθετικοῦ ἀρχομένοις σὺν τῷ ἄρθρῳ καὶ τοῖς ἀπὸ μετοχῆς. ὁ λευκὸς ἵππος τρέχει. ὁ δειπνήσας παῖς κοιμᾶται. ἃ δὴ καὶ μᾶλλον καταλληλότερά ἐστι τῶν ὑπερκειμένων:~

κθ΄. ὍΤΙ Τὰ ἄρθρα ἀοριστωδῶς ἀκούεται.

Ἔτι κἀκεῖνο ῥητέον. ὡς ἡ προστακτικὴ ἐκφορὰ τῶν ῥημάτων αἰτία γίνεται τοῦ ἀοριστωδῶς νοεῖσθαι τὴν σύνταξιν τοῦ ἄρθρου, καὶ τῆς μετοχῆς. Ὁ τυραννοκτονήσας τιμάσθω. ἡ γὰρ ὁριστικὴ ἔγκλισις, ἐπὶ ἐνεστῶσι καὶ παρῳχημένοις ἀναφορικωτέραν τὴν σύνταξιν ποιεῖται. ὁ τυραννοκτονήσας τιμᾶται. ὁ τυραννοκτονήσας ἐτιμήθη. Πάλιν γὰρ ἡ τοῦ μέλλοντος ἀοριστωδῶς νοεῖται, καθ' ἣν προσκτησόμεθα τήρησιν. ὁ τυραν-

νοκτονήσας τιμηθήσεται· πάνυ εὐλόγως. Εἴγε τὰ γινόμενα καὶ γεγονότα πάνυ εὐλόγως ἄδηλα· τὰ δὲ ἐσόμενα ἀδηλότερα. καὶ ἐντεῦθεν ἀοριστοῦται τὰ τῆς συντάξεως· καὶ προφανῶς ἐκ τοῦ τοιούτου δείκνυται, ὡς ἅπαντα τὰ προστακτικὰ ἐγκειμένην ἔχει τὴν τοῦ μέλλοντος διάθεσιν προστασσόμενα ἢ εἰς παρατατικὴν διάθεσιν· ἢ εἰς ὑπερσυντελικήν. Σχεδὸν γὰρ ἐν ἴσῳ ἐστὶ τὸ, ὁ τυραννοκτονήσας τιμάσθω, τῷ τιμηθήσεται· κατὰ τὴν χρόνου ἔννοιαν τῇ ἐγκλίσει διηλλαχός. Καθὸ τὸ μὲν, προστακτικόν· τὸ δὲ, ὁριστικόν:~

## λʹ. ΠΕΡΙ Διαφορᾶς τῶν ἐπιφερομένων ῥημάτων.

Γνωστέον οὖν ὡς γελοῖοί εἰσιν οἱ μὴ ὑπολαβόντες ῥήματα προστακτικὰ μέλλοντος χρόνου. Ὅπου γε πάντα συνωθεῖται εἰς τὴν τοῦ μέλλοντος ἔννοιαν. Ἐπὶ γὰρ μὴ γινομένοις ἢ μὴ γεγονόσιν ἡ πρόσταξις· τὰ δὲ μὴ γινόμενα ἢ μὴ γεγονότα, ἐπιτηδειότητα δὲ ἔχοντα εἰς τὸ ἔσεσθαι, μέλλοντός ἐστιν. Ἔστι καὶ τῶν προστασσόντων τὰ μὴ γινόμενα, λόγον ἔχει μετὰ ἀποφάσεως καὶ τῆς τοῦ μέλλοντος ἐννοίας. Οὐ δυνήσομαι· οὐ ποιήσω· κἂν γὰρ οὕτω φαμὲν, οὐ δύναμαι βαστάσαι, ἐν ἴσῳ ἐστὶ τῷ, οὐ δυνήσομαι. Εἰς τὸ γενέσθαι οὖν ἢ μὴ γενέσθαι ἡ πρόσταξις γίνεται. Ἀποφασκομένη ἀπὸ τῆς τοῦ μέλλοντος ἐννοίας. Εἰ μὲν παράτασιν, σκαπτέτω τὰς ἀμπέλους. Εἰ δὲ συντελείωσιν, σκαψάτω τὰς ἀμπέλους. τί δὲ τὸ παρατάξαι τοῖς παραδεξαμένοις μέλλοντος προστακτικά· μόνον τὸ γραψέτω· καὶ τὸ, οἶσε θέειον γρῆυ. ἅπερ ἀπολύεται ἐντελέστερον ἐν τῷ περὶ προστακτικῶν. Ἀπαιτοῦντος δὲ καὶ νῦν τοῦ λόγου, ὀλίγα παραθησόμεθα. Ὅτι ποιητικώτερον μὲν τὸ οἶσε· κατὰ ἀναλογίαν εἴρηται τῆς φωνῆς τῆς φέρε· τῷ γραψέτω καὶ τὰ ὅμοια· οὐ κατὰ διάφορον μὲν χρόνον· κατὰ δὲ ἐκλογὴν ὀνόματος. Ὁ πότερον εἴη κατορθούμενον· καθάπερ ἤδη προεμελετήθη τοιαύτη ζήτησις ἐν τῇ ὁριστικῇ ἐγκλίσει, ἔγραψας ἢ ἔγραφες· οὐ διαφορᾶς οὔσης χρονικῆς· αὐτὸ δὲ μόνης γραφῆς δυναμένης, οὐκ ἀπιθάνως παραλαμβάνεσθαι. Ὡς ἐπιδείκνυμεν ἐν τῷ περὶ ῥημάτων· αἱ προκείμεναι οὖν συντάξεις ὑποστελλομένως

τῶν κυρίων ὀνομάτων ἀδιαφόρους ἔχουσι τὰς ἀναστροφὰς χωρὶς ἄρθρου λεγόμεναι· ἄνθρωπος δραμὼν ἐνίκησε· δραμὼν ἄνθρωπος ἐνίκησεν· ἄνθρωπον ἀγαθὸν ὕβρισεν· ἀγαθὸν ἄνθρωπον ὕβρισεν. οὐκ ἐπιζητήσει οὖν τὸ, ἄνδρα πολύτροπον πάντως ἄρθρον;

Χωρὶς εἰ μὴ τὸν κατ' ἐξοχὴν ἄνδρα θέλοιμεν διαστεῖλαι· καθὼς ἐδείξαμεν κἀν ταῖς ἀρχαῖς· ὡς καὶ ἐξοχῆς παραστατικὰ τὰ ἄρθρα. Ὅτι οὕτω φαμέν· οὗτός ἐστιν ὁ Ἀνήρ· οὗτός ἐστιν ὁ γραμματικός· καθότι ἔστιν ἐπινοῆσαι κἀν ταῖς κατὰ γενικὴν κλητικαῖς συντάξεσι· μοναδικαὶ γὰρ οὖσαι αἱ κλήσεις, τὸ ἄρθρον ἀπαιτοῦσιν· οὐ τήνδε δὲ ἔχουσιν, εἰ χωρὶς ἄρθρων λέγονται. Τοῦ μὲν προτέρου, ὁ Ψυχήσου ἀπαθής ἐστιν· ἡ μοῖρα Νέστορος πολυχρόνιος ἦν. Τοῦ δὲ ἑτέρου, θεράπαινα σου πρὸς ἐμὲ ἦλθε. Γνώριμος Ἀριστάρχου διελέξατό μοι. ταῦτα γὰρ εἰ ἐθέλοι τις μοναδικῶς ἐκθέσθαι, προσθήσει ἄρθρον· ἡ θεράπαινά σου· ὁ γνώριμος Ἀριστάρχου. Καὶ πολλῶν ὑπουσῶν νεῶν, φαίη τις ἂν· ναῦς σου κατέπλευσε· ναῦς σου ἕστηκεν ἐν τῷ λιμένι. Μοναδικῆς δὲ πάλιν τῆς κλήσεως νοουμένης, προσθείη τις ἂν τὸ ἄρθρον. Καθὼς κἀκεῖνο νοητέον λείπειν.

Ναῦς δέ μοι ἥδ' ἕστηκε· καθὼς ἐν ἑτέραις ἐδείξαμεν. Νῦν δ' ὧδε ξὺν νηὶ κατήλυθον. Ὑπαὶ ῥώεσθ' ἔξω μιᾷ νηΐ. Ξυμφανὲς κἀκ τοῦ ὧδε· σημαίνοντος τὸ, οὕτως· ὡς ὁρᾷς· ὁ χοῦς ἐπέβαλλε βασιλεῖ. Προδήλως οὖν κἀκεῖνο λείπει ἄρθρῳ. Τὴν Ἀχιλλέως οὐλομένην μῆνιν· ἐν γὰρ τῷ πάθει· ὡς μοῖρα· ὡς ψυχή:~

λα'. ΠΟΤΕ τοῖς ἐν πτώσει καταγινομένοις τὰ ἄρθρα προσνέμεται, καὶ πότε οὔ.

ΑΚΟΛούθως χωρητέον καὶ ἐπὶ τὰς πτωματικὰς συντάξεις. τὸ δὲ τῆς συντάξεως κυρίοις ὀνόμασι μετὰ τοῦ ῥήματος τοῦ λέγεται· ὀνομάζεται. ἢ ἔστιν ἤ τινος τῶν συνωνυμούντων. Ἀνθυποφορὰν μὲν δὲ ἔχει τὴν ἐκ τοῦ πτώματος ἀντωνυμικοῦ· τίς Τρύφων ὀνομάζεται; τίς Τρύφων λέγεται;

Πρὸς ὃν φαμέν· ἐγὼ ἢ οὗτος· ἢ τι τῶν συζύγων· καὶ ἀντεστραμμένως μετὰ τῆς ἀντωνυμίας ἀνθυποφορᾶς οὔσης ὀνοματικῆς. Διὰ μὲν οὖν ἄγνοιαν καταστάματός φησιν ὁ Νέστωρ· τίς οὗτος κατὰ νῆας κατὰ στρατὸν ἔρχ-

παιδίος· ὦ ἀνθυπηνέχθη, τό, γνώσεαι Ἀτρεΐδην Ἀγαμέμνονα, ὁ μέντοι Πρίαμος ὁρῶν τὸν Ἀγαμέμνονα, πτῶσιν ποιεῖται τὴν κατὰ τοῦ κυρίου ὀνόματος· πρὸς ὃν πάλιν ὑπάγεται· οὗτος δ' Ἀτρεΐδης· ἀναγκαίως συνενεχθείσης τῷ ὀνόματι τῆς δεικτικῆς ἀντωνυμίας· ἵνα ἀφορίσῃ τὸ τοῦ Ἀγαμέμνονος πρόσωπον πολλῶν συνόντων· καὶ σαφὲς ἐντεῦθεν· ὡς διὰ μὲν τῆς ὀνοματικῆς συντάξεως τὴν οὐσίαν ζητοῦμεν τοῦ ὑποκειμένου· ταύτην γὰρ μόνην αἱ ἀντωνυμίαι ἐμφαίνουσι· τῆς ὑπ' αὐτῶν δείξεως συνεξηγουμένης τὰ παρεπόμενα· ἔνθεν καὶ πᾶν ὑποκείμενον συντείνουσι· διὰ μέντοι τῆς ἀντωνυμικῆς συντάξεως, τῆς μὲν οὐσίας ἐπιλαμβανόμεθα· τῆς δὲ ἐπιτρεχούσης ἰδιότητος κατὰ τὴν τοῦ ὀνόματος θέσιν, οὐκέτι· καὶ δῆλον ὡς ἀντὶ τῶν κυρίων ὀνομάτων εἰσὶν αἱ ἀντωνυμίαι· εἴγε διὰ τῆς ἐξ αὐτῶν πτώσεως τὰ κύρια νοεῖται· καὶ ἐκ τῆς τῶν κυρίων πάλιν τὰ ἀντωνυμικὰ ἀνθυπάγεται· εἰ μέντοι γε μόνον παραλαμβάνοιτο τό, τίς, οἷόν τέ ἐστι καὶ τὰ ὑπόλοιπα ῥήματα συντάσσεσθαι· τίς περιπατεῖ· τίς ἀναγινώσκει· ἐφ' ὧν ἀνθυπαγωγὴ γινομένη, διὰ μὲν ἀντωνυμίας, οὐκέτι δεῖται ἑτέρας πτώσεως, εἰ φαίημεν ἐγὼ ἢ οὗτος· ὡρισμένα γὰρ πρόσωπα ἐμφαίνει· ἐπὶ δὲ ὀνομάτων διὰ τὴν παρεπομένην ὁμωνυμίαν, οὐκ ἐν τῷ αὐτῷ ὁρισμῷ ἀνθυπάγεται ἡ σύνταξις· Φαμένου γάρ τινος Αἴας, ἀνθυπαχθήσεται, ὁ πότερος· διὰ τὴν προειρημένην ὁμωνυμίαν· ᾧ πάλιν ἀνθυπαχθήσεται τό, ἰδίᾳ παρακολουθῆσαν τῷ ἑτέρῳ καθὼς προείπομεν μετὰ συντάξεως ἀρθρικῆς, τό, ὁ μέγας, ἢ ὁ τελαμώνιος· Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι· πάνυ εὐλόγως· Ἐπεὶ τὰ ἐπιθετικὰ μετὰ κυρίων ἐκφερόμενα σὺν ἄρθρῳ παραλαμβάνεται· Τοιοῦτον γάρ ἐστι τὸ ὅλον· Αἴας ὁ τελαμώνιος· Αἴας ὁ σαλαμίνιος· Πάλιν γὰρ ἐκεῖ ἐδείξαμεν λείπειν τὸ ἄρθρον· „ Ἀλλά περ οἷος ἴτω τελαμώνιος ἄλκιμος Αἴας· Μετὰ μέντοι προσηγορικῶν καὶ τῶν προειρημένων ῥημάτων, σύνταξις ἀρθρικὴ γίνεται· τίς ὁ ἄνθρωπος καλεῖται· πάνυ εὐλόγως· Πάλιν δὲ τὸ τίς, τὸ ἴδιον ἐπιζητεῖ τοῦ ὀνόματος τοῦ κοινοῦ προϊδρυσμέ-

ρου. μετὰ δὲ τῶν μετοχῶν καὶ τῶν κλητικῶν ῥημάτων ἐπιφορᾶς, αἱ προθέσεις τῶν ἄρθρων γίνονται· τί λέγεται· ὀνομάζεται· καλεῖται· τίς ὁ παλαίσας λέγεται, τίς ὁ δραμὼν καλεῖται· τίς ὁ νικήσας ὀνομάζεται. Εἰ μὴ γὰρ τῇδε ἔχει, οὐδὲ τὸ ἄρθρον προστίθεται· τίς δραμὼν ἐστεφανώθη· τίς παλαίσας ἐδοξάσθη· τίς ἀνδρείως ἐτιμήθη· καὶ πρόδηλος ἡ μὲν ἡ αἰτία. Εἴγε τὰ μὲν μετὰ ἄρθρων εἰρημένα, γνῶσιν τούτου διὰ τῶν μετοχῶν ἐπαγγέλλεται, καθὸ μόνον ἐνήργησεν· οὐ μὴν τὴν ἰδίαν παρακολουθοῦσαν θέσιν τοῦ ὀνόματος· ἡ γὰρ δίχα τοῦ ἄρθρου σύνταξις λεγομένη, ζητεῖ τὸ πρόσωπον διὰ τοῦ τίς τὸ τῶν μετοχῶν. Ἐντεῦθεν οὖν συνάπτεται, ὡς τό, ἐρωμένη ὀνοματικὴν ἔχει σύνταξιν· ἰδοὺ γὰρ χωρὶς ἄρθρου φαμέν, ἐπιφερομένου ῥήματος τοῦ ὀνομάζεται· ἢ ἐστίν· ἢ τινὸς τῶν τοιούτων· τίς ἐρωμένη ἐστὶ Θέωνος· ὡς εἰ καὶ φαίη τίς, τίς δούλη ἐστὶ Θέωνος· ὅπερ οὐ παρακολουθήσει ὡς προείρηται ἐν μετοχῇ· τίς νικωμένη ἐστὶ Θέωνος. Μετὰ μέντοι ἄρθρου καὶ τῆς ὑπὸ προθέσεως κατὰ γενικὴν τὴν συνοῦσαν διὰ τὸ πάθος· οἷον τίς ἡ νικωμένη ἐστὶν ὑπὸ Θέωνος· ἑξῆς πάλιν συντάξεως οὐ παρείπετο· λέγω ἐπὶ τοῦ ἐρωμένη ἐστὶ Θέωνος· ἄτακτος γὰρ ἡ σύνταξις ἡ παραδεξαμένη τὸ ἄρθρον, οὐδὲ τὴν ὑπόλοιπον σύνταξιν τῆς μετοχῆς ἀπεδίδου. Τό, ποῖος μετὰ προσηγορικῶν συντασσόμενον, ἡνίκα τὸ ἐστὶν ἐπιφέρεται, ἐπιδέχεται σύνταξιν τὴν τοῦ ἄρθρου· Ποῖος ὁ ἄνθρωπός ἐστιν. ἄλλου δὲ ῥήματος ἐπιφερομένου, ἀνέφικτος ἡ πρόθεσις τοῦ ἄρθρου· Ποῖος ἄνθρωπος ἐνίκησε· καὶ τὰ ὑπόλοιπα δὲ πηλίκα, περὶ τὰς αὐτὰς συντάξεις γίνεται. Πόσος ὄχλος ἐν τῇ ἀγορᾷ διατρίβει. Πόσος ὁ ὄχλος ἐστὶν ἐν Ἀλεξανδρείᾳ· πηλίκος ἄνθρωπος ἐνίκησε τὰ Ὀλύμπια. Καὶ μετὰ τοῦ ἄρθρου ἡ τοιαύτη σύνταξις· πηλίκος ὁ παῖς· πηλίκος ὁ ἀνήρ ἐστι. πρόδηλον ὡς διὰ τὴν τοῦ ἐστὶ σύνταξιν. Τό, τίς τό, ποῖος, καὶ ἐπὶ τὰς πλαγίας πληθυντικὰς φέρεται πάντως σὺν ἄρθροις λεγομένας· χωρὶς εἰ μὴ ἀντωνυμικῶς εἴπομεν· τίς τῶν ἑταίρων παραγίνεται· τίς τῶν τριῶν ὑπερμαχεῖ· καὶ ἐπὶ τῶν κυρίων· πότερος τῶν

αἰάντων ἰσχυρότερος· ἐφ' ὧν πάλιν ἡ προαποδεδομένη ἀνθυπα-γωγὴ παραλαμβάνεται· καὶ ἐπ' ἀντωνυμιῶν· τίς ὑμῶν· πότε-ρος ὑμῶν· πότερος αὐτῶν· πῶς οὖν ἐκλήθησαν, οἱ καὶ τὰς ἄλλας ἀν-τωνυμίας παραδεξάμενοι· ἰδοὺ γὰρ σὺν ἄρθροις φαμὲν, τὰς τῶν ἄλλων ἀνθρώπων. Τὰς προειρημένας συντάξεις αἱ μὲν δυνά-μεναι τὰ ἄρθρα προσλαβεῖν, ἀναπέμψασαι τὸ πτωτικὸν ὄνομα, εἰς ἐπίρρημα τὰ, ἀλλὰ τινὰ γένοιτ' ἂν ἄρθρου· ποῖος ἂν οὖν ἐνίκησε· πότερος ἂν ἐνίκησε, τίς δραμὼν ἐνίκησε· τῶν δύο ὁ δραμὼν ἐνίκησε· πρὸς δὲ ὁ χρὴ παραγίνεται· πῶς ὁ ὅλος παραγίνεται. Ἔστω οὖν καὶ ἡ τοιαύ-τη σύνταξις· ποῖαι τῶν ζώων φυλακαὶ φυλάσσονται· καὶ κατὰ τὴν προκει-μένην αἰτίαν μεταλαμβανέσθω τὸ ἐπίρρημα· καὶ πάντως ἄρ-θρον ἀπαιτήσει· πῶς αἱ τῶν Τρώων φυλακαὶ φυλάσσονται.

## λβʹ ΠΟΙΩι ΛΟΓΩι ΠΩΣ ΔΑΙ ΤΩΝ ΑΛΛΩΝ ΤΡΩΩΝ ΦΥΛΑΚΑΙ ΤΕ ΚΑΙ ΕΥΝΑΙ ΑΡΘΡΟΝ ΟΥ ΠΑΡΑΔΕΧΕΤΑΙ·

Τί οὖν οὐχὶ προσαπῄτησεν ἐκεῖ τὸ προκείμενον ἀθετεῖν; πῶς δαὶ τῶν ἄλ-λων ζώων· καὶ τοῦ λόγου ἀπαιτοῦντος τὸ ἄρθρον, καὶ τῆς φωνῆς ἐγκειμένης τοῦ ἄρθρου, πρὸς ἣν οὐ μόνον μετὰ τὸ ὄνομα τὸ ἄρ-θρον ὀφείλει παραλαμβάνεσθαι· ἀλλὰ καὶ καθὸ αἱ γενικαὶ μετὰ ἄρθρου λεγόμεναι, κατὰ σύνταξιν τὴν τῶν ῥημάτων, ἔχουσι καὶ τὰ κλίματα σὺν ἄρθροις λεγόμενα αἱ τῶν ἑλλήνων πόλεις ἐπαμύ-νουσι τοῖς βαρβάροις. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου. χρὴ γὰρ ἀμφότερα συγκαταφέρεσθαι· ἐπεὶ τοι ἐλλείψει τὸ ἄρθρον τοῦ, πό-λεις, ἔσται ὁ λόγος περιλαμβάνων τὸ, τινές· μειωτικωτέρας τῆς ἐπα-καλέσεως γινομένης· τῶν ἑλλήνων τινὲς πόλεις ἐπανέστησαν· καὶ κατὰ τὸ τοιοῦτον ἄρα τὸ πῶς δαὶ τῶν ἄλλων Τρώων ἄρθρον συ-νάξει· ἀλλὰ φαίνεται ὅτι τὸν ἀθετοῦντα ἐκείνῃ τὸ ἔθιμον τοῦ ποιη-τοῦ ὃς συνήθως μὲν ἐλλείπει τοῖς ἄρθροις, συνάπτει δὲ μετὰ τὰ ὀνόματα τὸν δαὶ σύνδεσμον· τὸ δαὶ ἔστιν ὅδε ὅμιλος· πολὺ δαὶ ναῦς ἔστηκε· κατὰ γὰρ τὴν προειρημένην σύνταξιν, ἐπὶ τούτων λείπει τὸ ἄρθρον. Ἐν ᾧ ἐγκείμενος ὁ δαὶ σύνδεσμος· λεί-

D Δ

πρόσωπον ψιλοῦ ἄρθρου λέγω τοῦ ἢ καὶ σαφὲς ὅτι κατὰ τὴν τοιαύτην σύνταξιν πρόδηλα τὰ τοῦ λόγου καθέστηκε. λέγω ἡ λῆψις μὲν τοῦ ἄρθρου παραδίδωσι δὲ ἐπὶ τοῦ δηλουμένου δίσημον καί ἐστι τῆς ἀπό τῆς ἐξ ἀρχῆς ἀμφιβολίας τῆς ἀπολύσεως τό. καὶ γὰρ ἐπὶ ἄλλοις τὸ διοικεῖν παραλέξασθαι, καὶ τὸ ἀμφίβολον προκείμενον οὐ δὲ θεσπισθέν ἀπεπέλαον. λέγω κατὰ προσταγματικὴν προφορὰν πρὸ παραξύνειν ἀλλ' ἢν ἀλλοιότητα ὑποδέχονται ἀπαρεμφάτοις ἀναγκαῖαι εὐθέως ἐκ τοῦ παρακειμένου. πειρᾶν δῶς καὶ ἔπειτα. καὶ ἐκ τοῦ τὰ δεύτερα, ἵνα ἀρχθῇ. καὶ πλείστων ἄλλων. αἱ τοιαῦται εἰσὶν ἐν τῷ τὰ πάθη ἐπιρρήματα αἱ παραδεκτικαὶ πολλάκις τὴν τῶν ἄρθρων ἐπένθεσιν. καθὸ οὐκ ἐπὶ τὰ ἐνεστῶτα ἄπειτα, πάντως ἐν τῇ ἐννοίᾳ ἐστίν. ἡ γὰρ ἐκ τῶν ῥημάτων ἄγνοια ἐπιρρηματική ἐστι, ἐπεὶ τὰ ῥήματα φαίνεται. εἴγε οὕτω λέγων, ποῖος ἄνθρωπος ἐνίκησε; τὸ μὲν ἄνθρωπον νοεῖ, τὸ δὲ πρᾶγμα καὶ τὶ λαβεῖν, ὅτι ἐνίκησεν. ὁ δὲ οὕτω λέγων, ὅτι πῶς ὁ ἄνθρωπος ἐνίκησεν; ὁμολογεῖ μὲν εἰδέναι τὸν ἄνθρωπον, τὴν δὲ γενομένην πρᾶξιν εἰς τὸ νικῆσαι ἀγνοεῖν.

## ΠΟΤΕ ΤΑΙΣ ΚΤΗΤΙΚΑΙΣ ΑΝΤΩΝΥΜΙΑΙΣ ΤΑ ΑΡΘΡΑ ΠΡΟΣΤΙΘΕΤΑΙ, ΚΑΙ ΠΟΤΕ ΟΥ.

λϛ'

Ἑξῆς ῥητέον καὶ περὶ τῶν κτητικῶν ἀντωνυμιῶν συντάξεως. αὗται προτασσόμεναι τῶν κτηματικῶν ὀνομάτων, χωρὶς τῶν ἄρθρων, πλῆθος παρεμφαίνουσιν. ἐμὸς οἰκέτης προσῆλθεν. καθὼς δὲ εἴπομεν προσλαβοῦσαι ἄρθρον, ὡς μοναδικὴν κτῆσιν παρεμφαίνουσιν. ὁ ἐμὸς οἰκέτης παραγένετο. διὸ καὶ λείπει τὰ τοιαῦτα ἄρθροις. σὸς δ' αὐτοῦ ἔκφυγε κῆρας ἀδελφεός. πρὸς ἓνα γὰρ αὐτοῦ ἀδελφὸν μνημονεῦσαι ἀποφαίνεται. πατὴρ δ' ἐμός ἐστι τυδεύς. μιᾷ γὰρ κλίσει ἐστὶ τῶν προειρημένων· τὸ ἐξῆς ἐστιν. οὐδὲ ἐμοῦ πατὴρ ἐπιθεῖτο. εἰ γὰρ προστιθεῖεν μὲν τὸ ὄνομα, ὑπερέχοι δὲ ἡ ἀντωνυμία, πάντως ἀπὸ τοῦ ὑπάρξεως ἐνεργεῖ ἐπιτυχοῦσα. βεβαιώσει τὸ ἐκλείπειν δηλοῦν. ὁ πατὴρ ἐμός ἐστιν. ὁ ἀγρὸς ἐμός ἐστιν. εἰ μὲν

Δ ii

τοι ἀναστραφείη ἡ ἀντωνυμία, ὑπὸ λοιπὸν χρῆσις τῶν ῥημάτων ἀδιπαράδεκτος· ὁ ἐμὸς πατὴρ τρέχει νικᾷ· ὑβρίζει· ὑβρίζεται· εἰ δὲ τοῦτο, ὁ πατὴρ ἐμός ἐστι προσθείημεν ἕτερον ἄρθρον, ἕξει ἂν τὴν αὐτὴν σύνταξιν τῇ προειρημένῃ· τοῦ μὲν πρώτου, ὁ ἐμὸς πατὴρ φιλοσοφεῖ· τοῦ δὲ δευτέρου ὁ πατὴρ ἐμός ἐστι· τοῦ δὲ τρίτου, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ· ὁ πατὴρ ὁ ἐμός ἐστιν· ἢ δώσει τις οὖν ὡς ἔφαμεν τὸ ἑξῆς αἴνεσαι, ὁ δὲ ἐμὸς πατὴρ ὁ εἰθεὶς, ἢ ἑτέρου πρόσθεσις ἄρθρου· πρὸ τοῦ ἐμὸς πάλιν τοῦ δευτέρου βιβαζομένου· ὁ δὲ πατὴρ ὁ ἐμὸς ὁ εἰθείς· χρὴ δὲ γινώσκειν, ὡς ἡ ἀντωνυμικὴ σύνταξις ἀρξαμένη, ἀπαράδεκτός ἐστι δύο ἄρθρων· ὁ ἐμὸς ἀγρός· ὁ ἐμὸς δοῦλος· καθὼς προείρηται:~

λδ' ΠΕΡΙ Τῶν τοῖς ὀνόμασι ἐπιφερομένων κτητικῶν ἀντωνυμιῶν, καὶ τῆς τούτων διαφορᾶς.

Ἡ δὲ τοῦ ὀνόματος προκατάρξασα, δύο ἄρθρων ἐστὶ δεκτική· ὁ δοῦλος ὁ ἐμός· ὁ πατὴρ ὁ ἐμός· ὁ δοῦλος ὁ ἐκείνου· τῶν δύο ἄρθρων δύο ἀναφορὰς διαφόρους δηλούντων· ἐν μὲν γὰρ τῷ, ὁ δοῦλος, τοιοῦτόν ἐστιν· οὐκ ἄλλος ἢ ἐκεῖνος ὁ πάλαι νοούμενος· ἐν δὲ τῷ, ὁ ἐκείνου, ὅς ἐστιν αὐτοῦ ἢ οὗ ἐκ πάλαι νοουμένου δεσπότου· καθὼς ἀπεδείξαμεν, ἐν τῷ ὁ πατὴρ ὁ ἐκείνου· καὶ ἔνθεν τρία ἄρθρα παραλαμβάνεται μετὰ δύο ὀνομάτων· κατὰ τὴν προειρημένην τήρησιν· ὁ φίλος ὁ τοῦ ἀνδρὸς διὰ μὲν τοῦ πρώτου, οὐκ ἄλλος· ἢ ὁ προεγνωσμένος διὰ δὲ τοῦ δευτέρου, οὐκ ἄλλου ἢ τοῦ προεγνωσμένου ἀνδρός, ὃ καὶ τὸ τρίτον ἐστὶν ἄρθρον· ἐν τῷ ὁ πατὴρ ὁ τούτου, οὐ προστίθεται τὸ τοῦ, ἄρθρον· οὐδὲ ἐν τῷ ὁ πατὴρ ὁ ἐκείνου· ἐπείγε οὐ δύνανται αἱ τοιαῦται ἀντωνυμίαι δεκτικαὶ εἶναι ἄρθρου ἀναδέξασθαι· καθὼς ἀπεδείξαμεν· ὁμοίως δὲ καὶ τὸ ὁ πατὴρ ὁ ἐμός, τῆς συντάξεως τὸν αὐτὸν ἔχει λόγον· τὸ γὰρ πρόσωπον τὸ τῆς ἀντωνυμίας ὡς εἴπομεν, γενικῆς ἐστιν· εἰς ἣν καὶ μεταλαμβάνεται ὁ ἐμός:~

ΠΟΤΕ Τὰ ἀπὸ ὀνόματος ἀρχόμενα δύναται προσ-

κε' λαμβάνειν ἕτερον ἄρθρον πρὸ τῆς ἀντωνυμίας:

ὁ δοῦλος ὁ ἐμός· οὐ μὴν τὰ ἀπὸ ἀντωνυμίας ἀρξάμενα;

Μὴ δὲ παραλειπέσθω κἀκεῖνο· ὡς τὰ ἐπιτρέχοντα πτωτικὰ τὴν

D Δ ιι

τῶν προσηγορικῶν θέσιν, προσλαμβάνοντα κατ᾽ ἀρχὴν τοῦ λόγου ἄρθρον, ἐμποδίζει τὴν τοῦ ἑτέρου ἄρθρου παρείσδυσιν· οἷόν τι γὰρ ἔστι φάναι ὁ ἄνθρωπος ὁ ἀγαθός· οὐ μὴν ὁ ἀγαθὸς ὁ ἄνθρωπος· ὁ δοῦλος ὁ ἐμός· οὐ μὴν ὁ ἐμὸς ὁ δοῦλος· ὁ παῖς ὁ γράψας· οὐ μὴν ὁ γράψας ὁ παῖς· καὶ σαφὲς ὅτι αἰτία ἐστὶ τοιαύτη· ἐπεὶ τὰ ἐπιθετικώτερον ἀκουόμενα, φέρεται ἐπὶ τὰ ὑποκείμενα· οὐ μὴν τὰ ὑποκείμενα, πάντως ἐπὶ τὰ ἐπίθετικά· εἴγε τὸ, ἄνθρωπος οὐκ ἐπιζητεῖ τὸ, λόγιος, τὸ γε μὴν λόγιος τὸ, ἄνθρωπος· συμβαίνει δὲ καὶ τὴν συνοῦσαν διαφορὰν ἐν τῷ, ὁ λόγιος, συμφέρεσθαι ἐπὶ τὸ, ἄνθρωπος· καὶ ὡς οὐκ ἔστι προσθεῖναι μετὰ τὸ, λόγιος, οὕτως οὐδὲ μετὰ τὸ, ἐν τῷ ὁ λόγιος ἄνθρωπος ἕτερον ἄρθρον· προσυνήνεκται γὰρ διὰ τοῦ συνόντος ἐπιθέτου:~

## λϛʹ ΠΟΤΕ ΚΑΙ ΤΑΙΣ ΑΛΛΑΙΣ ΠΛΑΓΙΑΙΣ ΣΥΝΤΑΣΣΕΤΑΙ ΤΟ ΑΡΘΡΟΝ·

Τρύφων φησὶ προτάττεσθαι καὶ τῶν ἄλλων πλαγίων τὸ ἄρθρον τὸ ὁ· μετοχῆς ἐπιφερομένης ἢ τῆς οὗτος ἀντωνυμίας μετὰ ῥήματος τοῦ ἔστιν· ὁ τὸν ἄνθρωπον ὑβρίσας οὗτός ἐστιν· οὐδὲν δὲ κωλύει καθολικώτερον φάναι, καὶ εὐθείας οἱασδήποτε, ῥήματός τινι τὴν ὕπαρξιν σημαίνοντι ἢ ὀνοματικὴν οὐσίωσιν· ὁ τὸν ἄνθρωπον ὑβρίσας, Θέων ὀνομάζεται· ὁ τὸν ἄνθρωπον λακτίσας, ἵππος ἐστίν· ὁ τὸν ἄνθρωπον ὑβρίσας ἐγώ εἰμι· ἐπεξεργάζεσθαί τι τὴν αἰτίαν οὕτως ἔχουσαν· Αἱ πλάγιαι συντάσσονται ταῖς εὐθείαις μεταξὺ πίπτοντος ῥήματος· οὗ τὸ τῆς διαθέσεως ἐπὶ τὴν πλαγίαν μετείσιν ἐκ τῆς συνούσης εὐθείας· τὸν ἄνθρωπον ὕβρισε Θέων· τὸν ἄνθρωπον ἐλάκτισεν ἵππος· ἑξῆς δὲ συντάξεως εἰ προσθείημεν τὸ ἄρθρον πρὸ τῆς ἐγκειμένης εὐθείας, μένει τὰ τοῦ λόγου κατάλληλα· τὸν ἄνθρωπον ὕβρισεν ὁ Θέων· τὸν ἄνθρωπον ἐλάκτισεν ὁ ἵππος· Εἰ μέντοι πρὸ τῆς αἰτιατικῆς, οὐ γενήσεται τὰ τοῦ λόγου κατάλληλα· ὁ τὸν ἄνθρωπον ὕβρισε Θέων· τὸ γὰρ ἄρθρον ἀποστὰν τῆς εὐθείας, τὸν λόγον παρέφθειρε· καὶ ἐνθένδε τὸ ῥῆμα μετοχὴ γίνεται, ἵνα ἀποδῷ τῷ ἄρθρῳ καὶ τὴν ὀρθὴν πτῶσιν, καὶ τὸ ἀρσενικὸν γένος·

καὶ ἐπεὶ ἀδύνατόν ἐστι δίχα ῥήματος λόγον συγκλείεσθαι, παρα-
λαμβάνεταί τι τῶν ὕπαρξιν δηλούντων· ἵνα τὴν τοῦ δράσαντος
προσώπου διάθεσιν δηλώσῃ· ἐπεὶ καὶ προσώπων ἡ μετοχὴ ἀμοι-
ρεῖ· Ὁ τὸν ἄνθρωπον ὑβρίσας Τρύφων ἐστὶν ἢ Τρύφων ὀνομάζε-
ται· καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, αὐτὸ μόνον τὸ ἐστὶν ἢ ἔγκλιμα τοῦ του
παραλαμβάνεται· οὗτός ἐστιν· ἢ οὗτος ἦν· ἐγώ εἰμι· σὺ εἶ· οὐσίας γὰρ
μόνης εἰσὶ σημαντικαὶ αἱ ἀντωνυμίαι· ἣν παρασημαίνει τὸ εἰμί· τοῖς
δὲ ὀνόμασι, τὸ ὀνομάζεται, καὶ τὰ σύζυγα· ἐπὶ τῶν ὀνομάτων, ἴ-
διον τὸ ὀνομάζεσθαι ἢ καλεῖσθαι· Ὁ τὸν ἄνθρωπον ὑβρίσας, Τρύφων
λέγεται ἢ καλεῖται· οὐχὶ οὖν καὶ τὸ ἐστι συμπαρέσεται πάνυ ἐν λό-
γοις· ἐπεὶ ἐν ὑπάρχει τοῖς μὲν ὀνομαζομένοις, τὸ οὐσιῶδες· ἐμὴν
τοῖς οὐσιώδεσιν, ἡ ἰδία διάθεσις τῶν ὀνομάτων· οὐ γὰρ εἰ ἔστι τις, πάν-
τως καὶ Ὀδυσσεύς· εἰ δέ τις ὁ Ὀδυσσεύς, πάντως καὶ οὗτος· οὗτος διο-
λαερτιάδης πολύμητις Ὀδυσσεύς· αἱ τοιαῦται συντάξεις ἐγχω-
ροῦσι, καὶ ἐπὶ γενικῶν καὶ ἐπὶ δοτικῶν· Τῶν γενικῶν ἐξαίρετον ἐχου-
σῶν, τὸ, καὶ μετοχῆς μὴ ἐπιφερομένης, προσλαμβάνειν ἄρθρον·
ὃ πάντως φέρεται ἐπὶ τὸ κτῆμα, ὃ δὲ αὐτὸ μόνως νοεῖται· διὸ τὴν
ἐξαίρετον ἔχει τὴν σύνταξιν· Ὁ τοῦ ἀνθρώπου οἰκέτης ἔδραμεν·
Εἴγε μὴ τῷ δὲ ἔχει ἐπὶ ῥήματι ἐπιφέροιτο, οὐδὲ προσλαμβάνει τὸ ἄρ-
θρον· ἀνθρώπου ἀκούω· ἀγροῦ ἀπάζω· σὺν δυσὶν ἄρθροις λέγεται
ἐν προσηγορικοῖς· καθ' ἣν προεκτιθέμεθα σύνταξιν· τὸ τῆς ἐλάφου
ἔκγονον· Ὁ τοῦ ἀνθρώπου υἱός· μετὰ δὲ κυρίων, τὸ ἓν ἐκλείπει· καὶ
τὸ κύριον χωρὶς τοῦ ἰδίου ἄρθρου λέγεται· ὁ Ἀριστάρχου γνώριμος·
ὁ Ἀπολλωνίου φίλος· καὶ κατὰ τὸ ἐναντίον, κυρίου σύνταξιν ἀποφέ-
ρεται τὸ, βασιλεύς· φαμὲν γάρ, ὁ βασιλέως οἰκέτης παρεγένε-
το· τῶν ἄλλων προσηγορικῶν ἀπαραδέκτων ὄντων· καίτοι εὐ-
λόγως τὰ προσηγορικὰ δύο ἄρθρα αἰτεῖ· Οὐ γὰρ ἐνδέκτον ἀνα-
φέρεσθαι κτῆμά τινος τοῦ κτήτορος μὴ οὐχὶ προαναφερομένου·
ἢ γὰρ ἀμφότερα χωρὶς ἄρθρου, λέοντος σκυμνίον ἔδραμεν, ἢ
ἀμφότερα συνεισενεχθήσεται· τὸ τοῦ λέοντος σκυμνίον ἔδραμεν· τὰ
μέντοι κύρια διὰ τὴν ἰδίαν θέσιν ἀναπλούμενα, οὐκ ἔχοντα πρὸς

δέεται τοῦ ἄρθρου· ταύτῃ γοῦν δοκεῖ παράδεκτον γενέσθαι, καὶ τὸ, ὁ βασιλέως οἰκέτης· καθὸ δυνάμει κύριον ἐστὶν ὄνομα· τὸ, ὁ βασιλεύς· νοεῖται γὰρ ἐκ τοῦ ἐπικρατοῦντος ὁ Πτολεμαῖος· καὶ μᾶλλόν γε ἰδιάζεται τῷ Πτολεμαίῳ· οἵ γε ὁμώνυμοι μὲν, Πτολεμαῖοι· εἷς δὲ εἰς ὃν τὰ τῆς βασιλείας ἀνήνεγκεν. ἔστι δὲ καὶ ἑτέρα σύνταξις μετοχικὴ μετὰ ἀπαρεμφάτου ῥήματος· καὶ τῆς ὑπολοίπου συντάξεως, ἣν προεκτιθέμεθα· ὁ τὸν ἄνθρωπον θέλων ὑβρίσαι, οὗτός ἐστι· καθόλου ἡ τῶν προαιρετικῶν ῥημάτων σύνταξις εἰς μετοχὴν μεταλαμβανομένη, οὕτω καθίστησι τὸν λόγον· διότι μέντοι τὰ προαιρετικὰ ῥήματα ἐξαιρέτως ἀπαιτεῖ ἀπαρεμφάτων σύνταξιν, κατὰ τὸν δέοντα καιρὸν παραστήσομεν.

Κατὰ δὴ τὰς προειρημένας συντάξεις, ἡ ἑκὼν μετοχὴ ἀπεστήσατο τῆς τῶν μετοχῶν ἐννοίας. Οὔτε γὰρ μετὰ ἀπαρεμφάτου συγκλείει λόγον, οὔτε χωρὶς ἀπαρεμφάτου· ὁ τὸν αὐτὸν ἑκὼν ὑβρίσας, τίς ἐστι. καὶ γὰρ χωρὶς τοῦ ἀπαρεμφάτου, ἀκατάλληλος ὁ λόγος· εἴρηται ἡμῖν ἀκριβέστερον ἐν τῷ περὶ μετοχῶν ἡ αἰτία τῆς καταλληλότητος:~

λζ′ Περὶ συντάξεως ὑποτακτικῶν ἄρθρων.

Ἑξῆς ῥητέον καὶ περὶ τῶν ὑποτακτικῶν ἄρθρων ἅπερ οὐ μόνον τάξει καὶ φωνῇ διαφέρει τῶν προτακτικῶν, ἀλλὰ καὶ ἐν τῇ συντάξει πάνυ διαφέρει· καὶ πρόδηλα μὲν τὰ διάφορα τῆς φωνῆς καὶ τῆς τάξεως· περὶ ἧς καὶ προειλόμεθα ἐκθέσθαι τὰ προτακτικὰ τῶν ἄρθρων, συνοδεύει τοῖς ὀνόμασιν εἰς τὸ αὐτὸ ῥῆμα καὶ εἰς τὴν μετοχήν. Ἄνθρωπος περιπατεῖ· ἀνδρὸς ἄδοντος ἤκουσα. Ἔτι σὺν ἄρθρῳ· ὅπερ ἀδύνατον ἐγχωρῆσαι ἐν ὑποτακτικῷ. λέγω κατὰ γενικὴν σύνταξιν· ἑτέρου γὰρ ῥήματος παρέμπτωσιν αἰτεῖ· ἦλθε γραμματικὸς, ὃς διελέξατο· ὃς ἀνέγνω· κἂν ἐν μεταβάσει γένηται τὰ τοῦ ῥήματος· λέγω ἐν ἑτέρῳ προσώπῳ· ἀνθρώπῳ ὡμίλησα, ᾧ παρέσχον ξενίαν. Εἰ μέντοι τις τῇ προκειμένῃ συντάξει προσδώσει τὰ προτακτικὰ ἄρθρα, ἀσύστατος ὁ λόγος γενήσεται· ὁ γραμματικὸς ἦλθε, διελέξατο· τῷ ἀνθρώπῳ ὡμίλησα παρέσχον ξενίαν· χωρὶς εἰ μὴ συμπλεκτικὸν σύνδεσμον λάβοιεν, δηλαδὴ μὲν εἰς κοι-

νότητα τοῦ ἀνθρώπου παραλαμβάνεσθαι. καὶ προεῖπον ὅτι τὸν καὶ εἶτινα τῶν οὕτως ἰσοδυναμούντων. ὡς ἀκριβέστερον ἐντελῶς ἐπεδείξαμεν ἐν τῇ τῶν συνδέσμων συντάξει. καθίσταται γοῦν οὕτως ὁ γραμματικὸς παρεγένετο καὶ διελέξατο. τῷ ἀνθρώπῳ ὡμίλησα. καὶ παρέσχον ξενίαν. ἢ φυσικώτερον πῶς ἐστὶ τὸ ποιεῖν τοιοῦτον ἐπινοῆσαι. ὡς ἔφαμεν τὸ ὑποτακτικὸν ἄρθρον ἐπὶ ῥῆμα ἴδιον φέρεται. συνδεδεμένον διὰ τῆς ἀναφορᾶς τῷ προκειμένῳ ὀνόματι. καὶ ἐντεῦθεν ἁπλοῦν λόγον οὐ παριστάνει. κατὰ τὴν τῶν δύο ῥημάτων σύνταξιν. λέγω τὴν ἐν τῷ ὀνόματι καὶ τὴν ἐν αὐτῷ τῷ ἄρθρῳ. ὥσπερ πάλιν παρεῖπερ τῷ καὶ συνδέσμῳ. κοινὸν μὲν παρελάμβανε τὸ ὄνομα τὸ προκείμενον. συμπλεκον δὲ ἕτερον λόγον, πάντως καὶ ἕτερον ῥῆμα παρελάμβανε. καὶ οὕτω τὸ, παρεγένετο ὁ γραμματικὸς, ὃς διελέξατο, δυνάμει τοῦ αὐτοῦ ἀπαρτίζει, τοῦ ὁ γραμματικὸς παρεγένετο καὶ διελέξατο, τῆς ἰσαζούσης καὶ τῆς ὀνομασίας τῶν μορίων. τὸ δὲ συνηρτῆσθαι καὶ συνδεδέσθαι, οὐ μακρὰν τῆς συνωνυμίας πέπτωκεν. ἔστι δὲ καὶ ἄλλη σύνταξις ἰσοδυναμοῦσα τῇ ὑποτακτικῇ συντάξει τῶν ἄρθρων, ἡ διὰ τῶν ἀναφορικῶν ἀντωνυμιῶν. ἀνθρώπῳ ὡμίλησα καὶ αὐτῷ παρέσχον ξενίαν. ὁ γραμματικὸς παρεγένετο καὶ οὗτος διελέξατο. πάλιν γὰρ ἡ ἐγκειμένη ἀναφορὰ ἐν τῷ ἄρθρῳ συνυπάρχει ταῖς τοιαύταις ἀντωνυμίαις. καὶ ἔνθεν τὰ τοῦ λόγου καθίστατο ἰσάζοντα ἐν αὐτῷ. οὐ χεῖρον οὖν ὑπολάβοι τις ὑφ' ἓν μέρος λόγου πίπτειν τὰ μόρια. οὐ πάντως. οὐ γὰρ ὅτι τὸ παρεπόμενον τοῖς ἄρθροις ἀπηνέγκαντο, καὶ ἄρθρα ἐστίν. εἴγε καὶ ἄλλοις διαφόροις διέστηκε μόρια. καὶ γὰρ τὰ ῥήματα τὸ εὔχρηστον τῶν κατ' εὐθεῖαν ἀντωνυμιῶν ἀπηνέγκαντο. καὶ οὐ πάντως ἓν μέρος λόγου. πάλιν γὰρ τὰ αὐτὰ πολλοῖς διέστηκεν ἰδιώμασιν. ἀλλὰ καὶ προεκτιθέμεθα. ὅτι ἀντὶ τῶν ὑποτακτικῶν ἄρθρων, ἀθροιστικὸς σύνδεσμος παραλαμβάνεται. καὶ οὐχὶ ἓν μέρος λόγου, οἱ ἀθροιστικοὶ σύνδεσμοι καὶ τὰ ἄρθρα. ἀλλ' οὐδὲ κατὰ τὴν αὐτὴν σύνταξιν συμφέρονται αἱ ἀντωνυμίαι. αἴρουσι γὰρ πάλιν τὸν σύνδεσμον. γραμματικὸς παρεγένετο καὶ οὗτος διελέξατο.

D Δ IIII

προ ὃ ποτ' ὅτι εὖ φίλοι τὶς τὸν σύνδεσμον· ἀσυνέστατα τὰ τοῦ λόγου γίνεται· πρὸς δὲ καὶ δύναται ἡ δεικτικώτερον αὐτὸ τὸ πρόσωπον τὸ ἐκ τοῦ γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο· λέγω δεικτικῶς· ἔτι ἐπὶ τοῦ, αὐτὸς ἀναφορικῆς, τὸ κατ' ἐξοχὴν πρόσωπον νοούμενον· γραμματικὸς παρεγένετο καὶ αὐτὸς διελέξατο· ὡς εἴ τις οὕτως λέγοι· ὁ δεσπότης ὁ κύριος· εἰ μέντοι τῇ ἀρθρικῇ συντάξει ἐπιτεθείη τις τὸν σύνδεσμον, σαφὲς ὅτι ἐπιστάμενοι τὸ ἄρθρον τὸ συνεκτικὸν, οὐκ ἀνοίσει τὸ προκείμενον ὄνομα ἀλλὰ διτὸ, καὶ ἀορίστως νοούμενον ἀμφ' ὡμίλησα, ᾧ ξενίαν παρέχει· πῶς οὖν τοιαύτης διαφορᾶς οὔσης, παραδέξεται τὸ ὑφ' ἓν μέρος λόγου ὑπάγειν τὰ ἄρθρα καὶ τὰς ἀντωνυμίας.

## λδ΄ Περὶ διαφορᾶς τῶν ἐν τοῖς προτακτικοῖς πρὸς τὰ ὑποτακτικά.

Ἔτι τὰ ὑποτακτικὰ ἄρθρα, οὐκ ἀδιαφορεῖ πρὸς τὸ κατάλληλον τῆς πτώσεως τῶν προτασσομένων αὐτῶν ὀνομάτων· πρὸς ἃ καὶ ἀναπέμπει τὴν ἀναφοράν· ἦλθεν ὁ ξένος, ᾧ συνήκουσα· οὗ καὶ πρώην ξυνέβαλον· καὶ ἐξ εὐθείας μὲν ὀνόματος παράθεσις γίνεται, καὶ πλαγίας πτώσεως· ἐπὰν ἑτέρῳ προσώπῳ ἡ διάθεσις τοῦ ῥήματος προσνέμηται· ἐκ δὲ πλαγίας ὀνόματος εὐθείας, ἐπιφέρεται ἄρθρα, ἐάν γε τοῦ ἄρθρου ἀναφορᾷ τὸ ῥῆμα προσνέμῃ τῷ προκειμένῳ ὀνόματι τῷ κατὰ τὴν πλαγίαν· τὸ τοιοῦτον δὲ δύο εὐθεῖαι οὐκ ἔστι· λέγω δὲ ὀνόματος καὶ τοῦ ὑποτακτικοῦ ἄρθρου, ὅταν τὸ αὐτὸ πρόσωπον τὰς δύο διαθέσεις συνέχῃ· τὸ μὲν οὖν πρώην, γραμματικὸς ἦλθεν, ᾧ ὁ Τρύφων ὡμίλησεν· ἐν δὲ τῇ εὐθείᾳ καὶ Τρύφων τὰ τοῦ ῥήματος ἐγένετο. Τὸ δὲ δεύτερον, „ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ „πλάγχθη. Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς· ἦσαν μὲν δὲ πλάγιοι· τῶν δὲ διαθέσεων ἠρτημένων ἐκ τῶν μουσῶν, αἷς εὐθεῖαι ἐπέχουσι, διὰ τὸ τὰ ἄρθρα τὴν διάθεσιν ἀναδέχεσθαι, καὶ ἐπὶ τοῦ μῆνιν· οὕτω δὲ ὃς ἐπλάγχθη· ἣ ἔθηκε μυρία ἄχεα τοῖς Ἕλλησι· καὶ ἔτι τὸ, ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς, ὅς ποτε μειρόμενος μέγα ἐγήθει. καὶ γὰρ τὸ οἰμώξειεν, ἐπὶ τοῦ Πηλέως τέθειται, καὶ ἐγήθει.

λθ'. ΟΤΙ κἂν ἐν διαφόρῳ πτώσει ὑποτάσσηται, κατάλληλον λόγον ποιεῖ.

Ταύτῃ μοι δοκεῖ τὰ ἀκατάλληλον κείμενα τὰ ἄρθρα πρὸς τὰ προκείμενα πτωτικά, λόγον κατάλληλον συγκλείειν· καθὸ τοῖς ῥήμασι καταπλέκοντα λοιπόν, τὴν τούτοις συνοδεύουσαν πτῶσιν μεταλαμβάνει· ὥστε τὴν ἀναφορὰν μὲν χαρίζεσθαι τῷ ὀνόματι· τὴν δὲ πτῶσιν, τῷ ῥήματι. Ἐχαρισάμην φίλῳ, ὃν καὶ Τρύφων γινώσκει· ἐπεὶ τὸ γινώσκειν αἰτιατικὴν ἀπαιτεῖ. Ἔτι ὁ Ἀρίσταρχός ἐστιν ὁ ἐξηγησάμενος τὰ ποιήματα· προφανῶς ἀνελλιπές ἐστιν.

Εἰ μέντοι τὸ ὁ ἀπὸ τοῦ ὅστις θείη, οὐκέτι, ὁ Ἀρίσταρχός ἐστιν, ὃς ἐξηγησάμενος τὰ ποιήματα, φαίνεται ὅτι καθὼς προείπομεν, διὰ τὴν ἰδιότητα τοῦ ὑποτακτικοῦ ἄρθρου, προσλαβὼν τὸ ῥῆμα, ἀπαρτίζει τὸν λόγον. Ὁ Ἀρίσταρχός ἐστιν, ὃς ἐξηγησάμενος τὰ ποιήματα, ἐθαυμάσθη· προφανὲς οὖν, ὅτι τὰ τῆς φωνῆς προτακτικὰ ἄρθρα, οὐκ ἄλλως ἐπιζητήσεται, ὅτι αὐθυποτακτικά ἐστιν, εἰ μὴ τὸ ῥῆμα φέροιτο· ὅπερ ἴδιον ὑποτακτικῶν· ἤδη καὶ τῆς συντάξεως καὶ τῆς φωνῆς τὸ τοιοῦτον ἐνδεικνυμένης· ὡς ἔχει τό, τῷ δ' οὐδὲ „κρείων Ἀχελώϊος ἰσοφαρίζει· καὶ γὰρ ἕνεκα τῆς συντάξεως, μετὰ τὸ ὄνομα τέθειται· καὶ ἕνεκα τῆς φωνῆς ἀπὸ γὰρ τοῦ τ ἤρξατο, τῶν ὑποτακτικῶν δίχα τοῦ τῶν λεγομένων· καὶ ἔτι τῆς συντάξεως· φέρεται γὰρ ἐπὶ τό, ἰσοφαρίζει. Γότι μέντοι τὰ τοιαῦτα τῶν ἄρθρων, οὔτε ὑποτακτικὰ ἄρθρα δύναται εἶναι, οὔτε προτακτικά· ἀλλ' ἢ ἀντωνυμικά, ἢ ἀοριστούμενα μόρια, ἐπὰν τὰς συντάξεις ἐπίωμεν τῶν ἀντωνυμιῶν, παραστήσομεν· τούτων δὲ τῇδε ἐχόντων, ἐπιστατέον πῶς, καὶ θώρηχ' „ὃ γὰρ ἦν οἱ ἀπώλεσε πιστὸς ἑταῖρος.

Πότερον τὸ ὃ προτακτικόν ἐστι πρὸς τό, πιστὸς ἑταῖρος, ἢ αὐθυποτακτικόν ἐστι τοῦ ὅς, ἀναφερόμενον πρὸς τό, θώρηκα, ἢ πρὸς τὸ ἑταῖρος· καθ' ὑποτακτικὴν σύνταξιν εἴρηται. Ἀνέφικτον οὖν προτακτικὸν αὐτὸ παραδέξασθαι· οὐ γὰρ μετὰ προτακτικὸν ἄρθρον ῥῆμα ποτε ἐπιφέρεται· ἐπιφέρεται δὲ τὸ ἦν· ὃ οὐκέτι ἄλλο τι ἀπαιτήσει, ἢ ὑποτακτικὸν ἄρθρον· ὅπερ οὐ πιθανὸν ἐπὶ τὸν

θώρακα ἀναφέρεσθαι. οὐ γὰρ τοῦτον μόνον ἀπώλεσεν ὁ Πάτροκλος. ἅμα γὰρ ἀσπίδι καὶ τρυφαλείᾳ. καὶ καλὰς κνημῖδας ἐπισφυρίοισιν ἀραρυίας καὶ θώρακα. καὶ ἐάν τις τὸ τοιοῦτον παραλάβῃ, ἔτι μάχεται τὸ ἀκατάλληλον τοῦ λόγου. δοθήσεται γὰρ ὅτι ἡ ὕπαρξις τοῦ θώρακος διὰ τῆς τοῦ ἄρθρου συντάξεως νοεῖται. καθὼς προαπεδείξαμεν. καὶ εἰ τοῦτο, πῶς τὸ, πιστὸς ἑταῖρος συντυχθήσεται μετὰ ῥήματος, ἑτέρας εὐθείας γινομένης σὺν ἐπιφερομένῳ ῥήματι τῷ ἦν. πότε δύο εὐθεῖαι κατάλληλον λόγον ἐποίησαν.

Ἄμεινον οὖν ἐκεῖνο φάναι. ὡς πλαγία καὶ εὐθεῖα κατάλληλον λόγον ποιεῖ. ἡ γοῦν εὐθεῖα ἡ διὰ τοῦ ὅς, εἰς τὴν αὐτὴν εὐθεῖαν παραλαμβανέσθω τοῦ ἑταῖρος. ὃς ἦν αὐτῷ πιστὸς ἑταῖρος, ἀπώλεσε τὰ προκατειλεγμένα. λέγω ἀσπίδα καὶ τρυφάλειαν. καὶ καλὰς κνημῖδας. καὶ θώρακα. ἑτέρα γοῦν ἀντὶ τούτων ἁπάντων ἐξαιτεῖται. χωρίς, εἰ μὴ θέλοι τις αἰτιατικὴν ἔξωθεν προσνεῖμαι. ἐφ' ἣν πάντως συγχρήσεται τὸ ἀπώλεσε. καὶ ἡ πρόθεσις τοῦ ἄρθρου τί μοι τὸ τοῦ ὅς. καὶ θώρηχ' ὃς γὰρ ἦν οἱ ἀπώλεσε πιστὸς ἑταῖρος:~

μ´. ΠΟΤΕ τὰ ὑποτακτικὰ ἄρθρα κοινῶς παραλαμβάνει τὸ ῥῆμα, καὶ πότε οὔ.

Τὰ ὑποτακτικὰ ἄρθρα ποτὲ μὲν ἐν κοινότητι ἔχει τὸ ῥῆμα, ὅταν καὶ ἐπιμερίζῃ τὰ πρόσωπα τὰ ὑποκείμενα. φέρε γὰρ οὕτω φάναι. διέστησαν αὐτοί. ὃς μὲν, ἀπὸ ἀνατολῶν. ὃς δὲ ἀπὸ δύσεως. ἢ καὶ ἔτι ἐπὶ τῆς τοιαύτης συντάξεως. Μετὰ τὸ, αἰθίοπας ἐπιφέρει ὑποτακτικὸν ἄρθρον τὸ οἵ. ὅπερ συνηθέστερον διὰ τοῦ τ̄ Ὅμηρός φησι. τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. καὶ σαφές ἐστιν ὅτι ἡ τοῦ δεδαίαται σύνταξις φέρεται πρὸς τὴν πληθυντικὴν εὐθεῖαν. ἥτις κατὰ τὸ ἑξῆς ἐπιμεριζομένη πρὸς τὴν τῶν αἰθιόπων διάστασιν, κοινὸν παραλαμβάνει τὸ ῥῆμα μετὰ τῶν ὑποτακτικῶν ἄρθρων. αἰθίοπας τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. οἱ μὲν, δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος. ὥστε καὶ ὑπ' ἐκείνου τοῦ ῥήματος. προστιθὲν ῥῆμα. πάλιν τὸ ἐξ αὐτοῦ ἐπιμεριζόμενον ἀνενδοίαστον ἔσται. οἱ δὲ δύο σκόπελοι ἱκάνουσιν, ὃς μὲν ἄχρι τοῦ οὐρανοῦ. ὃς δ' ἄχρι τοῦ ὀλύμ-

που. προϋπάρχοντος γὰρ τοῦ τοιούτου, ἁμαρτία πᾶσα τοῦ ὑποτακτικοῦ ἄρθρου προσγίνεσθαι τὸ ῥῆμα, τήν τε προϋποῦσαν εὐθεῖαν καθὼς ἀπεδείξαμεν εἰς γενικὴν μετελθεῖν. αὕτη γὰρ μόνη μὴ προσλαβοῦσα τὸ ῥῆμα, ἐπιμερίζεται εἰς τὰ ἐξ αὐτῆς πρόσωπα νοούμενα. αἱ μέντοι ἄλλαι πτώσεις οὐκέτι εἰ μὴ προσλάβοιεν ῥῆμα. Νεστορίδαι δ' ὁ μὲν, οὔτασ' ἀτύμνιον. προφανῶς γὰρ πάλιν τὸ ὁ, ἀντὶ τοῦ ὅς ἐστι. χωρὶς εἰ μὴ πτωτικὸν λείπει, οὐ προηγήσεται πάντως τὸ ὁ προτακτικὸν ἄρθρον. ἔχοντος τῇδε τοῦ λόγου. τῶν Νεστοριδῶν, ὁ μὲν ἕτερος οὔτασ' ἀτύμνιον. τῶν δύο σκοπέλων ὁ μὲν ἕτερος οὐρανὸν ἱκάνει. καθ' ὃν ἄν τις κἀκεῖνο ἐπιστήσῃ. ἢ μὴν πειραίνουσι δύο ὑπολάβοι ἀμφοτέρωθεν. ἀλλ' ὁ μὲν, οὐκ ἔστιν οὗτος. πάλιν τοῦ ἐντελοῦς ὄντος, ἀλλ' ὃς μὲν οὐκ ἔστιν οὗτος. ἀπὸ γὰρ κοινοῦ τοῦ πειραίνουσι, δυνάμει ἔχει ἐγκείμενον ῥῆμα. τὸ, πειραίνει, ἐφ' ὃ καὶ φέρεται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐπιφερομένου λόγου. ὃς δ' ἐπὶ ὁ πόσων πάλιν πειραίνει τὸν ἄξονα. τοῦ τοῦ γὰρ συμφράζεται. ἐκ γὰρ τοῦ βορεινοῦ ὕψους, ἀντίος ἐστὶ τῶν τοῦ Ὠκεανοῦ~

* * * * *

## Ἀπολλωνίου Ἀλεξανδρέως περὶ τῆς τῶν ἀντωνυμιῶν συντάξεως βιβλίον δεύτερον.

### ΤΑ'ΔΕ ἘΝΕΣΤΙΝ ἘΝ ΤΩ͂Ι ΔΕΥΤΈΡΩΙ ΒΙΒΛΊΩΙ.

α. Ὅτι ἀναγκαίως ἡ ἀντωνυμία ἐκ πτώσεως διάκεισιν ἀνεδέξατο καὶ προσώπων.

β. Ὅτι δεόντως ἐν ἀρχῇ τὸ πρόσωπον διακρίνει. ἐν δὲ τῷ τέλει τὴν πτῶσιν. καὶ ὅτι φυσικὸν τὸ τέλος περὶ πτῶσιν καθέστηκε.

γ'. Διατί αἱ μὲν, αὐτῶν δεικτικαί· αἱ δὲ, ἀναφορικαί·

δ'. Ὅτι ἀναγκαίως τὰ τρίτα πρόσωπα ἐν πλείοσι φωναῖς καταγίνεται·

ε'. Διατί κατὰ τὸ τρίτον οὐ τὶ ἐπέκτασιν ἀνεδέξατο χωρὶς τοῦ αὐτός.

ϛ'. Ὅτι δεόντως καὶ κατὰ πτῶσιν θεματικαὶ καὶ κατὰ ἀριθμόν.

ζ'. Εἰ δεόντως ἡ ἐκείνων αἱ σύζυγοι γένη παρεδέξαντο.

η'. Τίς ἡ αἰτία τοῦ τὰ ἄρθρα παρὰ ποιηταῖς εἰς ἀντωνυμίαν παραλαμβάνεσθαι.

θ'. Διατί ἀντὶ τοῦ ὀνόματος αἱ ἀντωνυμίαι ἐπενοήθησαν.

ι'. Ποῖα ῥήματα συντάσσεται τοῖς ὀνόμασι κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον, καὶ ποῖα οὔ· καὶ τί τούτου τὸ αἴτιον.

ια'. Πότε πάντα τὰ ῥήματα συντάσσεται ἀντωνυμίαις, καὶ πότε οὔ.

ιβ'. Τίνες τῶν συνδέσμων ὀρθοτονοῦσι τὰς ἀντωνυμίας· καὶ τίς ἡ τούτου αἰτία.

ιγ'. Περὶ διαφορᾶς τῶν συνδεδεμένων ἀντωνυμιῶν καὶ τῶν παρακειμένων τοῖς συνδέσμοις οὐ μὴν συνδεδεμένων.

ιδ'. Τίς ἡ αἰτία τοῦ καὶ τὰς προθέσεις ὀρθοτονεῖν τὰς ἀντωνυμίας.

ιε'. Ὅτι ἀναγκαίως αἱ μὲν, ἐγκλιτικαὶ ἐγένοντο· αἱ δὲ οὔ.

ιϛ'. Κατὰ πόσους τρόπους αἱ ἀντωνυμίαι ὀρθοτονοῦνται.

ιζ'. Τίνες αὐτῶν μόνον ὀρθοτονοῦνται· καὶ τούτου τὸ αἴτιον.

ιη'. Ὅτι οὐ πάντοτε αἱ κατὰ τὸ τρίτον ὀρθοτονούμεναι, εἰς σύνθετον παραλαμβάνονται· καὶ τίνες ἐγκλίνονται, τίνες δ' οὔ.

ιθ'. Ποίῳ λόγῳ Ἀρίσταρχος τὰς κατὰ τὸ τρίτον συνθέτους πληθυντικὰς ἀλόγους ἡγεῖται.

κ'. Τίς ἀφορμὴ τοῦ ἐν πληθυντικοῖς μόνοις γενέσθαι, οὐ μὴν ἐν ἑνικῷ καὶ δυϊκῷ· καὶ διατί ἐκ πληθυντικῶν, πληθυντικαὶ συνθέσεις οὐκ ἐγένοντο.

κα'. Ὅτι οὐ δεόντως ἀπὸ πληθυντικῆς ἀντωνυμίας ἐθνικὴ παραγωγὴ ἐγένετο, ἐν τῷ ἡμεδαπὸς καὶ ὑμεδαπός.

κβ'. Ὅτι ἀναγκαίως ἡ κατὰ τὸ τρίτον παραγωγὴ ἐσιγήθη. Καὶ διατί προσηκόντως τὸ, ἀλλοδαπὸς ἐπιζεύγνυται.

α. ΟΤΙ ἈΝΑΓΚΑΙΩΣ Η ἈΝΤΩΝΥΜΙΑ ΚΑΙ ΠΤΩΣΕ
ΩΣ ΔΙΑΚΡΙΣΙΝ ἈΝΕΔΕΞΑΤΟ ΚΑΙ ΠΡΟΣΩΠΩΝ.

ΤΗ͂Ι Προεκδοθείσῃ συντάξει τῶν ἄρθρων, ἀκόλουθον ὑπολαμβάνω καὶ περὶ τῆς τῶν ἀντωνυμιῶν συντάξεως διαλαβεῖν. ἐκεῖνα γὰρ μετ' ὀνομάτων ἐν τοῖς λόγοις παραλαμβάνεται. αὗται δὲ ἀντ' ὀνομάτων. οὐ παραδεχόμεναι τὴν τῶν ἄρθρων προτακτικὴν σύνταξιν. καθ' ἃς προεκτιθέμεθα αἰτίας. καὶ σαφές ἐστιν ὅτι ἕνεκα τοῦ ὁριστοῦ καὶ πτώσεως ἐγένοντο δεικτικαί. ἵνα καὶ παντὸς ὀνόματος ἀνθυπεισέλθωσι. τῶν προσώπων ἁπάντων διακριτικαί. ἵνα τὸ ἐλλιπὲς τοῦ ὀνόματος, λέγω τὸ τῶν προσώπων διάκρισιν αὗται ἀνθυπαχθεῖσαι ἀναπληρώσωσι. τοῦ μὲν ὀνόματος ἐχούσης τὴν πτῶσιν, τοῦ δὲ ῥήματος τὸ πρό-

α. ΟΤΙ Διόντι ἐν ἀρχῇ τὸ πρόσωπον διακρίνεται· ἐν δὲ ‖σωπον·
τῷ τέλει τὴν πτῶσιν. καὶ ὅτι φυσικῶς τὸ τέλος περὶ πτῶσιν καταγίνεται.

ΕΝΘΕΝ Διόλου κεκλίνονται, δύο τὰς γενικωτάτας κλίσεις ἀποσώσασαι, καὶ οὐ κατὰ σύγχυσιν, ἀλλὰ κατὰ μερισμὸν τὸν δέοντα. καὶ τῷ μὲν τέλει δηλοῖ τὴν πτωτικὴν κλίσιν. τῷ δὲ ἄρχοντι, τὸν τῶν προσώπων ἐπιμερισμόν. σαφὲς γὰρ ὅτι εἰ κατὰ τὸ αὐτὸ μέρος αἱ δύο κλίσεις ἐνεγίνοντο, συνέβη ἂν τῆς μὲν πτώσεως ἐπιμενούσης, τὸ ἕτερον νοούμενον ἀποστερεῖσθαι τὸ τοῦ προσώπου διακριτικόν. καὶ ἔμπαλιν τοῦ προσώπου μεταβαίνοντος, παραφθείρεσθαι τὸ τῆς πτώσεως ἰδίωμα. διὸ πτῶσιν μὲν διακρίνουσα ἀποτελεῖ τὸ, ἐμοῦ καὶ ἐμοὶ καὶ ἐμέ. πρόσωπον δὲ τὸ, ἐμοῦ σοῦ. πρόσωπον δὲ καὶ πτῶσιν, τὸ, ἐμοὶ σέ. καὶ ἐν ἁπάσιν ὥρισται τοῖς προκαταλεγομένοις, διὰ τὸ, ἐν ἑκατέρῳ μέρει ἐγχωρῆσαι ἰδίωμα. ἑκάτεραι γοῦν αἱ κλίσεις ἀποσώζουσι τὰ ἴδια μόρια, λέγω τὸ ὄνομα καὶ τὸ ῥῆμα, ὧν τέλει συνοικοῦντο κα-

πὸ τὴν κλίσιν· καλοῖ· καλεῖ· καλοῦ· γράφω· γράφεις· γράφει· οὐκ ἀπιθάνως καὶ τῆς ἀντωνυμίας χρησαμένης τῇ ὑποστολῇ τοῦ σ, συσταλτικῆς τοῦ προσώπου. Σοιοί. ὥσπερ καὶ λέγεις. λέγει. ἀληθῆς μέν τοι ὑπολαμβάνω, εἰ διερωτήσειέ τις, διατί μὴ μᾶλλον τὸ τέλος οὐ προσεχώρει τῷ προσώπῳ καθάπερ ἐπὶ τῶν ῥημάτων, ἤπερ τῷ ἄρχοντι. ἔδει γὰρ ἅπαξ ἐν τοῖς μέρεσι προχωρῆσαι τὸ τέλος. καὶ εἰ ἔστιν εἰπεῖν ὁ λόγος τοῦ πληθυντικοῦ. εἴ γε καὶ πρότερον τοῦ ῥήματος καθὼς ἀπεδείξαμεν. καὶ δῆλον ὅτι τὸ τούτου ἰδίωμα ἐπικρατήσει τοῦ τέλους. λέγω τὴν πτῶσιν. πρὸς οἷς ἡ ἀντωνυμία ἐστὶ τὸ ἀντ' ὀνόματος παραλαμβανόμενον, ἢ ὄνομα μιμούμενον. καὶ σαφὲς ὅτι ἐπακολούθημα τὸ ἐπιφερόμενον. καὶ εἰ τὰ τέλη ἐπικρατεῖ τῶν μερῶν τοῦ λόγου. τὸ δὲ τέλος τῆς ἀντωνυμίας πτῶσίς ἐστιν.

Ἐπικρατήσει ἄρα διὰ τοῦ τέλους τὸ καλεῖσθαι ἀντωνυμία. καὶ ῥήματος ἰδίωμα παρεισδύεται. λέγω τὸ πρόσωπον. εὔλογον ἡγοῦμαι πρὸ τῆς κατὰ μέρος συντάξεως προδιασαφῆσαι τὰ ἐπακολουθοῦντα ἰδιώματα τοῖς μορίοις. ὑπὲρ τοῦ τὴν εἰρησομένην διδασκαλίαν τῆς συντάξεως εὐσυνοπτοτέραν γενέσθαι. Πρόκειται μὲν οὖν ἡ ἀδιαίρετος κλίσις, κατὰ ἀμφότερα μέρη. ἔνεστι δὲ λέξις δυική. ἡ κατὰ ἀπόλυτον ἐκφοράν. οἷον ἔπαισέ με. φανερὸν γὰρ ὅτι λέξις ἄλλου ἐπιτεταμένη. οὐδὲ πρός τι ἀνατεινομένη. καὶ ἡ ἀντιδιασταλτική. ἐμὲ αὐτὸν ἔπαισε. πρόδηλον γὰρ ὅτι ἐπιτείνεται τὰ τῆς λέξεως, καθάπερ τὰ ἐν τῇ ποιότητι νοεῖται. λευκὸς. ἀπολελυμένην ἔχει τὴν ποιότητα. ἐπιτεταμένην δὲ ἐν τῷ λευκότερος. πρὸς ἕτερον γὰρ πρόσωπον ἀνατείνεται. ὃ πάντως ἐπιζητοῦμεν. τῷ λόγῳ καὶ τὸ ἐμὲ ἐπί τινα τὴν λέξιν ἀπήντησε πρὸς ὃ συνετέθη. διότι μέντοι ἐν ἅπασι τὸ τοιοῦτον οὐκ ἰσχύει, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. καὶ λέγονται οὖν αἱ ἐντελεῖς κατὰ τὴν φωνὴν ἢ τὸν διηγγελμένον ὀρθοτονεῖσθαι. τάχα συνωνυμοῦντες τοῦ ὀρθοῦ καὶ τοῦ ὑψηλοῦ. αἱ δὲ τὸν τόνον μετατιθεῖσαι, ὥσπερεὶ ἀπὸ τῶν ἐκκλινόντων τὰ βάρη ἐφ' ἕτερον σῶμα, ἐγκλιτικαί. εἴγε τὸ, σοὶ μὲν ἐγὼ σὺ δέ μοι. μετὰ τῆς ἐν τέλει γραφῆς, καὶ τὸν ἴδιον τόνον ἔχει. τό.

δὲ μόνα τῶν [illegible], [illegible] τὴν γραφήν· μετέθηκε δὲ καὶ τὸν τόνον. παρέπεται δὲ καὶ ἀναφορὰ κατὰ τὸ τρίτον πρόσωπον. [illegible] ἀντωνομάζει·

„ [illegible] Ἕκτορα, [illegible] λαὸν [illegible]

„ [illegible]

## ΔΙΑ ΤΙ [illegible], αἱ δὲ ἀναφορικαί.

Ἐπιδέδεικται μὲν [illegible] τοιαῦται τῶν ἀντωνυμιῶν, οὐχ [illegible] ὀνομάτων παρειλημμέναι εἰσίν· ἀλλὰ δυνάμει ἀντὶ τῶν ὀνομάτων τῶν μετὰ ἄρθρου παραλαμβανομένων· [illegible] μοναδικὰ [illegible], καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν ἀντωνυμιῶν ἐπινοῆσαι, αἵ γε καὶ ἀναφέρεται. Ὥσπερ οὐκ ὀνομάτων ἴδιον, εἰ μὴ προσλάβοι τὰ ἄρθρα. ἔστι καὶ οὕτω φάναι· διὸ ἀντωνομάζεται [illegible] προκατειλεγμένου, διὰ τοῦτο ἐπιδέξεται τὴν ἀναφοράν. Εἰ γὰρ [illegible] ἀναφορᾶς προκατειλεγμένου προσώπου δευτέρα γνῶσις, [illegible] ἡ αὐτὸς ἀντωνυμία. δείξεται [illegible] ὡς αἱ δεικτικαί, οὐκ εἰρημένων τῶν ὀνομάτων [illegible]· ἀλλ' [illegible] παραληφθῆναι. καὶ ἔτι μερίζονται εἰς τὰς δεικτικὰς καὶ ἀναφορικὰς εἰς μίαν ὀνομασίαν [illegible]. [illegible] γὰρ ἑκατέρας τὰς διαφοράς, [illegible] τὸ ἀντωνομάζεσθαι. ἡ γὰρ μὴ [illegible] τῶν ὀνομάτων [illegible] παραλαμβάνονται, ἢ εἰρημένων μέν, πάλιν δὲ δυναμένων παραλαμβάνεσθαι· εἰ γάρ τις ἀντὶ τοῦ, αὐτὸς δὲ πάλιν [illegible] φασίν, ἀντὶ τοῦ [illegible] τοῖς δύο λόγοις κατὰ [illegible]· ἀρχὴν δὲ λόγου ποιήσεται ὁ αὐτὸς [illegible] ἐπὶ [illegible] παραλαμβανομένων· [illegible] γὰρ ἀντὶ τῶν ἀναφορικῶν τὰ ὀνόματα τίθεται, καὶ [illegible] λόγου [illegible], ὁπηνίκα μέντοι [illegible], ἐκεῖνος καὶ [illegible] ἀναφορικῶν [illegible] ἐστὶν ἡ [illegible] δεῖξις [illegible] φέρεται [illegible] μὲν τὰς [illegible] δείξεις, τὰς δὲ [illegible] δεικτικαί, καὶ [illegible] ἄρθρον [illegible] βάνουσι.

δ. ὍΤΙ ἀναγκαίως τὰ τρίτα πρόσωπα ἐν πλείοσι φωναῖς καταγίνεται.

Καὶ ἔτι ἐξαιρέτως καὶ τὰ τρίτα πρόσωπα ἐν διαφόροις φωναῖς, διάφορα γίνεται ἐν τοῖς πτώσεσι, τῶν ῥημάτων διὰ μιᾶς φωνῆς ἐπὶ πλείονα πρόσωπα συντεινόντων. γράφει Διονύσιος, ὁ Τρύφων· ἥτις ἄλλως τῶν δυναμένων προσώπων παραδέξασθαι· οὐ μὴν ἐπὶ τῶν ἀντωνυμιῶν. ἔγε μὴν ἀναφορικὴ μὲν ἡ αὐτός. δεικτικὴ δὲ ἡ ἐκεῖνος· καὶ ἔτι ἡ οὗτος. διαφέρουσι τῷ διασημαίνειν τῆς δείξεως. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς ὅδε.

ε. ΔΙΑ ΤΙ κατὰ τὸ γίνεται, τὸ ι οὐκ ἐνδέχεται ἀμερίζεσθαι τό, χωρὶς τῆς αὐτῆς.

Καὶ ἐπεὶ φαμὲν τὰς δεικτικὰς συντείνεσθαι εἰς πλείονα δεῖξιν, αἱ δὲ προκείμεναι φωναί, οὐκ ἠδύνατο τὸ διάφορον τοῦτο παραδέξασθαι· καθάπερ ἡ ἐμοῦ καὶ ἐμοὶ καὶ αἱ σύζυγοι διὰ τὴν ἐπὶ τέλους βαρεῖαν, εἰς παραγωγὴν τὴν διὰ τοῦ ι, μετῆλθον ἐπισυνώμεναι κατὰ τοῦ τέλους τὴν ὀξεῖαν· εἰς ἐμφανισμὸν τῆς πλείονος ἐκτάσεως· καθάπερ καὶ αἱ προκατειλεγμέναι κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον· ἐκεινοσί· οὑτοσί· ὁδί· πρόδηλον γὰρ ὅτι στερουμένη ἡ αὐτὸς τῆς δείξεως, συνεστέρηται καὶ παραγωγῆς ἐπαγομένης ἐπὶ πλείονα δεῖξιν. Δοκεῖ δέ μοι μὴ δὲ ἀναξίως ἡ παραγωγὴ τοῦ ι παραδέχεσθαι· ἦν γὰρ τοῦτο δεικτικὸν ἐν τρίτοις προσώποις τῆς εὐθείας. Πάνυ οὖν εὐήθεις οἱ περὶ Ἄβρωνα καταγεγραμμένοι τῆς Ἀριστάρχου οἷς ἀδιάπτωτος φαμὲν κατὰ πρόσωπα συζύγους τὰς ἀντωνυμίας· καθ' ὃ κοινὸς ὁ ὅρος καὶ ῥημάτων· ἢ μᾶλλον γε αὐτῶν· συζυγοῦσι γὰρ αἱ φωναὶ κατά τε ποιότητα τῶν στοιχείων καὶ κατὰ ποσότητα τῶν συλλαβῶν· καὶ φαίνεται ὅτι καὶ κατὰ χρόνον καὶ τὰ ἐν ταῖς γενικαῖς ἀντωνυμίαις ἔχουσιν τὸ γνώρισμα· εἰ αἱ πλεῖστοι ἀσύζυγοι εἰς ἐμφανισμὸν τῆς κλίσεως τὰς ἀντωνυμίας. φαίνεται γὰρ ὅτι ὁ μὲν Ἀρίσταρχος τὴν φωνὴν ὡρίσατο τῆς ἀντωνυμίας ἀλλὰ τὸ σημαινόμενον παραμυθησάμενον· καθὼς καὶ ἅπαντες οἱ ὅροι ἔχουσι· φασὶ γοῦν ἀσυνάρθρους ἀντωνυμίας· καὶ ὅσοι ἐπὶ τῆς φωνῆς,

οὐκ εἰσὶν ἀσύνθετοι. ἐπεὶ φαμὲν, ἡ ἐγὼ μόνως ὀρθοτομεῖται. ἤτοι γε ἀττικόν ἐστιν. ἐκεῖνο οὖν ἀντωνυμία, τὸ, μετὰ δείξεως ἢ ἀναφορᾶς ἀντονομαζόμενον. ᾧ οὐ σύνεστι τὸ ἄρθρον. ἰδοὺ γοῦν ἡ δεῖξις καὶ ὁ ὁρισμὸς τῶν προσώπων ἄχρι τρίτου διῆλθε. καὶ γὰρ ἀναφερόμεναι ὁρίζονται καθὸ τὰ πρόσωπα ἐγνώσθη καὶ δεικνύμεναι καθὸ τὰ πρόσωπα ὑπόψιν ἐστί. καὶ τοῦτό ἐστιν ἡ συζυγία τῶν προσώπων. τὰ γὰρ ῥήματα ἀσύζυγα. ὁριζόμενα γὰρ κατὰ πρῶτον καὶ δεύτερον, ἀοριστοῦνται κατὰ τὸ τρίτον. τὸ ἀστράπτει. καὶ τῶν τοιούτων ὑποστελλομένων. καθὸ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως θεῷ δὴ ἀναπέμπεται. ὥστε οὐ τὸ ῥῆμα ὁρίζεται. οὐδὲ ὁ τούτου τὴν διάθεσιν ἐνεργῶν. πρόδηλος γοῦν ἡ πολυμερὴς τῶν φωνῶν θέσις. ὑπὲρ τοῦ διὰ μιᾶς φωνῆς διάφορα πρόσωπα λέγεσθαι. παρηκολούθησε γὰρ τὸ, καὶ τὰς ἐν τρίτοις ἀοριστοῦσθαι. εἴγε μία λέξις πλείονα σημαίνουσα, ἀορίστου περιπτώσεως αἰτία γίνεται.

ς΄ ὍΤΙ Δεόντως καὶ κατὰ πτῶσιν ῥηματικαὶ καὶ κατὰ ἀριθμόν.

Ἔτι τὰ μὲν ἄλλα τῶν πτωτικῶν ἐπ' εὐθείας λημματιζόμενα, τὴν κλίσιν ἐπὶ τὰς ὑπολοίπους πτώσεις πρὸς ἀκολουθίαν τῆς εὐθείας ἀποτελεῖ. οὐχ ὑποστελλομένου τοῦ ἄρθρου. ἔτι καὶ αὐτὸ ἐδείχθη ἐν τῇ δεούσῃ ἀκολουθίᾳ κεκλιμένον. Αἱ δὲ προκείμεναι πρωτότυποι ἀντωνυμίαι, ῥηματικώτερον ἐκλίθησαν. οὐ δυναμένης τῆς ἐγὼ κατὰ λόγον τοῦ πτωτικοῦ, τὴν ἐμοῦ γενικὴν παραδέξασθαι. οὐδὲ μὴν τῆς ἐμοῦ, τὴν ἐμοὶ ἢ ἐμέ. δεόντως καὶ τὸν τῶν προσώπων ἀριθμὸν ἐξαλλασσόντων πάλιν ῥηματικῶς. ἀδύνατον γὰρ τὴν μὴ κλιθεῖσαν γενικὴν ἐξ εὐθείας ἀριθμὸν ἀκόλουθον παραστῆσαι. κλιθεῖσα γὰρ συγκλίνει τοὺς ἀριθμοὺς καὶ τὰς ἑξῆς πτώσεις. διὰ τοῦτο ἐπὶ τοῖς ἑτεροκλίτοις παρηκολούθει τῆς εὐθείας τῆς γενικῆς τὰ λοιπὰ σχήματα ἀποδιδούσης. οἷον ἡ μεγάλου, ἐποίησε τὸ μεγάλοι. καὶ ἐγκλίματος τοῦ τρίτου ἡ μέγαλος εὐθεῖα διασώζεται, καὶ ὁμοίως ἡ ὕδατος. καὶ ἔτι ἡ γυναικός. ἥ τε πολλοῦ. πολλοὶ γὰρ, καὶ ὕδατα καὶ γυναῖκες. καὶ διὰ τοῦτο συνυπῆρχε τὸ, πολλός. τὸ γύναιξ. τὸ ὕδας. διὰ τοῦτο οὖν ἡ ἐμοῦ οὐ κλιθεῖσα, γενομένη δὲ ἐν θέματι, καὶ

E E

τὸ ἀκόλουθον τῶν πτώσεων παρεστήσατο· καὶ τοὺς ἀκολούθους ἀριθμούς:~

ζʹ ΕΙ ΔΕΟΝΤως ἡ ἐκεῖνος καὶ αἱ σύζυγοι γένη παρεδέξαντο:~

Ἡ γοῦν ἐκεῖνος καὶ αἱ σύζυγοι κλιθεῖσαι, ἔχουσι καὶ τὰ συμπαρεπόμενα ἀκόλουθα. σαφὲς οὖν ὅτι ληροῦσιν οἱ ἐγχειρήσαντες εἰς τὸ ἐπικόπτειν τὰς φωνὰς ὡς ἀνακολούθους καὶ παραλόγους· παρατιθέμενοι τὴν ἀπὸ τῶν ὀνομάτων ἀναλογίαν· ὅπου οὐδὲ μένον αὐτοῖς δίδοται, τὸ παντὶ ὀνόματι πᾶν ἀντιπαραβάλλειν· ἀλλ᾽ εἰς τὸ τοιοῦτον ἄπειρός ἐστί τις τοῦ ὁμοίου ἀκολουθία. ἀντιπαραβάλλονται γὰρ αἱ λέξεις· καὶ εἰ τοῦτο, πῶς οὐ μάταιον, τὸ, διάφορα μέρη λόγου ἀντιπαραβάλλειν· οὐδὲν δὲ ἐκώλυεν· ἐπεὶ καὶ προσώπων διακριτικόν ἐστι τὸ μόριον, ἀντιπαραθέσθαι τὰς φωνὰς τῶν ῥημάτων· καὶ οὕτω πάλιν τὰς ἀντωνυμίας τοῦ δέοντος περιγράφειν. Ἴσως οὖν ἐκεῖνό τις ἐπιζητήσειεν· ἕνεκά τινος τὸ ἀκόλουθον ἀπέλειπον αἱ ἀντωνυμίαι· καὶ διά τι οὐ πάσαις ἡ τῶν ὀνομάτων θέσις ἐπινοήθη, εἰς ποιότητας κοινὰς ἢ ἰδίας· ὡς ἄνθρωπος Πλάτων· κἀπεὶ ὅτι ἢ δεῖξις τὰ τοιαῦτα ἢ ἀναφορά, πάμπολλος ἡ ἐπὶ τούτων θέσις ἐγίνετο· ἕνεκα τοῦ ἑκάστου τὸ χαρακτηριστικὸν ἀπονέμοι τὴν ἑκάστου ποιότητα. Οὐ μετρίως γοῦν τὰς ποιότητας ἐπιταράττουσιν αἱ συνωνυμοῦσαι θέσεις· ἔν τε προσηγορικοῖς καὶ κυρίοις ὀνόμασι. διὸ καὶ ὑστεροῖ τὸ διὰ τῶν ὀνομάτων νοούμενον πρόσωπον τοῦ ὁρισμοῦ. ἀλλ᾽ ἕνεκα τοῦ τοιούτου ἰδιάσασα ἡ εὐθεῖα καθ᾽ ἕκαστον χαρακτῆρα ἀπήτει τὰς πλαγίας, ἀνηκούσας πρὸς τὸ ἴδιον τῆς εὐθείας. ἐντεῦθεν οὖν ἀναγκαίως καὶ τὰ γένη παρεδέξατο· ἵνα μετὰ τῆς ποιότητος τοῦ χαρακτῆρος συνδιαστέλλῃ τὸ γένος. ἐντεῦθεν συνεπενοήθησαν καὶ αἱ ἐπιθετικαὶ θέσεις· ἵνα καὶ τὰ παρακολουθήσαντα τοῖς κοινῶς ἢ ἰδίως νοουμένοις ἀναπληρωθῇ. τῷ μὲν ἵππῳ εἰ τύχοι τὸ λευκός· ἢ ταχύς. τῷ δὲ Πλάτωνι, τὸ σοφός. τὸ ἀγαθός. ἄλλα τε πάμπολλα τὰ δυνάμενα παραπίπτειν· ἐντεῦ-

θεν καὶ αἱ συνθέσεις ἐπερρήθησαν· μισάνθρωπος· φερέπονος· φιλο-
λόγος· αἵπερ δὲ ἐπισυμβεβηκότων ἐστέρηντο· αἱ μέντοι γε ἀν-
τωνυμίαι, εἰς οὐδὲν ἄλλο ἀποβλέπουσαι, διὰ τὸ ἐν αὐταῖς ἐγ-
κειμένης δείξεως, ἢ εἰς τὴν ὑποκειμένην οὐσίαν, ἔχουσι καὶ τὰ
συμβεβηκότα τῇ ποιότητι· λέγω τὰ δυνάμενα διὰ ὄψεως ἐπινο-
ηθῆναι· λευκὸν ἢ μέλαν· μακρὸν ἢ βραχύ· οὐχ ὑπὸ δεῖξιν γὰρ πι-
πτούσης τῆς ψυχῆς, οὐδὲ τὰ ταύτῃ ἐπιτρέχοντα δύναιτο ἂν
γένοιτο πρὸς τὴν ἀντωνυμίαν· ὅθεν τοὺς πολλοὺς χαρακτῆρας
παρῃτημέναι εἰσὶν αἱ ἀντωνυμίαι· ἑκάστη γὰρ αὐτῶν καθ' ἑκά-
στην πτῶσιν ἀντὶ πάντων ὀνομάτων παραλαμβάνεται· καὶ εἰ τοῦ-
το ἀληθές, φυσικώτερον ἄρα ἀφέστηκεν ἡ ἐν τοῖς ὀνόμασιν ἀ-
κόλουθος κλίσις· ἵνα μὴ διὰ παντὸς ὀνόματος παραλαμβανό-
μεναι, μιᾷ καταλήξει τῇ ἐκ τούτων ὑποπέσωσι· διὸ καὶ τὰ γέ-
νη οὐκ ἐκκοπτόμενα τοῖς ἰδίοις τέλεσι, κατάλληλον ἔχει τὴν ἐν
τοῖς τρισὶ γένεσι θέσιν· διὰ μιᾶς συλλαβῆς· ἥγε καὶ ἡ δὲ αὐτῶν
δεῖξις, αὐτὸ μόνον οὐσίαν παρεμφαίνει· καὶ γὰρ εἰ συνεμπίπτοι
λῆξις ὀνοματικὴ αὐτῇ, διὰ τοῦ συνόντος ἀριθμοῦ ὑποκλίνε-
ται τὸ ἀκόλουθον τῆς ἐγγινομένης κλίσεως· ὡς ἔχει ἡ ἐγὼ καὶ ἡ ἐ-
μοῦ· ἐμοῖς καὶ αἱ διάλεκτοι οὐ τὴν αὐτὴν λῆξιν ἐπεμίξησαν· ἀλλὰ
τὰς φωνὰς προσενεγκάμεναι· οὐχ ὥσπερ τὰς γενικὰς τῶν ὀνομά-
των, ἐμεῖο καὶ ἐμεῦ· οὐχ ὡς ἡ ἀτρείδεω καὶ ἡ ἀτρείδαο· ἢ καλοῖο·
Ἡ μέντοι ὁμόφωνος κτητικὴ ὀνόματος ἤδη τὸ τέλος ἀναδεδεγμένη
ἐφῶ καὶ φέρεται, πάλιν τὸ ἴδιον ἀνεδέξατο κατὰ τὰς διαλέκ-
τους· ἐμοῖο ὡς καλοῖο· καθὼς πρόκειται. Αἱ μὲν ἀναφερόμε-
ναι ἢ δεικνύμεναι, ἀπροσδεεῖς εἰσὶ τῶν παρεπομένων τῷ ὀνόμα-
τι· ἀλλὰ ἀντίκειται ἤτοι ἐκεῖνος ἢ αὐτός· ἡ γὰρ οὗτος παρα-
γωγῆς κατάληξιν ἔχει οὐκ ἀντωνυμίας. Καθὸ καὶ τὸ τημοῦ-
τος ἐπίρρημα ὄν, παραγωγῆς τῆς αὐτῆς ἔτυχεν· ἡ γὰρ δὲ αὐτῶν
νοουμένη ἀπόστασις ἀμαυροτέραν τὴν δεῖξιν καθίστησι· καὶ ὅ-
θεν παρεισδύεται τὸ γένος· οὐχ ἵνα τὴν οὐσίαν παραστήσῃ· ἀλ-
λ' ἵνα τὸ γένος διαστείλῃ· τὰ μέντοι κοινὰ λεγόμενα ἐν γένει, λέγω

ἐπὶ τῆς προσηγορίας, ἐξ ἀποστήματος ἐπινοηθέντα, οὐκ ἐξ ἴσου τὸ γένος διαστέλλει· λέγω ἐπὶ τοῦ ἵππος ἢ ἄνθρωπος· πλησιάσασι δ᾽ αὐτοῖς καὶ δήλοις γινομένοις κατὰ τὸ γένος, συνεγένετο καὶ τὸ ἄρθρον. πολλῷ δὲ μᾶλλον καὶ ἡ αὐτός· τὰ γὰρ ἄνευ τῶν τρίτων προσώπων ἀναφέρουσα ὑπὸ μνήμην, καὶ διὰ τοῦ γένους ἐποιεῖτο ἢ διὰ τοῦ χαρακτῆρος. Ἀλλ᾽ ἐκεῖνο λείπεται· τίνος ἕνεκεν ἡ εἰς ος κατάληξις. Διὰ τοῦτο καὶ τὰ ἄρθρα πᾶσιν ὀνόμασι παρατιθέμενα, ἐν ταύτῃ τῇ καταλήξει ἐγένετο· καὶ αὗται αἱ παραχθεῖσαι ἀντωνυμίαι εἰς ὁμοίαν κλῖσιν· ὡς ἐπὶ τοῦ ἐμὸς καὶ τῶν συζύγων· καὶ σχεδὸν ἅπασαι αἱ πευστικαὶ πεύσεις ἐπιζητοῦσαι τὸ ὄνομα, ποῖος· πόσος· πηλίκος· ποδαπός. πρόσκειται τὸ σχεδὸν, διὰ τὸ τίς· ὅπερ οὐδὲ αὐτὸ ἐκτὸς ὑπάρχει τῆς εἰς ος καταλήξεως. Εἴγε τὸ, τίοις παραιολοῦσι, τῆς εἰς ος εὐθείας ἔτυχε· συνεπιχέοντος καὶ τοῦ ἰσοδυναμοῦντος αὐτῷ· λέγω τοῦ ὅς· ᾧ καὶ συμφέρεται· ὡς ἐν τῷ ὅστις ἐμὸν παρὰ σῆμα ἔβη· ὡς ἐν τῷ· ὅστις ἐπὶ δεῖπνον ὅψε κληθεὶς ἔρχεται:~

η ΤΙΣ Η ΑΙτία, τοῦ τὰ ἄρθρα παρὰ ποιηταῖς εἰς ἀντωνυμίαν παραλαμβάνεσθαι.

Ῥητέον δὲ καὶ περὶ τῶν τῇ φωνῇ ἄρθρων καθεστώτων· τῇ δὲ ἐξ αὐτῶν μεταλήψει ἀντωνυμιῶν. Ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· ἀντὶ τοῦ οὗτος. Τὸν δὲ τῷ μεθεπόμενος· ὡς ἤειμφα θέουσα· εἵνεκα τῆς ἀρετῆς ἐδιδαύνομεν. Ὁ μεταλαμβάνεται μὲν εἰς τὸ οὗτος· προσλαμβάνει δὲ ἔξωθεν δεόντως τὸ ἄρθρον. καθόλου περὶ πάντων τῶν τοιούτων αἱ ὀνοματικαὶ πτώσεις· καὶ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, σύνταξιν τὴν αὐτὴν ποιοῦνται τοῖς ῥήμασιν· ὡς ἔχει τὸ Τρύφων διδάσκει· οὗτος διδάσκει. αἱ σημαινόμεναι πλάγιαι ἐκ τῶν εὐθειῶν σύνταξιν ἀναδέχονται τῶν μεταξὺ πιπτόντων ῥημάτων ἐνδεικνυμένων τὴν ἑκάστης διάθεσιν· ὡς ἔχει τὸ, Θέωνα διδάσκει Τρύφων· τοῦτον ὁ αὐτὸς ἱερῷ· τούτῳ φιλεῖ Θέων. Ἔστι σημεῖον κἀκεῖνος ὁ λόγος ἀληθέστατος· ὡς συνέστη τὰ ἄρθρα μετὰ τῶν ὀνομάτων, ἀνθ᾽ ὧν παραλαμβάνεται ἀν-

τωνυμία, οὐ συμμαίνουσα τὰς πηλικότητας, ἢ ποιότητας ἤ τι τῶν παρεπομένων τοῖς ὀνόμασι· καθὸ ἀπεδείξαμεν. καὶ ἐπὶ τῶν ἀντωνυμιῶν τὸ αὐτό· ὡς γὰρ τὸ οὗτος κατὰ παντὸς ὑποκειμένου παραλαμβάνεται· καὶ τὰ ἄρθρα σὺν παντὶ ὑποκειμένῳ παραλαμβάνεται· ὁ μέγας· ὁ βραχύς· ὁ λευκὸς ὁ χρυσοῦς. Καὶ τούτων τῇδε ἐχόντων, ὅταν τὸ ἄρθρον μὲν μετὰ τοῦ ὀνόματος παραλαμβάνηται, τηρήσηται δὲ σύνταξιν ὀνόματος ἣν προεκτιθέμεθα, ἐκ πάσης ἀνάγκης εἰς ἀντωνυμίαν μεταληφθήσεται. Εἴγε οὐκ ἐπιγινόμενον μετὰ τοῦ ὀνόματος, δυνάμει ἀντὶ ὀνόματος παρελήφθη· καὶ ἐντεῦθεν ἡ σύνταξις αὐτοῦ παρεχώρει εἰς ἀντωνυμικὴν μετάληψιν. Ἔστω γάρ τι τοιοῦτον· Χρύσης. Ὁ γὰρ ἦλθε „θοὰς ἐπὶ νῆας Ἀχαιῶν. καὶ σαφὲς ὅτι ἡ ἔλλειψις τοῦ ὀνόματος, τῷ ἄρθρῳ προσδώσει τὰ τῆς συντάξεως. καὶ οὐκ ἄλλο τι γενήσεται τὸ ἄρθρον, ἢ ἀντωνυμία. ἣ ἔστιν ἀντὶ παντὸς ὀνόματος παρειλημμένη. ἐπεὶ καὶ αὐτὸ κατὰ παντὸς ὀνόματος οὐκ ἐμποδιζόμενον παραλαμβάνεται ἐν ποιότητι, ἢ ἄλλῳ τινὶ τῶν παρεπομένων καθὼς εἴπομεν. Ἐν μέντοι τοῖς ἑξῆς δεδείξεται, ὅτι οἱ λόγοι τὰ ὀνόματα παραιτοῦνται, ἀντιπαραδεχόμενοι τὰς ἀντωνυμίας. Καὶ ἡ μὲν τοιαύτη σύνταξις, προϋφεστώτων ὀνομάτων καθ' ὧν ἀναφέρεται τὰ ἄρθρα, τηρεῖται μετάληψις. Ἡ μέντοι μὴ οὕτως ἔχουσα, αὐτόθεν δὲ ἐν προλήψει παραλαμβανομένη, τὸ τοῦ ἑπομένου προσώπου ἀόριστον ἔχει. καὶ ἔτι ἐν ὑποτακτικοῖς. ὃς ἂν παραγένηται, ἀναγινωσκέτω, πάνυ εὐλόγως. συμφερόμενον γὰρ παντὶ ὀνόματι, καὶ ἐπὶ πᾶν ὄνομα ἀναδραμεῖται ἐγκαθεστηκός. Ὅπερ ἴδιον ἀορίστου· ὑγιῶς ἄρα τὰ ἄρθρα, ἢ εἰς ὡρισμένα πρόσωπα παραλαμβάνεται πρὸς ἀντωνυμίας, ἢ εἰς τὸ ἀοριστότατον. λέγω τὸ τίς. οὐ γὰρ πόρρω πέπτωκε τὸ, ὁ περιπατῶν κινεῖται, τοῦ, εἴ τις περιπατεῖ κινεῖται· τό τε ὃς ἂν ἔλθῃ· τοῦ, εἴ τις ἂν ἔλθῃ. Εἰ γοῦν συνενεχθείη τι τῶν ὀνομάτων ταῖς προκειμέναις συντάξεσι, καὶ αὐτὰ καταστήσεται εἰς τὸν ἴδιον μερισμόν. Ὁ Διονύσιος περιπατῶν κινεῖται· πρύ

φωνικοὶ μάλιστα· ὅς μὲν ἐμὲ διανασάς· δέοντος δ' ἂν καὶ ἀντωνυμίαι ἐνθένδε κατὰ τοὺς μερισμούς· καθότι καὶ ἄλλα μέρη λόγου. πάλιν μεταπεσόντα τῆς ἰδίας συντάξεως, καὶ ἄλλων ἀναπληρώσαντα τὰς ἰδιότητας, πάλιν τῆς τούτων ὀνομασίας ἐτύχεν. ὡς ἔχει τὰ ὀνοματικὰ ἐπιρρήματα. Κάλλιστα· ἥδιστα· ἰδίᾳ· δημοσίᾳ· κύκλῳ· καὶ ὅτι αἱ μετοχαὶ εἰς ὀνομάτων σύνταξιν παραλαμβάνονται· ὡς τό, ἐρρωμένη· εἱμαρμένη· ἐφῶν χρὴ αὐτὸ μόνον τὴν μετάπτωσιν διδάσκειν. οὐ γὰρ μᾶλλον ἐπικρατοῦσιν αἱ φωναὶ κατὰ τοὺς μερισμοὺς ὡς τὰ ἐξ αὐτῶν σημαινόμενα. Εὐλόγως οὖν καὶ ὁ οὗτος παραχθεῖσα ἐξ ἄρθρου τοῦ ὅς σημαίνοντος τὴν ἀρθρικὴν σύνταξιν ἀλλ' ἀντωνυμικήν, εἰς τὰς ἀντωνυμίας ἐχώρησεν. Οὐ γὰρ θεματική ἐστιν ὥσπερ τινὲς ᾠήθησαν. καὶ σαφὲς ἐκ τῶν παρεπομένων. ἀπὸ παντὸς ἀρσενικοῦ πρωτοτύπου ἡ παραγωγὴ τοῦ εἰς ος λήγοντος, θηλυκὸν γίνεται.

Τοῦ τέλους εἰς η ἢ εἰς α μακρὸν μεταπίπτοντος. Ὅτι μὴ μόνον ἐκ τῆς προκειμένης παραγωγῆς· ἡ δὲ τοιαύτη παραγωγὴ ὑποστρέφει εἰς τὸ πρωτότυπον κατὰ γένος. Τηλίκος· τηλικοῦτος· τηλίκη· τηλικαύτη. ὁ δ' ἔτι ἐπὶ οὐδετέρων ὁ αὐτὸς λόγος. Κἀπὶ τοῦ τοσοῦτος· τοιοῦτος· ὅπερ παρηκολούθηκε καὶ τῷ ὅς οὗτος· καὶ οὐκέτι τὸ θηλυκὸν αὕτη· ἀλλὰ πάλιν ἡ αὐτή. κἀπὶ οὐδετέρου λέγω, τὸ τό, ἀπὸ τοῦ τὸ ἤρξατο· καὶ τό, τοῦτο ἀπὸ τοῦ τὸ ἤρξατο· καὶ κατὰ πτῶσιν δὲ παρέπεται· οὐ γὰρ ἀπὸ τοῦ, τηλικαῦται γενικὴν φαμὲν τηλικαύτων· ἢ ἀπὸ τοῦ τοιαῦται τοιαύτων· καθὸ ἔστιν ἐπινοῆσαι ἐπὶ ἁπάντων θεματικῶν. Αὐταὶ γοῦν αὐτῶν φαμέν· καὶ ἔτι ἐπὶ τοῦ ἀνεπεκτάτου· τοῖαι τοίων· τηλίκαι τηλίκων· καὶ σαφὲς ὅτι παρὰ μὲν τὸ τηλίκαι· τὸ τηλικαῦται· παρὰ δὲ τὸ τηλίκον, τὸ τηλικοῦτον· τὸ οὖν ἐπηκολούθει· καὶ ἐπὶ τοῦ αἱ αὗται· κἀπεὶ εἶχε παραγωγῆς τῆς προκειμένης, οὐκ ἔτι αὐτῷ καθὼς δὲ ἐπὶ τοῦ ὀξυτόνου προσκεῖται· αὗται αὐταί. Πάλιν οὖν τὸ τούτων ἔπεσεν ἀπὸ γενικῆς πρωτοτύπου τοῦ τοῦ, οὐ τοῦ συμπαραλαμβανομένου· ὅπερ ἐπὶ τῆς εὐθείας οὐδὲν συμπαρελαμβάνετο· ὥσπερ ἐπὶ τῆς γενικῆς. Ἔτι δὲ ἐν τῷ προ-

κειμένῃ παραγωγῇ συνυπάρχει ἑτέρα παραγωγή· ἡ τοῦ δὲ οὖσα
συνήθης ἑτέρα ποιητικῆς· τοῖος τοιόσδε· τόσος τοσόσδε. εἰς τὸ μεταλαμ-
βανόμενον εἰς παραγωγὴν, τὴν διὰ τοῦ οὗτος ἐγχωρεῖ· τοιόνδε· τοι-
οῦτον· τοσόνδε· τοσοῦτον. ἔστιν οὖν καὶ τὸ ὅδε μεταλαμβανόμενον
εἰς τὸ, οὗτος. ἐκ συντάξεως τῆς διὰ τοῦ ὁ παραχθέν. Οὐ χρὴ ἄρα
συγκατατίθεσθαι Ἄβρωνι, ὅτι ἡ οὗτος παρήχθη ἐξ ἄρθρου· καθό-
τι καὶ ἐξ ἐπιρρήματος τοῦ ὀψὲ, ἄλλο μέρος λόγου γέγονε· τὸ, ὄψι-
μος. ἐν μὲν γὰρ ταῖς ἄλλαις παραγωγαῖς, ἀδιαφορεῖ τὸ τοιοῦτον.
ἔν γε μὴν τῇ προκειμένῃ ἀδύνατόν ἐστιν εἰς ἄλλο μέρος λόγου ἐγ-
χωρῆσαι· τὸ πρωτότυπον ὅπου γε ἐδείχθη οὐ μόνον τὸ αὐτὸ μέρος
λόγου αἰτοῦν, ἀλλὰ καὶ ταυτὸ γένος, καὶ τὴν αὐτὴν πτῶσιν· καὶ τὸν
αὐτὸν ἀριθμόν. Διόπερ οὖν φαμὲν, ὡς ἐκ τῆς ἀντωνυμικῆς συντάξεως
τοῦ ἄρθρου ἡ παραγωγὴ ἐγένετο. καὶ ὡς ποιητικὸν μὲν τὸ φάναι τη-
λίκος· τοῖος. σύνηθες δὲ τὸ, τηλικοῦτος· τοιοῦτος. Τὸν αὐτὸν τρόπον
ποιητικὸν τὸ ὅς· ὃς γὰρ δὴ μάλιστα ἥνδανε θυμῷ. σύνηθες δὲ τὸ ἐξ
αὐτοῦ μεταλαμβανόμενον· οὗτος γάρ. Ἐκεῖνο δὲ προσθετέον·
ὡς ἐνέλειπεν ἡ εὐθεῖα τοῦ τ· καθὼς ἐπεδείξαμεν, κἂν τῷ περὶ ἄρ-
θρων. Πάλιν οἱ Δωριεῖς ἐπλεόνασαν ἐν τῷ ταῦται, καὶ τοῦτοι· ἀλ-
λὰ ἀπέδωκαν τὸ προσοφειλόμενον· ὡς δέδεικται καὶ ἐπὶ τῶν ἄρθρων.
Ὁμολογοῦσι καὶ αἱ πλάγιαι ἀπὸ τούτων ἀρξάμεναι, ὅτι τοῦ οὐδετέ-
ρου ἡ εὐθεῖα· καὶ τὸ κατὰ τὴν εὐθεῖαν πτῶμα. Πότε γὰρ ἡ ου δί-
φθογγος δασύνεται· ὅπου γε καὶ τὰ δασυνόμενα ἐγγινομένης αὐ-
τῆς ψιλὰ γίνεται· ὅλος· οὖλος· ὅρος οὖρος· δασύνεται τὸ οὕνεκα,
διὰ τὸ τοὔνεκα. οὐκ ἂν οὖν ἄλλως δασυνθείη τὸ οὗτοι, εἰ μὴ λάβοι ἀπο-
λογίαν τὴν ἔλλειψιν τοῦ τ. τὴν τοῦ ὀνόματος σύνταξιν ἄνευ ἐπιλήθου αἱ
ἀντωνυμίαι οὐ χωροῦσιν ὡς ἔθος δι᾽ ἄγνοιαν τοῦ ὀνόματος· ποία γὰρ ἄγνοια τοῦ ὀ-
νόματος· ἐν τῷ σοὶ μὲν ἐγώ· σὺ δέ μοι· ἀλλὰ σαφὲς ὅτι ἐν δυνάμει τοῦ ὀνόματος
ἐν τοῖς πρώτοις καὶ δευτέροις προσώποις καταγίνεσθαι· καθὼς δέδεικται.
Φήσει τις οὐ χεὶ οὖν κατ᾽ ἀγνοίας ἐστὶ τοῦ ὀνόματος φαμὲν σὺ ἢ σέ· πρὸς ὃ ἐρη-
τέον· ὅτι ἐκ παρεπομένου τὸ τοιοῦτον ἐγένετο· εἴ γε καὶ γνώσει ἐστὶ τὰ ὀ-
νόματα, πάλιν ἀπαιτεῖ τὴν ἀντωνυμικὴν σύνταξιν. οὐκ ἔλατ-

του δὲ καὶ ἡ οὗτος ἀμεθυπέστατου ὀνόματος· καὶ ἡ δύναμις ἐκεῖ-
νον ὄνομα νοεῖται διὰ τῆς ἀντωνυμίας· οὐ φημι τὸ τῆς φωνῆς ὄνο-
μα· τὸ δὲ ἐξ αὐτῆς δεικνύμενον· τουτέστιν ἡ ἰδία ποιότης τοῦ ὑπο-
κειμένου. ἕνεκεν τούτου καὶ πρὸς οὐδὲν χρειώδεις εἰσὶν αἱ ἀντωνυ-
μίαι, στερούμεναι τοῦ τε δεικνῦντος προσώπου καὶ τοῦ δεικνυ-
μένου· εἴγε καὶ αἱ ἐγγραφόμεναι πάνυ ἀοριστόταταί εἰσιν· ὅτι καὶ
τῆς ἰδίας ὕλης ἀπεώσθησαν· ὅθεν δοκεῖ πάνυ εὐλόγως κατὰ τὰς
ἐπιστολικὰς γραφάς, χωρὶς τῶν προστιθεμένων ὀνομάτων τὰ τοῦ
λόγου μὴ καθίστασθαι· ἐγγραφομένων γὰρ τῶν ἀντωνυμιῶν διὰ
τὰς ἐπισυμβεβηκυίας πράξεις, τῷ τε ἀποφαινομένῳ προσώπῳ
ὑπὲρ αὐτοῦ, καὶ τῷ πρὸς ὃν ἡ ἀπόστασις τοῦ λόγου, ἀναγκαί-
ως συμβαίνει τὸ γράφεσθαι τὴν τῶν ὀνομάτων θέσιν· ἵνα δυνάμει
κατὰ τούτων τὰς δείξεις ποιήσωνται αἱ ἀντωνυμίαι· τὸ γὰρ ἐγώ σοι
καὶ τὰ ἄλλα ἔγραψα, δείκνυσι διὰ μὲν τοῦ ἐγὼ τὴν προκειμένην εὐ-
θεῖαν· διὰ δὲ τοῦ σοί, τὴν ἀνθυπαγομένην δοτικήν· πρόδηλον γὰρ
ὅτι τῶν ὀνομάτων περιγραφέντων καὶ τὰ τῶν ἀντωνυμιῶν, ἀόρι-
στα γίνεται· ἔστιν οὖν αἴτιον τοῦ μὴ δύνασθαι τὰ ὀνόματα παρα-
λαμβάνεσθαι κατὰ πρῶτον ἢ δεύτερον πρόσωπον, τὸ τὰς θέσεις
τῶν ὀνομάτων μήτε ἐν πρώτῳ, μήτε ἐν δευτέρῳ προσώπῳ δύνα-
σθαι καταγίνεσθαι· οὐ γὰρ πρὸς οὓς λεγόμεν ἡ ἀπόστασις γίνεται
τοῦ ὀνόματος ὑπὲρ τῆς αὐτοῦ θέσεως· ὅπερ ἴδιον δευτέρου προσώ-
που, ὅ,τι μὴν ἑαυτοῖς τιθέμεθα· ὅπερ ἴδιον πάλιν τοῦ πρώτου
προσώπου· ἀνάγκη οὖν πάντα εἰς τὰ τρίτα πρόσωπα χωρεῖν τὰ ὀνό-
ματα κατὰ πάσας πτώσεις· χωρὶς τῆς κλητικῆς· αὕτη γὰρ πρώτη ἐ-
πιστρέφει τὴν ἐκ τῶν τρίτων προσώπων θέσιν εἰς τὸ δεύτερον· διὰ τὴν
ἐξ αὐτῆς γινομένην ἀντίληψιν τοῦ ἀναδεξαμένου προσώπου τὸ ὄνο-
μα· προφανὲς γὰρ ἐκεῖνό ἐστιν· ὡς ἐξ αὐτῶν τιθέμενοι τοὺς λόγους, πρός τι-
νας ὀφείλομεν ἀναμερίσαι τὰ πρόσωπα· καὶ φαίνεται ὡς οὐκ ἐνὸν τοῖς ὀνό-
μασιν συγχεῖσθαι· καθότι τρίτα ἦν ταῦτα· ὁ δὲ λόγος ἀπαιτεῖ τὸ ἐκ
πρώτου προσώπου ἢ δευτέρου· ὅθεν παρεισέδυον αἱ ἀντωνυμίαι τὸ ἀ-
δύνατον τῶν ὀνομάτων ἀναπληροῦσαι· ἡνίκα φαμέν, ἐγώ σοι ἔγραψα.

θ'. ΔΙΑΤΙ ἀντὶ τοῦ ὀνόματος αἱ ἀντωνυμίαι ἐπενοήθησαν.

Προείρηται γε μὴν ἡ αἰτία τοῦ μίαν οὖσαν τὴν ἀντωνυμίαν ἀντὶ πάντων ὀνομάτων παραλαμβάνεσθαι· οὐκ ἂν οὖν τις ὑπολάβοι, ὡς πρὸς οὐδὲν χρειώδεις αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι, δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι· καὶ γὰρ εἰ ἐνεχώρει κατὰ πρῶτον ἢ δεύτερον πρόσωπον παραλαμβάνεσθαι τὰ ὀνόματα, ἴσως ἂν ἐγένετο μηδὲ τὴν ἀντωνυμίαν προσκυροῦσθαι. Ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτο φάναι· αἱ ἀντωνυμίαι ἅπαξ ἀντὶ ὀνομάτων γενόμεναι, ἐκ παρεπομένου ἔσχον καὶ τὴν δεῖξιν· ὑπόθεμεν γὰρ ἐπιλείποντα τὰ ἐξ αὐτῶν πρόσωπα ἑώρατο· καὶ οὕτω τὸ μόριον ἐξαιρέτως ἀπηνέγκατο τὴν δεῖξιν, ἥτις συνῳδοῦσα κατὰ συζυγίαν τοῦ πρώτου καὶ δευτέρου προσώπου· ἄχρι τοῦ τρίτου· οὐ καθὸ οὖν τὰ ὀνόματα ἀνέφικτα ἐν τρισὶ προσώποις ἐγένοντο αἱ ἀντωνυμίαι· ἀλλὰ καθὸ ἀμοιρεῖ δείξεως· ἥτις ἐστὶν ἐν ἀντωνυμίαις. ἐπεὶ συνῆν ἀμφότερα, ἐν τῷ, οὗτος δ' Αἴας ἐστὶ πελώριος, πάνυ ἀναγκαίως· ἕνεκα γὰρ τοῦ ὁρᾶσθαι τὸν Αἴαντα, ἡ δεῖξις παρείληπται· ἕνεκα δὲ τῆς ἰδίας ποιότητος, ὑπὲρ ἧς καὶ ἠρώτησε, τὸ Αἴας:~

ι'. ΓΟΙΑ ῥήματα συντάσσεται τοῖς ὀνόμασι κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον καὶ ποῖα οὔ· καὶ τί τούτου τὸ αἴτιον.

Τούτων τῶν διεχόντων, σαφὲς ὅτι τὸ Ἀπολλώνιος γράφω, καὶ τὰ τούτοις ὅμοια προφανῶς ἀκατάλληλα καὶ οὐ δι' ἄλλο τι, ἢ διὰ τὴν τῶν προσώπων ἀκαταλληλότητα· εἴ γε τρίτου μὲν προσώπου τὸ ὄνομα, πρώτου δὲ τὸ ῥῆμα, κατάλληλον δὲ τὸ ἐν δυσὶ τρίτοις· Ἀπολλώνιος γράφει· ἀλλ' οὐκ ἐν τῷ καθόλου πάλιν τὸ τοιοῦτον· τὰ γὰρ ὕπαρξιν ἢ ἰδίας ποιότητος θέσιν σημαίνοντα τῶν ῥημάτων, προσίενται τὸ δοκοῦν ἀκατάλληλον· εἰμὶ Ὀδυσσεύς· Τρύφων ὀνομάζομαι· καὶ τὰ τούτοις σύζυγα· πάλιν γὰρ οὐκ ἐγχωρεῖ τὴν ἰδίαν θέσιν κοινῇ φωνῇ προσχαρίζεσθαι ἐπὶ πᾶν συντεινούσῃ· εἰ φαίημεν, ἐγὼ ὀνομάζομαι· ἐγὼ κληΐζομαι· καὶ σαφὲς ἐστὶν ὅτι τὸ ἐγώ εἰμι ἐνεχώρει γίνεσθαι· ὕπαρξιν γὰρ οὐκ ἰδίας ποιότητος θέσιν ἐσήμαινε κοινὴν δὲ ἐφ' ἣν

συντείνει τὸ ἐγὼ ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἑξῆς προσώπων. σαφὲς δὲ ὡς ὅτι οὐδὲ ἄρθρα διαφέρουσα ἔχει τὴν ἰδίαν θέσιν τῶν ὀνομάτων. τὰ ῥήματα εἰ ἀπαιτεῖται αὐτὰ ἐκ τρίτου κατὰ τὸ πρῶτον. ὅτι φαμὲν Τρύφων ὀνομάζομαι. οὐ μὴν ἐν τῷ Τρύφων βιάζομαι. τὸ γὰρ βιάζεσθαι οὐκ ἴδιον τοῦ Τρύφωνος, καθάπερ ἡ ἐπ᾽ αὐτοῦ ὀνομασία. διὸ καὶ τὴν κοινὴν χρῆσιν τοῦ ὀνόματος ἀντωνυμίαν παραλαμβάνει.~

ιά. ΠΟΤΕ πάντα τὰ ῥήματα συντάσσεται ἀντωνυμίαις καὶ πότε οὔ.

Ἑξῆς ῥητέον καὶ περὶ συντάξεως τῆς τῶν ἀντωνυμιῶν πρὸς τὰ ῥήματα. αἱ πλάγιαι πτώσεις τῶν ἀντωνυμιῶν πάντως ἐπὶ ῥῆμα φέρονται. ἐξῆς συντάξεως νοεῖται ἡ ἐγγινομένη διάθεσις τοῦ προσώπου. οὐ μὴν ἀντιστρέφει τὰ τοῦ λόγου. οὐ γὰρ ἅπαντα τὰ ῥήματα πλαγίας ἀπαιτεῖ ὀνομάτων ἢ ἀντωνυμιῶν. ἐπεὶ ἃ μὲν αὐτοτελῆ αὐτῶν ἐστιν, ἃ δὲ ἐλλιπῆ. τό τε γὰρ περιπατεῖ ἢ πλουτεῖ ἢ ζῇ ἤ τι τῶν τοιούτων οὐκ ἐπιζητεῖ πλαγίαν πτῶσιν. περὶ ὧν ἐντελῆ τὸν λόγον παραστήσομεν ἐν τῇ κατ᾽ ἰδίαν αὐτῶν συντάξει. οὐ λέληθε δέ με ὡς οἱ πλεῖστοι ὑπέλαβον τὴν τῶν ῥημάτων σύνταξιν ἐντελεστέραν εἶναι, εἰ προσλάβοι καὶ τὰς ἀντωνυμίας. ἐγὼ ἔγραψα. ἐγὼ λαλῶ. καὶ ἐπὶ τῶν ὁμοίων τὸ αὐτό. καὶ τοῦτο τὸ δεῖξιν φασί, τὸ μὴ δεόντως ἔχειν τὴν τοιαύτην φράσιν, εἰ μὴ προσλάβοι τις καὶ τὰς ἀντωνυμίας. ἐγὼ μὲν γὰρ παρεγενόμην. σὺ δὲ οὔ. ἀκατάστατα τὰ τοῦ λόγου γενήσεται. ἐγὼ μέντοι οὐχ ὑπολαμβάνω ἐν τῷ καθόλου τὸ τοιοῦτον ἀληθὲς εἶναι. πιστούμενος οὐκ ἐκ ποιητικῶν παραθέσεων. εἴγε τῇ ποιητικῇ συντάξει ἐφεῖται καὶ πλεονάζειν καὶ ἐλλείπειν. ἀλλὰ μέντοι τῆς κοινῆς φράσεως ἁπάσης, καὶ τῆς τῶν συγγραφέων ἀκριβοῦς συνθέσεως. ἔτι τὸ μεῖζον ἐκ δυνάμεως τοῦ λόγου. ἣν καὶ δέον ἐστὶ παραθέσθαι, τῶν ἄλλων συντάξεων προδήλων οὐσῶν. Προϋφίσταται ἔν τισι μέρεσι λόγου δηλούμενα ἑτέρων μερῶν λόγου. ἐν τῷ Αἴας, τὸ εἷς. ἐν τῷ Κρονίδης, γενικὴ ἐν καὶ τοῦ πρωτοτύπου, καὶ τὸ υἱὸς μετ᾽ οὐσίας ἑνικῆς. ἐν τῷ Λεσβόθεν. μετὰ τοῦ ὀνοματικοῦ ἔννοια, καὶ ἡ ἐξ πρόθεσις. ἐν τῷ αἴαντε

τὸ λύω· ἐν τῷ, ταχύτερος, τὸ μᾶλλον· πάμπολλος ἡ εἰς τὸ τρίτον παράθεσις. καὶ οὐκ ἔστιν ὅστις φησὶ τῷ κρονίδης λείπειν τὸ, υἱός· ἢ τῷ, ταχύτερος τὸ μᾶλλον· προστιθέντες δὲ, περιττὴν θέσιν ἐπαγγέλλεται· ἐφιστάνομεν τοῖς ἐπαγγελλομένοις καὶ τοῖς ἀποφαινομένοις ἐξ οἴκοθεν, ποιηταὶ χαριζόμενοι τὸ τοιοῦτον· παρ' οἷς λείπουσιν αἱ προθέσεις καὶ πλεονάζουσιν· ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε· κατ' ἔλλειψιν τῆς ἐξ, ἀπ' οὐρανόθεν προΐαλλε, κατὰ πλεονασμὸν τῆς ἐξ· ἀλλ' οὐδὲ τῷ, Αἴας ἑνικὸν καλούμενον, λείπει τὸ εἷς· καὶ δὴ ἐν τοῖς ῥήμασι πάμπολλά ἐστι παρυφιστάμενα, ἐν μὲν τοῖς ὁριστικοῖς, ὁ αὐτὸς λόγος. καὶ ἡ ἐξ αὐτοῦ νοουμένη κατάφασις· ὅπου γε καὶ πρὸς τὰς ἐρωτήσεις ἀνθυπαγόμενον τὸ, ναὶ ἢ οὐ· ἢ ῥῆμα ὁριστικόν· ὥστ' ἂν παρακειμένης τῆς καταφάσεως κατὰ τὰ ὁριστικά· γράφεις; λέγω κατ' ἐρώτησιν· καὶ τὸ ἀνθυπαγόμενόν ἐστι, ναὶ· ἢ γράφω· ἐνθένδε καὶ ἡ οὐ ἀπόφασις τὸ ἐναντίον ἀναιροῦσα αὐτὸ μόνον, τὰ ὁριστικὰ ἀποφάσκει· οὐ γράφω· ἀλλ' ἔστι καὶ ὑπὲρ τούτων παραθέσθαι, ὡς ἔγκειται καὶ ὁ ἑνικὸς ἀριθμός· καὶ πάλιν τὸ εἷς, οὐκ ἐπιζητεῖ τὸ, γράφω· σαφὲς δ' ὅτι καὶ ἡ εὐθεῖα ἔγκειται τῆς ἀντωνυμίας· καὶ εἰ τὰ κατειλεγμένα οὐ λείπει διὰ τὰ παρυφιστάμενα, τὸ δὲ τὸ γράφω ἐλλιπές ἐστι τῆς ἐγὼ ἀντωνυμίας· οὐχὶ ὁμολογεῖται ἐγὼ γράφω; καὶ οὐ κακία τὸ τοιοῦτον· καὶ αὐτὸς προείρηκα ὅτι οὐκ ἐν τῷ καθόλου· ἰδοὺ γὰρ καὶ τὰ προκατειλεγμένα ἀνάγκης ὑπούσης τῆς κατὰ τὸν λόγον, συμπαραλαμβάνει τὰ μόρια τὰ παρυφιστάμενα· ἐνίοτε γὰρ μᾶλλον ἀχαιοῖσι· διὸ γὰρ γινομένης ἐπιτάσεως, μιᾶς μὲν ὑπούσης ἐν τῷ γεραίτερος, ἀνάγκη πᾶσα τὸ, καὶ τὴν ἑτέραν παραληφθῆναι· φαμὲν δὲ καὶ ναὶ γράφω· βεβαιοτέραν ποιούμενοι τὴν ἀπόκρισιν διὰ τῆς δὶς παρειλημμένης συγκαταθέσεως· ἀλλὰ καὶ ἕνα ἄνθρωπον φαμὲν περιπατεῖν· πρός τε τὸ μή τι βραχεῖ μὲν πλῆθος, καὶ πρὸς τὴν τῶν πάντων ἀναίρεσιν· λέγω ἴδ' εἷς περιπατεῖ· ὁ δῆμα ἄμορον· τὸν αὐτοῦ δὴ τρόπον ὑπούσης ἐκφορᾶς ἀπολελυμένης, φήσομεν φιλολογῶ· φιλολογεῖν· εἰ μέντοι γε τὴν πρός τινα σύγκρισιν ἐθέλοιμεν διασαφῆσαι, ἐπισπώμεθα τὴν ἀντω-

νυμίαν ἴδιον ἔχουσαν τὴν ἐν τοῖς προσώποις ἀντιδιαστολήν. σαφὲς γὰρ ὅτι εἰ χεῖται τὸ πρόσωπον διαστέλλωμεν. τοῦτο δὲ κοινὸν ἔχει καὶ τὸ ῥῆμα. διὸ καὶ τὰ ἀπαρέμφατα δέεται τῆς τούτων συντάξεως, ἐλλιπῆ καθεστῶτα. φασὶ μέντοι Ἄβρων, ὡς τό, ἐγὼ μὲν παρεγενόμην, οὐ συνετόν, εἰ παραλίποι τὴν ἀντωνυμίαν. οὐκ ἐπιστήσας ὡς ὁ σύνδεσμος αἴτιος γενόμενος ἐπιπλοκῆς ἑτέρου λόγου. πάντως διήνεγκε τὴν ἀντωνυμίαν. ἵνα δεόντως διαστείλῃ τὸ ἐπιφερόμενον πρόσωπον. ὅπερ ᾠκεῖτο ἐν τῷ ἐπιφερομένῳ λόγῳ:~

ιβ. ΤΙΝΕΣ Τῶν συνδέσμων ὀρθοτονοῦσι τὰς ἀντωνυμίας. καὶ τίς ἡ τούτου αἰτία.

Ὀρθοτονοῦμεν γοῦν τὸ ἢ δ᾽ ἐμὲ χερὸς ἑλοῦσα, διὰ τὸ ἀντιδιαστελλόμενον πρόσωπον τῶν ἑτέρων. τὸ δὲ πάντων συνεκτικώτατον αὗται αἱ ἀντωνυμίαι ὑπαγορεύουσι, τό, ἕνεκα μόνον τῆς ἀντιδιαστολῆς συμπαραλαμβάνεσθαι. τοῦτο γὰρ μόνον ἀπειληφυῖαι, παρῆκαν μὲν τὴν ἐγκλιτικὴν τάσιν. ἐπεὶ αὕτη ἀνεπλήρου πρὸς τῶν ῥημάτων. ἔμφασιν δὲ διὰ τὸ ἐπακολουθοῦν αὐταῖς ἰδίωμα. καὶ καθὸ πᾶσα ἀντωνυμία ὀρθῆς τάσεως ἐγκλιτικῆς συντάξεως ἀπαράδεκτός ἐστιν. οὐ μόνον τῆς χρήσεως τὸ τοιοῦτον ἐπιδεξαμένης, ἀλλὰ καὶ τῆς φωνῆς συνεπιχυούσης τῇ χρήσει. εἴγε αἱ ἀπὸ τοῦ ε ἀρχόμεναι ἀντωνυμίαι ἅμα τῇ ἐγκλίσει καὶ τὸ κατάρχον παρέφθειραν. ὅπερ οὐ παρηκολούθει τῷ ἐγώ. ἐπειδὴ ἀπαράδεκτος τῆς ἐγκλιτικῆς συντάξεως. καὶ διὰ τοῦτο τῇ μονῇ τοῦ ε, αἱ παρ᾽ Αἰολεῦσιν ἀντωνυμίαι ὀρθοτονοῦνται. κἂν βαρύνωνται κατὰ τὸ τέλος. πῶς οὖν οὐ γελοῖοι οἱ ὑπολαμβάνοντες τὴν ἐγὼ ἐγκλιτικὴν εἶναι.

Ἔτι τοῦ ἰδιώματος συντηρουμένου τῆς ὀρθῆς τάσεως. ὅπου γε καὶ πλεονάσαν τὸ ε, τὰς ἐγκλινομένας τῶν ἀντωνυμιῶν εἰς τὸν ὀρθὸν τόνον μετέθηκεν. ὡς οὐκ ἄλλως τις ἐγκλίνειεν, εἰ μὴ περιγράψειε τὸ ε. ὅπερ ἴδιον ἦν μόνον τῆς ὀρθοτονουμένης ἀντωνυμίας. ἔνθεν μοι δοκεῖ μόνως ἐγκλίνεσθαι τὴν τυ ἀντωνυμίαν παρὰ Δωριεῦσιν, οἷον ὥστε τυ ἵνα τὸ ἀλλότριον τῆς εὐθείας ἐγγινόμενον, λέγω τὴν ἐγκλιτικὴν σύνταξιν ἀποβάλῃ μὲν τὴν εὐθεῖαν τάσιν, μετίῃ δὲ

ἐπὶ τὴν συνήθειαν αἰτιατικήν· ἢ καὶ σὺν ὑπάρχει ἐν σιωπῇ ἐπὶ τῇ ἐν δυικοῖς καὶ τισὶ τῶν πληθυντικῶν· καὶ ἐν ἅπασιν οὐδετέροις· ἀναγκαζομένη πᾶσι τοῖς τρίτοις προσώποις προσεῖναι, ἢ αὐτὰς τὰς ἀντωνυμίας, ἢ τὰ εὐθεῖαν παραλαμβάνεται· λέγω τὰ ὀνόματα· οὐ χρῄζει τῆς πτώσεως· ἐπεὶ πάλιν παρυφίσταται ἡ εὐθεῖα· ἄλλου δὲ ἕνεκα προσώπου· νοεῖται γὰρ ὅτι τρίτον· ἀλλ' εἰ καί γε τὸ μὴ ἀοριστοῦσθαι· ἄπειρα γὰρ ὄντα τὰ τρίτα πρόσωπα, μιᾷ ἐπιφέρεται συντάξει τοῦ ῥήματος· καὶ σαφὲς ὅτι μία λέξις κατὰ ἀπείρων κειμένη, ἀόριστον πρόσωπον ὑπαγορεύει· εἰς πολλὰ τῆς διανοίας περισπωμένης· οὐσῶν δὴ ὡρισμένων προσώπων δεικτικαί, ἀναγκαίως παρατίθενται τοῖς ῥήμασιν· ἵνα ἐκ τῆς αὐτῶν παραθέσεως περιγράφηται ἡ ἀόριστος ἔννοια τῶν ῥημάτων· γράφει ὅδε· ἢ οὗτος· ἐκεῖνος· αὐτός· καὶ ὡς μὲν ἀμφότεραι καὶ αἱ τῆς εὐθείας μόνον ὀρθοτονοῦνται, ἐδείχθη:~

ις΄. ΠΕΡΙ διαφορᾶς τῶν συνδεδεμένων ἀντωνυμιῶν, καὶ τῶν παρακειμένων τοῖς συνδέσμοις οὐ μὴν συνδεδεμένων.

Ἀκολούθως δὲ χωρητέον καὶ ἐπὶ τὰς ἑξῆς πτώσεις· αἷς τὸ διαστοῦν τοῦ τόνου παρεπόμενόν ἐστι παρὰ τὰς ὑπούσας συντάξεις τοῦ λόγου· εἰ γὰρ μὴ τὸ τῆς φωνῆς ἰδίωμα ὑπεξείληπται, τὸ δὲ ἴδιον ἐννοηθήσεται· ἔστι γοῦν ὁ γενικὸς ὥσπερ τρόπον τινὰ ἐν αὐταῖς ὀρθῆς τάσεως, ἐὰν παρέμφασις ἑτέρου προσώπου παραλαμβάνηται· τὸ γὰρ παῖδα δέ μοι λύσατε, εἴρηται πρὸς τό, ὑμῖν μὲν θεοὶ δοῖεν· καὶ σαφὲς ὅτι τό, ὑμῖν μὲν θεοὶ δοῖεν διὰ τῆς συνούσης τάσεως προσυνίστησι τὸ ἀντιπαρακείμενον πρόσωπον· τὸν δὴ προειρημένον τρόπον, εἰς πλείονας τρόπους πάλιν τέμνουσιν· ὅθεν πάλιν παρίσταται ταυτὶ τῷ προειρημένῳ· πᾶσα γάρ φασιν ἀντωνυμία συμπλεκομένη, ἐν τάσει ὀρθῇ ἐστι· Διονύσιος ἐλάλησε καὶ ἐμοί· Διονύσιον τιμᾷ καὶ ἐμέ· εἰ τοίνυν ἐκτὸς τοῦ συνδέσμου γένοιτο ἡ ἀντωνυμία, οὐ πάντως ὀρθοτονηθήσεται· ἐχαρισάμην σοι τῷ Διονυσίῳ· ἐτίμησέ σε καὶ Διονύσιον· φασὶ τὰ τοιαῦτα μὴ συμπεπλέχθαι ἐν τῇ ἀντωνυμίᾳ· τῷ με ἐφίλησε· καί μοι ὑποστῆτω· δῆλον ὅτι εἰ μὴ τοιαῦτά τις ἐπεξεργάζοιτο, δόξει αὐτὸ μόνον τοῖς ἀμαθῶς μᾶσιν ἠκολουθηκέναι· ἀφορμήν τε δίδωσι τοῖς θέλουσι δια-

περάσαιμι τὰ ἄρα συνδέσματα. καθὸ οὐκ ἐπέχονται ὑπὸ λόγου δυνα-
μένου ἐπιδέξαι, τό, τιδέον τοῦ καταλλήλου τῆς ὑπερβατοῦ. οἱ
δὲ καλούμενοι ἐρωτηματικοὶ σύνδεσμοι, ἐκ τῶν προκειμένων λόγων,
ἀπὸ κοινοῦ λαμβάνουσιν ἢ ὄνομα ἢ ῥῆμα. ἐντεῦθεν καὶ στιγμῆς ἀπρο-
σδεεῖς εἰσιν. οἱ δ᾽ ἂν ἐπέχωμεν τοῦ προϊόντος λόγου, ὡς πρὸς τὸ ὑπερκεί-
μενον, ἐκκείσθω δὲ ὑποδείγματα ἐκ μὲν τοῦ συνήθους λόγου, καὶ
Διονύσιος περιπατεῖ, καὶ Ἀπολλώνιος. κοινοῦ παραλαμβανο-
„ μένου τοῦ περιπατεῖ. Ἐκ δὲ τοῦ ποιητικοῦ, Βοιωτῶν μὲν Πηνέ-
„ λεως καὶ Λήϊτος ἦρχον. Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε.
κοινοῦ πάλιν παραλαμβανομένου τοῦ ἦρχον. οὐ φημὶ δὲ τοῦτο ὡς
πάντως ἐν κοινότητι τὰ τοιαῦτα παραλαμβάνεται. ἀλλ᾽ ὡς τὰ ἐκ
κοινοῦ παραλαμβανόμενα, ἐν τοιαύτῃ συμπλοκῇ καθίστηκε.
λέγω τῇ ἐκ τοῦ καί. τῶν τε τούτῳ ἰσοδυναμούντων. δείξομεν δὲ
ὅτι οὐδὲ καὶ πάλιν οἱ τούτῳ ἰσοδυναμοῦντες, παραιτοῦνται τὰς κοι-
νότητας. μεταβάσεις ποιούμενοι καὶ τῶν πτωτικῶν, καὶ ἐπὶ τῶν ῥημά-
των. ἔνθεν ἀπροσδεεῖς ὄντες τοῦ παρακειμένου λόγου, στιγμὴν αὐτοὶ
καθιστῶσιν. ὡς ἔχει τὰ τοιαῦτα. Διονύσιος ἔγραψε, Τρύφων δὲ ἀ-
νέγνω. χωρὶς εἰ μὴ ἐπιμεριζόμενα εἴη ἐκ πλήθους. ὡς ἔχει τὸ φιλολογή-
σωμεν σήμερον. σὺ μὲν κατὰ χώρην. ἐγὼ δὲ κατ᾽ οἶκον. ἀλλ᾽ οὗτοι μὲν
ταῦτα περιέξομεν ἀλλήλοισι. σοὶ μὲν ἐγώ. σὺ δ᾽ ἐμοί. τὴν δὴ ταύ-
την τήρησιν πάνυ ἀκριβεστάτην οὖσαν, ἐν τῇ ἐπιβαλλούσῃ τάξει
πάλιν ἐκθησόμεθα. Ἀντίον οὖν ἐπὶ τὸ προκείμενον. ἐὰν πτωτι-
κὸν συμπλακῇ. ὅπου τε κατὰ τὸν ἑξῆς λόγον δύναται κοινὸν πα-
ραληφθῆναι. τότε μὴν ῥῆμα ἢ ἄρα πάλιν. ἐὰν ῥῆμα συμπλα-
κῇ, ὅπου τε κατὰ τὸν ἑξῆς λόγον κοινὸν παραλαμβάνεται. τό γε μὴν συ-
νὸν πτωτικοῦ. ἐκκείσθω ἐν ὑποδείγματι, καὶ Τρύφων διελέξατο καὶ Ἀπολ-
λώνιος. τοῦ κοινοῦ μὲν τοῦ Τρύφωνος παραλαμβανομένου. τό γε μὴν διελέξα-
το. καὶ ἄρα πάλιν. καὶ διελέξατο Τρύφων καὶ ἀνέγνω. νῦν πάλιν τοῦ Τρύ-
φωνος κοινοῦ παραλαμβανομένου, τὴν αὐτὴν σύνταξιν ποιήσει καὶ ἐπὶ τῶν ἀν-
τωνυμιῶν. εἰ μέντοι γε ὁ προκείμενος λόγος μὴ ἀναδέξαιτο τὸν σύνδεσμον, ὥ-
σπερ ἐπικαίουσα διαφόρως ἔχει τὸ ἐπιφερόμενον τοῦ κοινοῦ. Τρύφων περι-

πατεῖ ἢ Ἀπολλώνιος· περιπατεῖ Τρύφων καὶ διαλέγεται· ἀμφοτέρων ἀπὸ κοινοῦ δυναμένων λαμβάνεσθαι· ᾧ λόγῳ εἰ προσδώημεν τὸν σύνδεσμον παρὰ τὴν σύνταξιν τῶν συνδεδεμένων τὰ τοῦ λόγου καταστήσεται· καὶ Τρύφων περιπατεῖ καὶ Ἀπολλώνιος· καὶ περιπατεῖ Τρύφων καὶ διαλέγεται· οὐ γὰρ ἐν ὑστέρῳ λόγῳ τὰ τοιαῦτα· καὶ περιπατεῖ Τρύφων καὶ Ἀπολλώνιος· ὁμολογουμένως οὖν τὸ συνδεδεμένον πτωτικὸν, ἀπαιτεῖ ἕτερον πτωτικὸν, πάντως καὶ τὴν αὐτὴν πτῶσιν· ὥστε προϋπάρχον ἐστὶ καὶ τὸ ἐξ ἐκείνου· εἴπερ ἢ ἡμῖν· ἢ γὰρ „ ἄλλοις· ὃν πέρι μοῦσ' ἐφίλησε δίδου δ' ἡδεῖαν ἀοιδήν· ἢ ὡς Ἀρίσταρχος· ὡς οὐκ ἐγκείμενον τὸν σύνδεσμον παραιτεῖται· ἵνα μὴ ἐξ αὐτοῦ τὸ ὁμοιόπτωτον πρόσωπον νοῆται· ἔνθεν οὖν ὀρθοτονοῦνται διὰ τὸ ἐπισυμπλεκόμενον πτωτικόν· ἔνθεν τὸ, καί μοι ὑποστήτω· καί με φίλησεν· οὐ συμπλέκεται κατὰ τὸ ἀντωνυμικόν· κατὰ δὲ τὸ ῥῆμα· καὶ ἔστι τὰ τοῦ λόγου ἐν ὑπερβατῷ· ἰδοὺ γὰρ ἡ συμπλοκὴ οὐκ ἐπήγαγεν ὁμοιόπτωτον πρόσωπον πρὸς τὸ συμπεπλεγμένον ὑπὸ τῆς ἀντωνυμικῆς· ἔνθα δὲ ἀντιθεῖσαι τῆς διαστολῆς αἱ ἀντωνυμίαι παρῆκαν τὸν ἴδιον τόνον· ὡς ἀρκούμεναι ὑπὸ τοῦ συνδέσμου· τὸν αὐτὸν δὴ λόγον ποιήσει, καὶ ἐπὶ τῶν κατὰ διάζευξιν παραλαμβανομένων· ἢ καθόλου τῶν δυναμένων εἰς σύνταξιν πτωτικὴν παραλαμβάνεσθαι· φημὶ δὴ τὸ τοιοῦτον καθὸ σύνδεσμοι ἐπὶ ῥήματος φέρεται μόνον· ὅθεν οὐδὲ ἀναγκαίως διεγείρει τὰς ἀντωνυμίας, εἰ μὴ τὰ τοῦ λόγου ἀπαιτήσει· οἷον τί γὰρ φάναι, ὅτι σε ἐτίμησα ὑβρίσθην· ἢ καθόλου γὰρ οὐ κοινῶς διεγείρει τὴν ἀντωνυμίαν· εἰ δὲ καὶ τὸ ὀρθὴν πᾶσιν φαίημεν, ὅτι σε ἐτίμησα δῆλον· ὅτι, ὡς οὐ διὰ τὸν σύνδεσμον· διὰ δὲ τὴν ἐπακολουθήσασαν ἀντιδιαστολήν· ἀνάπαλιν οὖν ὁ ἕνεκα σύνδεσμος φερόμενος πάντοτε ἐπὶ γενικῆς μόνον, ὀρθοτονεῖ τὴν ἀντωνυμίαν· κινεῖ κατὰ τὰς λοιπῶν γενικὰς συνδεῖ· εἵνεκ' ἐμεῖο κυνός· τίς γὰρ ἂν θαρρήσει ἑλλήνων ἐγκλίνειν τὸ ἕνεκα μου· καὶ δῆλον ὡς μόνως πάλιν ὀρθοτονοῦνται· καθὸ συντεθεῖσαι πρός τι πτωτικὸν τὸν λόγον ἀπέχουσι· φησὶ δέ που καὶ ὁ Ἄβρων, οὐ δέοντι ἐγκεκλῖσθαι, τὸ, ἡμᾶς ἕνεκεν ἢ ἔσωσε· καθ' ὃ διέζευκται ἡ ἀντωνυμία· ὡς οὐκέτι πρὸς αὐτὸν φαίνεται, ὅτι τὸ ἑξῆς ἐστὶ μόνα

ἀγρόν με ὡς αὐτὸς παρῃτήσατο καὶ μ᾽ ἐφίλησεν, ἀντὶ τοῦ καὶ ἐφίλησέ με. εἰ μὴ κατείληπται ὃν προσεθήκαμεν λόγον. ὡσόντως δὲ ζητεῖται ἡ ἀντωνυμία ἐκ τοῦ διαζευχθέντος λόγου. εἴγε ὦ φέρεται, ἢ ἐγκρόσει. σαφὲς γάρ ἐστιν ὅτι τὸ ῥῆμα δέξεται. ἐπεὶ οὐκ ἂν αἰτιατικὴ πτῶσις ἐπηνέχθη. ἀλλὰ ῥῆμα. καθάπερ ἐπεδείξαμεν ἐπὶ τῆς συμπλοκῆς. τοιῶ μέντοι ὑπαναινόντας παρεκρούσατο ἡ οὐ μονοσύλλαβος ἀντωνυμία. ἣν δεόντως δισύλλαβον παρεδεξάμεθα. πείσαντες ὡς ὑποσυνελήφθη κατὰ τὸν τρόπον τῆς κράσεως. ὁμοίως τοῦ ἡμῶν κεχαρισμένε θυμῷ τῇ ἡμῶν κλισίῃ. καὶ δῆλον ὅτι οὐ μεταθήσει τὸν ἴδιον τόνον ἐπὶ τὸν ἢ σύνδεσμον. συνάξει δὲ ἐν αὐτῇ, ὡς ἐν τῷ ἢ μᾶν ἄγρον ἢ ἐγκρόσει. καθάπερ καὶ ἐπὶ τοῦ διασαφητικοῦ. ἢ ἐμοὶ ὅσπερ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι. πρὸς τῷ μὲν παρ προτέροισι μελίφρονα πυρὸν ἔθηκε. πάλιν μέντοι τὸ ἑξῆς, ἐν τοῦ καὶ ἐγὼ σοι συνέριθος ἔσομαι. δῆλον ὅτι προφανὲς ὡς ἐπὶ πάντων τῶν τοιούτων, ὁ λόγος καταστήσει τὸ δέον τῆς συντάξεως:~

## ιδ΄. ΤΙΣ Η αἰτία τοῦ καὶ τὰς προθέσεις ὀρθοτονεῖν τὰς ἀντωνυμίας.

Καὶ αἱ προθέσεις δὲ παρατιθέμεναι ταῖς ἀντωνυμίαις, ταυτὸ ἀποτελοῦσι. παρ᾽ ἐμοῦ. διὰ σοῦ. ἀφικνεῖται παρὰ σέ. καὶ ἕνεκα τούτου, περισσὸν ἡγοῦμαι, τῆς συντάξεως προδήλου οὔσης, πλείοσιν ὑποδείγμασι χρῆσθαι. ἐκεῖνο γάρ ἐστιν ἐπεξεργάσασθαι ἀναγκαῖον, εἰ κατά τινα φυσικὴν ἀκολουθίαν, τὸ τοιοῦτον παρεπόμενόν ἐστιν. οὐ γὰρ οὕτω κατεπείγει τὸ τῆς συντάξεως. καθὸ πρόδηλόν ἐστι. τὸ δὲ τοῦ λόγου ἐπὶ πᾶσιν οὐκ αἰσιώτερον:~

## ιε΄. ΟΤΙ Αναγκαίως αἱ μὲν, ἐγκλιτικαὶ ἐγίνοντο αἱ δὲ οὔ.

Αἱ πλάγιαι τῶν ἀντωνυμιῶν συντασσόμεναι τοῖς ῥήμασι, καὶ προσώπων δύο παρεμφατικαὶ οὖσαι, τοῦ τε διαθέντος καὶ διατιθεμένου, διὰ τῆς ὀρθῆς πτώσεως παρεμφατικαὶ γίνονται καὶ τρίτου προσώπου. εἴγε διαφέρει τὸ τύπτω σε, τοῦ σὲ τύπτω. καὶ ἕνεκα τούτου τὰ τῆς συντάξεως διεμερίσθη. καθὸ ἡ ἀπολελυμένη σύνταξις αἰτοῦσα ὑπτιαστικὴν ἀντωνυμίαν μετατίθησι ἐπὶ τῶν

πτῶσιν· τουτέστιν ἐγκλιτικὰς αὐτὰς καθίστησιν. ἡ δὲ πρόσεστιν ἐν ἀρ-
χῇ παρεδέξατο τὴν ἀντωνυμίαν. ἡ σύνεσις καὶ ὁλόκληρος φωνὴ
καὶ ἡ παρεπομένη γραφή· πρόδηλον ἐκ τοῦ δός μοι καὶ ἐμοὶ δός:~

ΚΑΤΑ πόσους τρόπους αἱ ἀντωνυμίαι ὀρθοτονοῦνται.

Ἀλλὰ κἀκεῖνο ὁ λόγος ἀληθὴς ἐστίν· ὡς αἱ προθέσεις συντίθενται κατ'
εὐθεῖαν καὶ κατὰ τὰ ῥήματα· κατὰ δὲ τὰς πλαγίας παρατίθεν
ται· ἐπὶ μὲν ἀντωνυμιῶν, προφανῶς· ἐπὶ δὲ ὀνομάτων, δόξει τὰ τοῦ
λόγου διαψεύδεσθαι· λέγομεν γὰρ ὑπέρκολον· οἰκουρόν· ὅπερ
εἴ τις ἂν ἀκριβὲς ἐξετάσειεν, οὐχ εὕροι ἂν τὴν πλαγίαν συντιθε-
μένην· συνθέτου δὲ εὐθείας κλίσιν γινομένην. ἰδιάζουσι γοῦν
αἱ πλάγιαι ἐν ταῖς προθέσεσι, πρόδηλον ποιοῦνται τὴν παράθε
σιν· κατὰ Κτησιφῶντος· πρὸ Ἀριστάρχου· καὶ διότι τὸ τοιοῦτον πα
ρεπόμενόν ἐστιν, ἐν τῇ περὶ αὐτῶν συντάξει εἰρήσεται· αἱ γὰρ πα
ρατιθέμεναι ἐν ταῖς πλαγίαις τῶν ἀντωνυμιῶν, ἀναγκαίως ἀρ
κτικὰς αὐτὰς ποιοῦσι· προθετικαὶ γὰρ οὖσαι, συμπροτιθέασι καὶ
τὰς πλαγίας· αἷς καὶ συντάσσονται. καὶ οὕτω τῶν ῥημάτων δευτέ
ρων γενομένων μετὰ τὰς ἀντωνυμίας, ἀνάγκη πᾶσα ἐστὶν ἐπὶ τὴν ὀρ
θὴν πτῶσιν ταῖς ἀντωνυμίαις καθὼς ἀπεδείξαμεν. ὅτι ἀδύνατόν
ἐστιν ἐπινοῆσαι ἐγκλιτικὴν πρὸ ῥήματος τοῦ πρὸς ὃ ποιεῖται τὴν
σύνταξιν· φαμὲν γὰρ ἔγραψά σοι λαλῆσαι Ἀπολλωνίῳ· οὔτης ἀν
τωνυμίας συντασσομένης τῷ λαλῆσαι· τῷ δὲ ἔγραψα πρὸς ὃ καὶ
τὴν πτῶσιν ἀπετείνατο:~

ιζ' Τίνες αὐτῶν μόνον ὀρθοτονοῦνται· καὶ τούτου τὸ αἴτιον:~

Ἔνθεν μοι δοκεῖ ἡ μετὰ τὰ ῥήματα τῶν ὀρθοτονουμένων ἀντωνυμι
ῶν σύνταξις ἀνεστράφθαι· εἰ οὕτω τις φαίη· ἐλάλησας ἐμοί· τὸ γὰρ
δέον ἐστὶν, ἐμοὶ ἐλάλησας· καὶ τὸ οὕτως ἔχον· σοὶ μὲν δὴ Μενέλαε
κατηφείη καὶ ὄνειδος ἔσσεται ἤματα πάντα. εἰ γὰρ τὸ ἀπολε-
λυμένον πρόσωπον, διὰ θέσεως τοῦ ὀρθοτονουμένου οὐκ ἐτυχ.
τουτέστιν ἡ ἐγκλινομένη ἀντωνυμία, οὐδέποτε προστακτική.
Οὐδὲ ἐκείνη ὑποτακτικὴ δεόντως παραληφθήσεται· ὅπου γε
αἱ ὑποτακτικαὶ ἐν ἀρχῇ γινόμεναι, παρεῖκαν μὲν τὴν ἰδίαν φω

F ζ

νῶ. μετέλαβον δὲ τὴν τῆς ὀρθῆς πτώσεως· ἔγνω γὰρ ψυχήν με ποδώκεος αἰακίδαο· καὶ ἐν ἑτέροις· ἐμὲ δ' ἔγνω καὶ προσέειπε· μὴν δ' οὐ δῆλον μένει ἡ ὀρθὴ πτῶσις, πλὴν ἴσως γε μὴν ἐναλλαγῇ, συνεπιζητεῖ δὲ ὁ ἀπὸ τῆς φωνῆς λόγος· ὑπὲρ γὰρ τοῦ ἐλλείπειν τὰ τῆς συντάξεως γίνεσθαι, τὸ ἀπόλυτον πρόσωπον καὶ ὑποτακτικὸν παρῆκε τὸ ε· καίπερ μὴ τοῖς μονοσυλλάβοις ἠδύνατο τὸ τοιοῦτον παρέπεσθαι, λέγω τὸ συλλαβὴν ἀποβάλλειν, τουτέστιν ἀποβολὴν ἐποιήσατο· ἔνθεν γὰρ καὶ ἐγκλιτικαὶ ἐγένοντο· οἷς ἐστί τις ἀντικεῖσθαι τὰς πληθυντικάς· καθὸ εἰς ἔγκλισιν παραλαμβανόμεναι· οὐ παραφθείρουσι τὸν ἐν ἀρχῇ χρόνον, ἤκουσεν ἡμῶν Διονύσιος. εἴπομεν κατ' ἀρχὴν, ὡς ἔθος τι ἰδίωμα φωνῶν ἐλλιπεστέρας καθίστησι διηνεκεῖς τηρήσεις· ὥσπερ καὶ ἐν τοῖς τριγενέσι τῶν ὀνομάτων· πάλιν ἰδίωμα φωνῆς ἐκκόπτειν ξυνίεισαν· πρότερον μὲν γὰρ ἡ δασεῖα οὐκ ἤθελεν ἀφαιρεῖσθαι. δείκνυμεν δὲ ὅτι ἀναγκαίως αἱ πληθυντικαὶ ἀπὸ δασείας ἀπήρξαντο· εἰ γὰρ καὶ χρόνος ἀφῃρεῖτο τοῦ η, πάντως ἂν ἦν ἡ ἄρχουσα ψιλὴ ἐγένετο· αἱ γὰρ ἀπὸ βραχείας ἀρχόμεναι ἀντωνυμίαι ψιλοῦνται· ἔνθεν ὁ αἰολεὺς συνέστειλεν εἰς βραχὺ α τὸ ἀμὲν· ἔστι συνεχὲς τὸ ε ἐν ταῖς κατὰ πρόσωπον κλίσεσι ἢ προστίθεται ἢ ἀφαιρεῖται· ἑώρων· εἶκα ἔειπε· ἀλλὰ καὶ τὸ ἔβη, βῆ· ἔφη φῆ· καὶ ἐν ἀντωνυμίαις τὸ ἕοι οἷ· ἑοῦ· οὗ· καὶ διὰ τοῦτο αἱ ἀπὸ τοῦ ε ἀρξάμεναι ἀντωνυμίαι, ἀναγκαίως τὸ ε διαφθείρουσιν· ἠρκέσθη οὖν ἡ ἔγκλισις αὐτοῦ μόνου διὰ τῆς μεταθέσεως τοῦ τόνου· ἤκουσεν ἡμῶν· λέγω ἀπολύτως τῆς πτώσεως μετατιθεμένης κατὰ τὴν ἄρχουσαν· ἀδυνατεῖ γὰρ ἐπὶ τὸ προκείμενον μόριον προελθεῖν· ἔστι μέχρι τριῶν χρόνων τὰ τῆς ἀμοιβῆς τοῦ τόνου ἐπιγίνεται· οὗ ἕνεκα τούτου τὸ, καὶ σφέας ὅλης τῆς ἀντωνυμίας μετέθηκε τὸν τόνον· τὸ μὲν πάλιν τὸ, ἡμᾶς· ἐν τῷ περὶ τόνων ἀκριβέστερον τὰ τοιαῦτα ἐπιδείκνυμεν.

## ὍΤΙ ΟΥ Πάντως αἱ κατὰ τὸ τρίτον ὀρθοτονούμεναι·
ιη' εἰς σύνθεσιν παραλαμβάνονται:~

## ΚΑῚ ΤΊΝΕΣ ἘΓΚΛΊΝΟΝΤΑΙ, ΤΊΝΕΣ ΔῈ ΟΥ̓·

Κἀκεῖνο μέντοι ἔτι ἐστὶ παραστῆσαι· ὡς ταῖς μὲν ὀρθοτονουμέναις ἀρκετὸν καὶ οὔσαις, παρείπετο καὶ μετατίθεσθαι τοῦ ἰδίου τόπου· καθὸ καὶ ἐν τάσει καὶ ἐν τῇ παρεπομένῃ γραφῇ ἀνελλιπεῖς οὖσαι, οὐκ ἐκωλύοντο τῆς μεταθέσεως· ἔμπαλιν τῶν ἐναντίων καὶ αἱ ἐγκλιτικαὶ προσαπηρεισμέναι προκειμένῳ τινὶ μορίῳ, ἐφ᾽ ὧν καὶ τὴν τάσιν μετέθηκαν, οὐκ εἶχον ἐνδέοντι τὰ τῆς μεταθέσεως· ἐστεροῦντο γὰρ τοῦ παρεπομένου αὐταῖς ἰδιώματος· πρὸς οὐδὲν γὰρ εἶχον τὰ τῆς ἐγκλίσεως μετατίθεσθαι· ἐντεῦθεν καὶ μόνως ἐγκλιτικαὶ ἐπενοήθησαν, ἡ σφίν· καὶ ἡ σφί· καὶ ἡ μίν· καὶ ἡ οἷ· διὰ τοῦ ἐγγραφομένου· καὶ ἡ παρὰ Δωριεῦσι τὺ· κατὰ αἰτιατικὴν πτῶσιν· καὶ δὴ καὶ τοῦ τρίτου προσώπου· οὐ γὰρ ῥημάτων ποτὲ προηγήσαντο, πάνυ μέντοι εὔηθές ἐστι δόξαι τοὺς λόγους διακρούεσθαι, ὑποθεμένου τινὸς τὰ ἐναντία· ὡς καὶ ἐγκλιτικαὶ πρὸ ῥημάτων· καὶ ὀρθοτονούμεναι ἐν ταῖς προθέσεσι μετὰ τὰ ῥήματα τίθενται· εἰ οὕτω τις φαίη· σήμερον ἐλάλησα κατὰ σοῦ· σήμερόν σε ἐθεασάμην· καί τυ Φίλιππον ἔθηκεν· εἰς γὰρ τὸ τοιοῦτον τὰ τῆς συντάξεως ἀπεδείχθη· ἵνα καὶ τὰ λεληθότα τῶν ὑπερβατῶν ὄντα, καὶ κατὰ τὸ σύνηθες ἔχηται τοῦ ἀκολούθου· καὶ μὴ μόνον τὰ παρὰ ποιηταῖς ὡς ἐξαιρετά τις ὑπολαμβάνῃ· ἡ γὰρ δέουσα κατάστασις τοῦ οὕτω παραγράφει· σήμερον ἐθεασάμην σε· τοῦ ἐπιρρήματος ἐπὶ τὸ ῥῆμα φερομένου· καὶ τῆς ἀντωνυμίας ἐπὶ τὴν δέουσαν θέσιν τῆς ἐγκλίσεως καὶ ἔτι ἐπὶ τῆς ὀρθοτονουμένης· κατὰ σοῦ ἐλάλησα· καὶ ἔτι ἐπὶ τοῦ καί τυ Φίλιππον ἔθηκε· καὶ ἔθηκέ σε· ὡς εἰ καὶ ἐπὶ συναπτικῶν τις ὑπολάβοι· ἢ καὶ ἐπὶ παρασυναπτικῶν μὴ ἵστασθαι· τὸ καὶ ἀρκτικοὺς αὐτοὺς εἶναι· εἰ καὶ φαῖμεν φῶς ἐστιν, εἰ ἡμέρα ἐστίν· αὐτὸ γὰρ μόνον τῇ συνθέσει τὸ, εἰ ἡμέρα ἐστί, δευτερεύει· οὐ μὴν τῇ ἐξόδῳ καὶ ἀπαγγελίᾳ· πρῶτον μὲν γὰρ ἐπιδέχεται ἡ διάνοια τὸ, εἰ ἡμέρα ἐστὶ, καὶ ὕστερον ἐπιδέχεται τὸ φῶς ἐστι· καὶ οὐ πάντως οὐχὶ

F ζ II

προστακτικός· ὁ δὲ συναπτικός· καίτοι γινόμενος ὑποτακτικὸς ἐνίοτε· οἵ τε περὶ τούτων ἐσχηματισμένοι ὀρθοτονοῦνται· καὶ ὅσαι ἐκ τοῦ ὑπεζυγμένης χρείας τὴν ἐναντίαν διάθεσιν ὁμολογοῦσιν· ἐμοὶ ἐτόλμησε ταῦτα ποιῆσαι· ἐμὲ ὑπέμφηνεν ὑβρίσαι· καὶ σαφὲς ὅτι συντείνει πάλιν ἐπὶ τὸν προειρημένον λόγον· τοιοῦτος γάρ ἐστιν· ἄλλον ὤφειλεν ὑβρίσαι· οὐκ ἐμὲ τὸν παρ' αὐτοῦ τιμώμενον· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν παραλαμβανομένων ἐκ προϋπηργμένης ἀδικίας· δεῖ ἐμοῦ ὀργῶντος, ἐκεῖνον αἰκίζεσθαι· οὐκ ἄλλου γὰρ ἢ ἐμοῦ τοῦ προαδικηθέντος. Ὀρθοτονεῖσθαί φασι καὶ τὰς ἀπὸ πλεονασμοῦ. Λέγω τὴν ἐμεῖο· καὶ τὰς ὁμοίας· πάνυ δὴ λόγῳ. Πρῶτον καθὸ συνήθης πάλιν ἡ ἐν αὐταῖς διαστολή· εἵνεκ' ἐμεῖο κυνός, καὶ Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς. Καὶ τοῦτο δέ φημι· ὅτι κἂν μὴ μετὰ τοῦ ε λέγηται, οὐ πάντως ὀρθοτονηθήσεται· ἐπεὶ ἰδοὺ καὶ δίχα τοῦ ε· σέο δ' εἵνεκα αὐτή τε πόλεμός τε· πρόδηλον γὰρ κἀκ τοῦ σημαινομένου, καὶ ἕνεκα συνδέσμου καθὼς ἐπεδείξαμεν. Δεύτερον οὐκ ἄλλως ἄν τις πλεονασμὸν ἐπινοήσειεν, οὔτε ἔνδειαν· εἰ μὴ πρότερον ἡ φωνὴ ἀποδειχθείη ὁλόκληρος· ἵνα τὸ ἐγγινόμενον πάθος, τὸ ἕτερον ἐπιρρίψηται· λέγω τὴν ἔνδειαν ἢ τὸν πλεονασμόν· καὶ πιθανὸν εἰς τὸ τοιοῦτον παρατίθεσθαι· ὁ γὰρ λόγος προφανής· οὐ γὰρ ἂν πλεονασμὸς ἐγγενήσεται ἐν ἀντωνυμίαις· οὐκ αὐτῶν πρότερον ἐντελοῦς οὔσης· ἐντελὴς δὲ καθεστῶσα μόνως ὀρθοτονουμένη ἐστίν· ὑγιὲς ἄρα τὸ ἐγγινόμενον πάθος ὁμολογεῖ ὁλόκληρον τὸ ἀφ' οὗ ἐγένετο· ἦσαν δὲ ἐντελεῖς, αἱ σὺν τῷ ε λεγόμεναι· καὶ οὕτως αἱ πλεονάζουσαι μόνως ὀρθοτονοῦνται. Τρίτον τὸ μέγιστον μέγεθος τῶν ἐγκλιτικῶν τρίχρονόν ἐστι· πῶς οὖν ἡ ἐμεῖο ἐγκλιθήσεται· ἀλλ' οὐδ' ἡ σεῖο κἂν τρίχρονος ᾖ. Εἰ γὰρ αἱ ἐγκλιτικαὶ μόνιμοι, καταφορᾷ ἐπὶ τοὺς ἐλάττονας χρόνους, πῶς οὐχὶ αἱ πλεονάσασαι χρόνῳ ἀντωνυμίαι εἰς τὸ ἐναντίον τῆς ἐγκλίσεως μεταστήσονται· καὶ ὁ τοῦ ε δὲ πλεονασμὸς ἐν τῇ εε· εοι· καὶ ἔτι ἐν ταῖς συζυγίαις ἐγγινόμενος πολλῷ μᾶλλον ἐπισπᾶται τὴν ὀρθὴν τάσιν. εἰ γὰρ αἱ ἀπὸ τοῦ ε ἀρχόμεναι ἀντωνυμίαι,

ἡνίκα ἐγκλίνωνται, παραφθείρουσι τὸ ν, ὡς ἐν τῷ δός μοι· ἄκουσόν μου. πῶς αἱ τούτων πλεονάζουσαι, ἢ τὰ ἐναντία τῶν ἐγκλίσεως ἀπαιτήσουσι· καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἐδείξαμεν. Ἀλλὰ καὶ αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου μόνως ὀρθοτονοῦνται διὰ τὸν τόνον τῆς βαρείας. Γρονυθέτισται γὰρ τὰ ἐγκλιτικὰ μόρια, ἐπὶ τὸ πλεῖστον ἔχειν τὴν ὀξεῖαν, ἢ φύσει, ἢ δυνάμει· διὰ τὰ πλεοναζόμενα· ἵνα ἡ τοῦ τόνου ὑποστροφή, τὸ μὲν προκείμενον ὀξύνῃ· αὐτὸ δὲ μεταπίπτῃ εἰς βαρεῖαν τάσιν· ὅπερ ἐπὶ τῶν δυϊκῶν οὐκ ἠδύνατο ἐγγενέσθαι. Αἱ γοῦν κατὰ τὸ τρίτον πρόσωπον μόνως ἐγκλιτικαί, μόνως καὶ ὀξύνονται· ἤτοι σφωὲ καὶ σφωΐν· ἐπεὶ τίς ἡ αἰτία τοῦ μὴ βαρύνεσθαι αὐτάς· ὅθεν τὸ εἰμὶ καὶ φημὶ ὠξύνθη διὰ τὴν ἐποῦσαν αὐτοῖς ἔγκλισιν· καίτοι τῶν ῥημάτων καταφερομένων εἰς τὴν ἐπὶ τέλους βαρεῖαν.

Τὰ πύσματα τὰ οὐκ ἔστιν ἐγκλιτικὰ, διὰ τὸ βαρύνεσθαι· τὰ συμπαρακείμενα αὐτοῖς ἀόριστα. Ἐπεὶ μᾶλλον ἐν τῷ τέλει ἔχει τὴν ὀξεῖαν· οὐ τοῦτο δέ φημι· ὅτι τὰ ἀόριστα μόνως ἐγκλιτικά ἐστιν· ἀλλ' ὅτι τῶν τοιούτων μορίων ἐγκλιτικόν ἐστι, τοῦτο καὶ ἀόριστόν ἐστιν. Ὡς τὸ ἦλθέ τις· ἦλθέ ποτε· καὶ ἐντεῦθεν δείκνυται ὅτι τὸ τὶς ἀοριστούμενον, μᾶλλον ὀξύτονόν ἐστι. Πευστικὸν δὲ καθεστὼς τοῦ λόγου τῆς ἀρχούσης βαρύνεται. Ἔστι δὲ καὶ ἄλλα παραθέσθαι. Πρῶτον μὲν ὅτι καὶ ὁ ἐκεῖνος καὶ ὁ αὐτός, ἀνέγκλιτοί εἰσι διὰ τὸν αὐτὸν λόγον προστιθεμένου τοῦ ι· καὶ δεικτικαί εἰσιν· ὧν δὲ παρεπόμενον τοῖς ἐπιτεταμένοις κατὰ δεῖξιν τοῦ μὴ παραφθείρειν τοὺς τόνους· καθώς ἐστι τηρῆσαι ἐπὶ τῶν προκειμένων· ὁ παρακείμενος λόγος ἀναγκαίως ἀποδέδεικται, ὡς ἀναλόγως ἡ αὐτὸς ὠξύνθη· ἀπέωσται γὰρ τῆς δείξεως, καὶ ἡ μετάληψις τῶν κατὰ τὸ τρίτον πρόσωπον· οἷς παρηκολούθηκε καὶ τὸ ἐγκλίνεσθαι. Ἀλλὰ διατί ἐπὶ τῆς ὀνομαστικῆς οὐκ ἐγκλίνεται· σαφὲς ὅτι διὰ τὴν πτῶσιν· καθάπερ καὶ ἐγὼ καὶ σὺ καὶ σύζυγοι. Τί οὖν οὐχὶ ἐπὶ αἰτιατικῆς καὶ δοτικῆς φαινόμεναι; διὰ τὸ τετραχρονεῖν· ἀλλὰ καὶ ἐπὶ τῆς ἡμεῖς καὶ ἐπὶ τῶν τετραχρό-

νων τὰ τοῦ λόγου μάχεται. εἰ γὰρ καὶ τὴν τάσιν οὐκ ἀποβάλλουσιν. ἀλλ' αὐτὴν μετατιθέασι κατὰ τὸ ἄρχον μέρος. ὡς ἐν τῷ ἀκούσομεν. ὅπερ οὐ συνηκολούθει κἀπὶ τοῦ αὐτὸν ἢ αὐτοῦ· καὶ τὸ τοιοῦτον ἔχει ἀπολογίαν. ὡς γὰρ ὑποστολὴν τὴν τοῦ αἰολικοῦ τὰ τοῦ τόνου παρεπέμφθη. διὰ τοῦτο καὶ ἡ αἰτιατικὴ πτῶσις ἀπολυθεῖσα τῶν ἐμποδιζόντων λέγω δὴ ἐμπτώσεως τῶν χρόνων, ἀναγκαίως τὴν ἔγκλισιν παρεδέξατο. παραπεμπτέον γὰρ ἐκεῖνο ὅτι τὸν χρονικὸν λόγον· καὶ καθὸ αἱ γένους παρεμφατικαὶ ἀνέγκλιτοί εἰσι, καὶ διὰ τοῦτο οὐκ ἐγκλίνεται ἡ αὐτός. Γένος δὲ οὐκ ἐπίσταται ἡ ἔγκλισις. οὐ δὲ ἄλλο τι παρεπομένων. ὅπου γε καὶ ἐν συνδέσμοις καὶ ῥήμασι καὶ ἔτι ἐν ἐπιρρήμασιν ἐγκλιτικὰ γίνεται. καὶ ἐν ζητήσει τὸ τίς. Εἴρηται οὖν διατί ἡ ἐκεῖνος καὶ ἡ οὗτος οὐκ ἐνεκλίθησαν. Ἀλλ' οὐδ' ὅτι ἄρθρα εἰς σύνταξιν ἀντωνυμίας παραλαμβάνεται, ἔγκλισιν ἀναδέχεται. οὐ καθὸ γένους εἰσὶ παρεμφατικά· ἀλλὰ καθὸ ἄρθρα ὄντα τῇ φύσει, ἀδυνατεῖ εἰς ἔγκλισιν παραλαμβάνεσθαι. τὸ ποιὸν γὰρ ἐπέχει ἐναντίον τῇ ἐγκλίσει· λέγω τὴν προτακτικήν. ἐπεὶ δόξει μὴ ἐμποδίζεσθαι τὰ τῆς ἐγκλίσεως. ἦν γὰρ καὶ αὐτὰ προτακτικά. τῶν μὲν διαφορὰν ἐπιστρέφονται εἰς τὰ προκείμενα. ἐν ἀρχῇ δὲ λόγου παραλαμβανόμενα εἰς σύνταξιν ῥηματικήν. ὃς μάλα πολλὰ πλάγχθη. ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε. Τῆς γινομένης συντάξεως ἐπιμαρτυρούσης τῇ ἀρκτικῇ συντάξει τῶν ἄρθρων. ὀρθοτονοῦνται γὰρ ὅσαι συντάσσονται τῇ αὐτὸς ἐπιταγματικῇ. Ἤ ἔστι μερμιδύνεασι τιφάσκειν ἢ ἐμοὶ αὐτῷ· σοὶ δ' αὐτῷ· σεῦ αὐτοῦ. οὐδέ μοι αὐτῷ θυμὸς ἐνὶ στήθεσσι σιδήρεος. Τά γε μὴν τοῦ τρίτου οὐκ ἐξωμάλισται. καθότι οὐ δεόντως ὁ λόγος παρεδείχθη τὸ κατὰ τὸ τρίτον πρόσωπον ὀρθοτονηθείσας πάντως μεταλαμβάνεσθαι εἰς συνθέτους. οἷς γὰρ οὐκ ἔστι ψιλὴ ὑπόληψις καὶ οὐχὶ ἐξωμαλίσθη καὶ ὡς τόνε ἐναλλαγὴ αἰτία γίνεται συνθέτου μεταλήψεως εἴρηται κατὰ τὴν τάξιν. ἐντεῦθεν οὖν ἐνεκλίθη. ἀλλὰ οἱ αὐτῷ ζῶν ὀλέσσει βίον. Τὰ δ' οὖν τοῖς πρώτοις καὶ δευτέροις γινόμενα, οὐ πάντως καὶ ἐν τρί-

τοις. εἰσὶ γοῦν πρώτου καὶ δευτέρου προσώπου δηλαδὴ ὀρθῆς πτώσεως οὐ μὴν τρίτου. εἰ καὶ φαίνεται ὅτι εἰς τὸ τοῦτο κἀκεῖνο ἂν προσηκά-στερ· ὡς ἡ ἐκεῖνός ἐστιν ἐν τρίτοις· οὐ μὴν σύζυγοι ταύτης τὸ πρῶτον καὶ δεύτερον· ἡ αὐτός· ἡ ἐγώ· ἡ ἡμεῖς. Καὶ ὅσαι μὲν ὀρθοτονοῦνται ἐν πρώτῳ καὶ δευτέρῳ δηλαδή· αἱ δὲ κατὰ τὸ τρίτον μόνως ἐγκλιτικαί. Καὶ κτητικαί εἰσι πρώτου καὶ δευτέρου δηλαδή· οὐ μὴν τρίτου.

Φασὶ δέ που κἀκεῖνο· ὡς κατὰ τύχην τινὰ ἡ χρῆσις παρεώρατο· καὶ οὐδὲν ἐμποδὼν ταὐτὸ παρηκολουθηκέναι ταῖς συνθέταις ἀντωνυμίαις.

ιθ΄ ΠΟΙΩ Λόγῳ Ἀρίσταρχος τὰς κατὰ τὸ τρίτον συνθέτους πληθυντικὰς ἀλόγους ἡγεῖται.

Ὑπέρ γε μὴν τοῦ Ἀριστάρχου ἐστὶ φάναι, ὡς οὐ συνεῖδε τὸ πρὸς αὐτοῦ εἰρημένον· οὐ γὰρ ἐν ἀγνοίᾳ ἦν τοῦ ἑνδέκατοι· οὐδ᾽ ὅτι ἀπὸ ἑνικῆς συνθέσεως πληθυντικὴ παρέμφασις γίνεται. Ἔστι γὰρ ἐπινοῆσαι τὸ πρὸς αὐτοῦ διαπορηθὲν οὕτως· εἴπερ ἐκ δύο ἑνικῶν συνίσταται τὸ ἑαυτόν, καὶ δύο ἑνικὰ ἐπὶ ἓν πρόσωπον συντείνει, διάθεσιν δηλοῦν τὴν ἐξ ἑαυτοῦ εἰς ἑαυτόν· πῶς ἐκ τοῦ τοιούτου, πληθυντικὴ παρέμφασις ἂν γένοιτο· τῶν μὲν κατ᾽ ἀρχὴν συνθέσεως, ἑνικὸν ἀριθμὸν ὑπαγορευουσῶν, τῶν δὲ κατὰ τὸ τέλος πληθυντικόν. οὐ γάρ ἐστιν ὅμοιον τῷ ἑνδέκατος· καὶ ἑνδέκατοι. δύο γὰρ ὑποκειμένων παρέμπτωσίς ἐστι· μετὰ γὰρ δέκα, εἷς· οὕτως ἔχει καὶ τὸ ἑνδέκατοι· πάλιν γὰρ μετὰ δέκα ἢ πλείους ὑπὸ τάξιν τὴν τοῦ δέκα ἀριθμούμενοι, μετέχουσι τοῦ καλεῖσθαι ἑνδέκατοι. Ἀλλὰ φήσει τις πῶς τοῦ ἑνὸς ἐγκειμένου ἡ ἔμφασις, ἕτερον πληθυντικὸν γίνεται. πρόσκειται οὖν ὅτι τάξεως ὀνόματά ἐστιν· ἄλλως τε αἱ δύο προσώπων ἐμφατικαὶ συνθέσεις, καὶ ἐξ ἑνικῆς συνθέσεως πλῆθος ὑπαγορεύουσι· καὶ ἐκ πληθυντικῶν ἓν παρεμφαίνουσι· τὸ γὰρ Φιλάνθρωπος ἑνικοῦ συντεθέν, πλῆθος ὑπαγορεύει· καὶ ἐκ τῶν ἐναντίων πληθυντικοῦ λεγόμενον τὸ Φιλοπλάτωνες, ἕνα τὸν Πλάτωνα σημαίνει. οὐδὲν οὖν παρηλλαγμένον εἰ τὸ ἑνδέκατοι ἐξ ἑνικῆς συνθέσεως πλεῖόν τι παραστήσαι. διάφορα γὰρ τὰ πρόσωπα· ὅπερ οὐκ ἐνεχώρει ἐπὶ τῶν ἑαυτόν, ὡς εἴπομεν ἓν καὶ τὸ αὐτὸ πρόσωπον. Πῶς δὲ οὐχὶ

F ζ IIII

εὔηθες φάναι ἔλλειψιν κατὰ τύχην γεγενῆσθαι τοῦ τρίτου προσώπου
κατὰ τὴν εὐθεῖαν πτῶσιν· λέγω τοῦ δυϊκοῦ ἀριθμοῦ· φυσικώτερον δὲ ἡ ἀν-
τωνυμία ἀπέστη· εἴ γε οὐδέτερος τὸν τόνον αὐτοῦ παρεδέχετο· οὔ-
τε γὰρ ὀρθοτονούμενος, ὅτι τοῦ τρίτου προσώπου δυϊκαί, αἷς πα-
ρέπεται τὸ μόνως ἐγκλίνεσθαι· οὔτε ὁ ἐγκλιτικός· εἴ γε ἀδύνατον
εὐθείας πτώσεως ἐγκλιτικὴν εὑρίσκεσθαι τὴν ἀντωνυμίαν.
Ἡ γοῦν ὑπαχθεῖσα πρὸς δωριέων, ἅμα τῷ ἐγκλιθῆναι, παρεῖσα τὴν
οὐ δυναμένην ἐγκλιθῆναι πτῶσιν, μετέπεσεν εἰς τὴν συγγενῆ αἰ-
τιατικήν· κτητική γε μὴν τρίτου προσώπου δυϊκὴ οὐκ ἐγένετο·
οὐ χεῖρον τινες ᾠήθησαν, ὅτι οὐδὲ τρίτου προσώπου δυϊκὴ ἐστὶ γενικῆς
πτώσεως, ἀφ' ἧς ἔδει παρῆχθαι τὴν κτητικήν· ἀλλ' αἱ παρειλημ-
μέναι δοτικαί εἰσιν ἀντὶ γενικῆς· ὅτι δὲ ἕνεκα τοῦ σημαινομένου ἢ ἕνεκα
τῆς φωνῆς· ἡμῖν δὲ ἤρκεσεν ὅτι ... κτητικόν· καθότι ἐπεδείξαμεν ὅτι ὀρ-
θοτονουμένων τὰς παραγωγὰς γίνεσθαι· ἀλλὰ μὴν καὶ ἐν τοῖς προ-
ειρημένοις εἴρηται, ὡς δεόντως πλείονες ἐκ τρίτων προσώπων ἐγέ-
νοντο αἱ ἀντωνυμίαι· πῶς δ' οὖν οὐκ ἐθήσετο τὸ ἔλαττον ὑπὸ τοῦ πλείο-
νος διελέγχεσθαι, οὐ μόνον ἐν παραθέσει τῶν λέξεων, ἀλλὰ καὶ ὅτι ἡ
συμπεφωνημένη κατὰ πᾶσιν ἱστορία, τὴν παρημελημένην πρός
τινος οὐ προσίεται· καὶ σχεδὸν ἐπὶ ἁπάντων τὸ τοιοῦτον συμφω-
νεῖ.      Οὐ δή τὰ κατὰ τύχην πλείονα σχήματα δύναται συνεσι-
γῆσθαι τῶν ὄντων.      Ὡς γὰρ πρόκειται ἐκ τῶν ἐναντίων δύνα-
ται· ἀλλ' οὖν δεῖ παρακολουθεῖν τὰ ὁπωσδήποτε ἐκλείποντα.
Γυνὴς γοῦν οὐ φαμὲν καὶ οὐ πάντα τὰ τοιαῦτα συνεκλείπει· ἀλ-
λ' οὐδὲ ὁ μεγάλος· καὶ οὐ πάντα τὰ εἰς ος λήγοντα συνεξέλιπεν·
πρὸς οἷς ἀντὶ τούτων, ἑτέρα θέσις ἐστὶν ἰσοδυναμοῦσα, ἡ γυναι-
κὸς ἀντὶ τοῦ γυνῆς· ὁ μέγας ἀντὶ τοῦ μεγάλος· τὸ ὕδωρ ἀντὶ
τοῦ ὕδας· πῶς οὖν ἡ ἐμαυτοῦ καὶ ἑξῆς μετὰ τῶν συνόντων προσώπων, ὡς
ὀξυτόνημα τοῦ ἀπηώθησε ἐστὶ τοῦ κοινοῦ ἔθους καὶ τοῦ κατὰ πάντων· οἷς προσ-
φιλὲς μᾶλλον μεταδιώκειν τὸ παρημελημένον αὐτοῦ συνήθους χρήσεως.
Δίδοται δ' οὖν ἐστὶν ἐν ἀντωνυμίαις σφεὰς αὐτούς· καὶ ἐμίν· καὶ ἄλλα πλεῖστα.
Λείπεται γοῦν ἐκεῖνο προσδιασαφῆσαι· εἴπερ τὸ σφεὰς αὐτοὺς ἀνάλο

γώτερον τοῦ ἑαυτοῦ, τί δή ποτε καὶ εἰ ἐν ἐλάττονι λόγῳ, τὸ ἑαυτοῦ τετόλμηται κατὰ τὸ τρίτον πρόσωπον ἐγγίνεσθαι, μὴ καὶ κατὰ τὸ αὐτὸ ἀκόλουθον καὶ ἐν τῷ ἡμέας αὐτοὺς συνεχώρησε. καὶ ἐὰν πάλιν ἐν ἐλάττονι λόγῳ καταγίνεται τὸ ἐμαυτοῦ, ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ δευτέρου προσώπου· ἐπεὶ δέδεικται ἐν τοῖς προκειμένοις ὡς ἐπενοήθησαν αἱ σύνθετοι ἀντωνυμίαι, εἰς τὸ μὴ παραδέξασθαι διαφόρου προσώπου σύνταξιν τῶν ἁπλῶν συντασσομένων διαφόροις προσώποις:~

ΤΙΣ ἀφορμὴ τοῦ ἐν πληθυντικοῖς γεγενῆσθαι, οὐ μὴν ἐν ἑνι-
κ΄. κῷ καὶ δυϊκῷ· καὶ διὰ τί ἐκ πληθυντικῶν πληθυντικαὶ συνθέσεις οὐκ ἐγένοντο.

Ἦν δὲ κἀκεῖνο ἀληθές· ὡς ἅπαν πληθυντικὸν πρώτου προσώπου καὶ δευτέρου καὶ τρίτου, σύλληψιν ἀναδέχεται διαφόρων προσώπων· ἢ πρώτου καὶ δευτέρου· ἢ πρώτου καὶ τρίτου· ἢ δευτέρου καὶ τρίτου· τὸ γὰρ ἡμᾶς τοιοῦτόν ἐστιν, ἐμὲ καὶ σὲ καὶ ἐκεῖνον· ἢ ἐμὲ καὶ ὑμᾶς· ἢ ἐμὲ καὶ αὐτούς· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ δευτέρου· πάλιν γὰρ τὸ ὑμᾶς, σὲ καὶ αὐτούς ἐστι.

Πῶς οὖν ἡ ἐμαυτοῦ ἀντωνυμία καὶ αἱ σύζυγοι ἐπιδέξονται ἀριθμὸν μαχόμενον τῷ ἰδιώματι τῆς συνθέσεως· καθὸ διάφορα πρόσωπα νοηθήσεται· ἐκ συλλήψεως γινόμενα πρώτου καὶ τρίτου ἢ δευτέρου καὶ τρίτου· τό γε μὴν τρίτον πρόσωπον ἀπεωσμένον τῆς προειρημένης τηρήσεως, λέγω τῶν διαφόρων προσώπων, οὐκ ἀνέφικτον ἔχει τὴν εἰς πληθυντικὸν μετάθεσιν· ἦν γὰρ ἐκ τῶν αὐτῶν προσώπων συνεστηκός. Φαίνεται δὲ ὅτι καὶ κατὰ τὸν προειρημένον λόγον οὐκ ἀπορήσει τις δι' ἣν αἰτίαν ἐκ πληθυντικῶν πληθυντικαὶ συνθέσεις οὐκ ἐγένοντο, ἐκ γὰρ τῶν ἁπλῶν πληθυντικῶν ἀντωνυμιῶν ἐστιν ἐπινοῆσαι μαχόμενον ὡς πρὸς τὴν σύνθετον ἀντωνυμίαν. εἴπομεν γὰρ ὅτι ἐπιμιξίαι διαφόρων προσώπων εἰσὶν ἐν πληθυντικοῖς· περισσὸν οὖν τὸ, τὰς πληθυντικὰς ἀντωνυμίας συντίθεσθαι. ὅπου γε καὶ αἱ ἑνικαὶ ἀντωνυμίαι συντιθεῖσαι, παρέμειναν τῷ ἑνικῷ ἀριθμῷ· ἀλλ' οὐδὲ τὸ σφέας αὐτοὺς καὶ τὰ τοιαῦτα, οὐκ ὄντα ἐκ διαφόρων προσώπων συνετέθη· καθὸ τὸ ἐσόμενον ἐξ αὐτῶν, ἀχρεῖον

ἡ προσληφθεῖσα πληθυντικὴ προφορὰ περιέγραψεν, εἰς ἣν μεταλαμβανομένη. σφεῖς αὐτοὺς ἀπετύψαντες· ἑαυτοὺς ἐβασανίσαντες· καί.

Ὅτι οὐκ ὀρθῶς ἀπὸ πληθυντικῆς ἀντωνυμίας ἐθνικὴ παραγωγὴ ἐγένετο, ἐπὶ τοῦ ἡμεδαπὸς καὶ ὑμεδαπός.

Ἐπεὶ οὖν ἐδείχθησαν αἱ σύνθετοι πληθυντικαὶ ἀντωνυμίαι κατὰ τὸ προειρημένον τὸ ῥῆμα, φέρε καὶ εἰς ἐντέλειαν τοῦ λόγου περὶ τοῦ ἡμεδαπὸς καὶ ὑμεδαπὸς διαλάβωμεν. ἐπεί τινες οὐ γὰρ κατὰ τὸν λόγον ἐνδοιάζουσιν ὡς παρὰ τὸ ἡμῶν καὶ τὸ ἔδαφος τὰ τῆς συνθέσεως ἀπετελέσθη· οἷς ἄν τις συνηγορήσῃ μαρτυρόμενος καὶ τὸν ἀπὸ τῆς φωνῆς λόγον, καὶ τὸν ἀπὸ τοῦ δηλουμένου. ἔστι παντὶ συνθέτῳ τὸ τοιοῦτον παρακολουθεῖ· ἐν γὰρ τῷ μισογύνης, καὶ τὸ μισεῖν ἐγκεῖται, καὶ ἡ γυνή· καὶ ἐν τῷ φιλόπονος, τὸ φιλεῖν καὶ ὁ πόνος· οὐ γὰρ τὰ ἐν μιᾷ λέξει ἁπλῇ πλείονα σημαίνοντα, σύνθετα· ὡς ἐπὶ τοῦ τοξότης· σκυλὰξ κἂν ἐνέργειαν σημαίνῃ τὴν τοῦ τέμνειν, εἰ μὴ καὶ τὴν φωνὴν προσλάβοι ἐν τῷ σκυτοτόμος. Ἐντεῦθεν τὸ Ἀρίσταρχος καὶ τὰ τούτων ὅμοια, κύρια ὄντα, πρὸς ἐνίων οὐ κατηριθμεῖτο εἰς τὰ σύνθετα, ὅτι μὴ καὶ τοῖς δηλουμένοις ἐνείχετο. ἀλλ' ἐπεί γε τούτων ἐδείκνυτο ὡς ἡ πρώτη σύνθεσις, ἐπεκράτει καθὼς ἔχει τὸ, Ἀριστάρχου ζᾶο παρὰ τοῖς περὶ Βακχυλίδην. ἢ οὐ καὶ ἐξ ὑστέρου γενομένη συμβολικὴ μετάθεσις. ἐγκειμένων οὖν καὶ τῶν φωνῶν καὶ τῶν σημαινομένων, ἀκώλυτον τὸ φάναι σύνθετα τὰ χρήματα. ἀλλ' ἔδει φησὶν αὐτὰ βαρύνεσθαι καθὼς ἔχει τὸ ἄξιφος· ὕπειχος· τὸ γε τοιοῦτον διὰ συνεχοῦς εἴδους καὶ ἐκ τῶν ἄλλων συνθέσεων διάφοροι τόνοι ἐγένοντο· ὀξύνεται τὸ ἐντελής. εὐειδής· ἀλλ' οὐκέτι τὸ αἱμήκης· μισαλλήτης· καθὸ τὸ η ἔχει παρεδρευόμενον. τί οὖν ἐμποδίζει τὸ φάναι, τὰ παρὰ τὸ ἔδαφος συντιθέμενα ὀξύνεσθαι, καθὸ καὶ τὰ παρὰ τὸ ἔργον· ἐν τῷ κακοῦργος ὑπουργὸς, εἰ μὴ τὰ ῥήματα προϋπέστη· λέγω τὸ ὑπουργῶ καὶ τὰ ὅμοια. αἰγιαλοὶ μὲν φασὶν αὐτὰ ἔθνη εἶναι· πρὸς ὃ οὐδὲ πάλιν φατέον· ὡς ἅπαξ εἰσάγονται ἡ ὀξεῖα τάσις συνδεθῆναι καὶ ἡ τῶν γενῶν παραλλαγή. ἔστι τὰ κοινὰ καὶ ἐν βαρείᾳ τάσει· κακόπαστος· δύσερις· κακόπαθος· εἴη δ' ἂν καὶ τὰ τῆς ἀνασκευῆς ἀκριβέστερα. εἰ δέ τις ἀπο-

φαίνοιτο, ὡς οὐδέποτε ἀντωνυμία πρώτου ἢ δευτέρου προσώπου συντίθεται μετὰ ἄλλου μέρους λόγου. καὶ ὡς οὐδέποτε πληθυντικὴ ἀντωνυμία συντίθεται. παράγονται γὰρ μᾶλλον αἱ ἀντωνυμίαι ἤπερ συντίθενται μετὰ ἄλλων μέρους λόγου. καθάπερ παρὰ τοῦ ἐμοῦ ἐμός. νῶϊν νωΐτερος. ἡμῶν ἡμέτερος. εἰ γὰρ δοθείη τὰ τῆς συνθέσεως, οὐ συστήσεται οὔτε ἐν ἀντωνυμίαις τὰ σχήματα, οὔτε ἐν ὀνόμασιν. εἰ γὰρ ἐν ταῖς συνθέσεσι τὰ τέλη ἐπικρατεῖ. εἴγε τὸ, μισάνθρωπος ὄνομα, κἂν τὸ μισεῖν ῥῆμα ἐνυπάρχῃ, καὶ τὸ εὐσεβῶ ῥῆμα κἂν τὸ εὖ ἐπίρρημα ἔχηται. ὁμοίως καὶ τὸ χειρογραφῶ κἂν ἡ χεὶρ συνυπάρχῃ. καὶ ἡνίκα τὸ τοιοῦτον τῶν μερῶν λόγου ἐστὶν ἐπινοῆσαι τὸ αὐτὸ καὶ ἁπλοῦν καὶ σύνθετον. λέγω τὸ δυνάμενον συντεθῆναι. οὐ μὴν τὴν πρόθεσιν. καίτοι ἀπειράκις τοῦ μορίου συντιθεμένου. καθὸ ἡ σύνθεσις ἀπαιτοῦντι αὐτῆς ἐν ἀρχῇ ἐστὶν ἡ δὲ ἀρχὴ οὐκ ἐπικρατεῖ. εἰ δὴ τοῦτο ἀληθές, πῶς ὄνομα τὸ ἡμεδαπός, εἴγε ἔδαφος ἔσχηται. ἀλλὰ πῶς ὄνομα, τὸ ἀπὸ τοῦ ὀνόματος παραλαμβανόμενον. πῶς ὄνομα, ὡρισμένου προσώπου διάκρισιν ποιεῖται. φαμὲν γὰρ ἡμεδαπός. καὶ ὑμεδαπός ἑαυτούς τε ἀντωνομάζοντες. καὶ πρὸς οὓς ἡ ἀπόστασις. ἀλλ' εἰ φήσειέ τις καὶ αἱ παραγωγαὶ οὐκ ἐπικρατοῦσιν. εἴγε παρὰ τὸ ὀψὲ ὀψινὸς οὐκ ἐπίρρημα. καὶ παρὰ τὸ ποιῶ ῥῆμα, ὄνομα, τὸ ποιητής. οὕτως εἰ παράγοιτο τὸ ἡμεδαπός, δοθείη ἂν τὸ πᾶν ὄνομα εἶναι. πρὸς ὃν φήσομεν τὸ ὄψιμος, ἀπέστησε τὸ ἐπίρρημα, τὴν θέσιν τοῦ γένος ἐπιδεξάμενον. ἐπιθετικοῦ ὀνόματος φερόμενον. ὃ οὐκ ἔστιν ἐπίρρημα. εἴγε διαφέρει τὸ ὀψὲ ἦλθε, τοῦ ὀψινὸς ὁ Διονύσιος ἦλθεν. εἴγε τὸ, πηλίκος οὐκ ἐν ἀκολουθίᾳ ἐνέργειαν καὶ τὸ πάθος ἔχει. οὐ προσώπου διάκρισιν. οὐ χρόνου μετασχηματισμόν. τὸ μέντοι ἡμεδαπὸς ἐπεὶ ἀπὸ ὀνόματός ἐστιν, ἔτι τὰ πρόσωπα διακρίνει. οὐκ ἀπέστη ὄντος ἰδιώματος. οὗ ἕνεκα λέγου, τὸ δὲ τὸ ὄνομα σίας συναποστήσεται. τῷ λόγῳ καὶ τὸ ἡμέτερος μένει ἔτι ἀντωνυμία, καὶ εἰ κατὰ τὸ τέλος παραγωγῆς ὀνοματικῆς καθέστηκε. ἅπαντα δὲ πάλιν διασώζει τὰ τῆς ἀντωνυμίας, τοῦ τοιούτου ἀποδειχθέντος, καὶ τὰ προειρημένα συλλήψεται τῷ λόγῳ. οὐ μὴν συνεκτι-

καὶ γενήσεται· καθὼς πρόκειται, ἔτι καὶ διὰ τῆς γραφῆς ὁμολογούσης τῷ μὴ ἔχειν τὸ ἔδαφος· ψιλωθὲν οὕτως ἂν ὑπὸ λείψεως ἐγένετο ἐκ τῆς τῶν παραγωγῶν ὁμοίως καθίστασθαι τῇ τοῦ ἐδάφους φωνῇ· καθότι ἐνίας πλεοναζούσας τοιαύτας λέξεις· εἴ γε τὸ χαλκήρης, τὸ ἀρηρέναι ἔχει· ὁμοίως δ' ἐστὶ τὸ φανίας· καὶ ἀρχαῖος· καὶ σοφίας· τὸ μὲν ἔχει τὸ τηρεῖν τὸ μελιτηρὸν ἀγγεῖον· ἀπὸ γενικῆς τῆς μέλιτος, ὡς δέρματος δερματηρός· καὶ μάτου καὶ ματηρός· ὁ λίθος ὁ λιθηρός· ἔστιν εἰς τὸ τοιοῦτον πάμπολλα παραθέσθαι· ὃν τρόπον ἄλλαι παραγωγαὶ λέξεις σημαινόμεναι ἀποτελοῦσιν, εἰς ἣν ἂν μεταλαμβάνονται· κρονίδης γὰρ ὁ κρόνου υἱός· καὶ γεραίτερος, ὁ μᾶλλόν τινος γεραιός· καὶ ἐν ἐπιρρήμασιν, οἴκοθεν ἐν οἴκῳ, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ἡμεδαπὸς ἔχει συμπεριέχουσαν τὴν μετάληψιν τοῦ ὀνόματος. Χρὴ μέντοι κἀκεῖνο ἐπιστῆσαι, δι' ἣν αἰτίαν ἀπὸ μόνων πληθυντικῶν ἡ παραγωγὴ ἐγένετο τῶν κτητικῶν ἀντωνυμιῶν, καθ' ἕκαστον ἀριθμὸν παρεσχημένων· καὶ διότι μέχρι δυϊκῶν ἡ παραγωγὴ οὐκ ἐνέτεινεν· ἀπό τε γὰρ τοῦ σφωιδαπὸς τὸ ἀλλοδαπὸς παρήχθη· καὶ οὐ τολμῶ τοῦτο φάναι, ὡς τὸ ἄλλος ἀντωνυμία ἐστίν· ὅπου γε καὶ μάχεται τῇ ἐννοίᾳ τῶν ἀντωνυμιῶν· ἀφορίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὸ τοῦ ἄλλος ἀναιρεῖ μὴ ἀοριστοῦνται· ἄλλος οὐκ ἐγώ· ἄλλος οὐ σύ. πρὸς μὲν τὸ πρότερον ἔστι φάναι, ὡς μᾶλλον ἀφέλκετον ἦν, ἐξ ἐθνικῶν ἢ δυϊκῶν ἐθνικὴν παραγωγὴν γενέσθαι· οὐ γὰρ δή τις ἐπινοήσει ἔθνος ἐπὶ τῶν ἀνθρώπων ἢ δυσίν· ἐν μέντοι ἀπείροις, οἷον ὁ φάμενος οὗτος ἡμεδαπός ἐστι, συλλαμβάνει ἑαυτόν τε καὶ τοὺς σὺν αὐτῷ πολίτας. Τὸ εἰ μὴν ἐμὸς ἡμέτερος φερόμενα ἐπὶ τὰ πάντα τὰ δυνάμενα ὑπὸ κτῆσιν πίπτειν, ἀδιάφορον ἔχει τὸ ἀπὸ παντὸς ἀριθμοῦ τὴν παραγωγὴν ἀναδέξασθαι. Διὸ τὸ μὲν ἡμέτερος ὑπακούεται τὸ πολίτας· οὐ μὴν τὸ ἡμεδαπός. Ἔτι γὰρ τὸ τοιοῦτον ἡ παραγωγὴ ἐμόνασεν· ὑπὲρ δὲ τοῦ τὴν ἐν τῷ τρίτῳ προσώπῳ μὴ παραδέχεσθαι, ῥηθήσεται τίς αἴτιον τὸ ἀσύνηθες τῆς ἀντωνυμίας· ὅπερ οὐ πιθανόν· ἔστιν οὖν καὶ τὸ σφετερίζεσθαι παρηγμένον ἀπὸ ἀσυνήθους τῆς σφέ. καὶ ἔτι τὸ μὲν μᾶλλον ἀσυνήθης οἷς πρὸς

τὴν ὀνομασίαν τὴν τοῦ προβάτου· οὐ μὴν τὸ ἀπ' αὐτοῦ παράγωγον· λέγω τὸ μηλωτή. καὶ ἔτι τὸ δέρκεσθαι· οὐ μὴν τὸ δορκὰς. ἢ ζῷ θηρίον τὸ ὀξυδορκεῖν· φαίνεται γὰρ ὅτι φυσικώτερόν πως τὰ τῆς ἐλλήψεως ἐγένετο· ὧν γὰρ πρόσωπον ἐγγενομένων κατὰ τὴν παραγωγὴν τῶν κατὰ τὸ πρῶτον καὶ δεύτερον, οὐκ ἐξακολουθήσει τὸ, πάντως καὶ τὸ τρίτον τὴν παραγωγὴν γενέσθαι. καὶ δῆλον ὅτι αἰτίας ὑπούσης, ὁμόλογόν ἐστιν ὡς τὰ πρῶτα καὶ δεύτερα ἑνικὴν σύλληψιν εἰς ἑαυτὰ ποιεῖται τῶν κατὰ τὸ τρίτον διαφόρων προσώπων· ὁ γὰρ λέγων ἡμᾶς· ἑαυτὸν λέγει καὶ τὰ συνόντα ἔξωθεν αὐτῷ πρόσωπα· καὶ ἀποτεινόμενός τις ἐρεῖ πρὸς ὑμᾶς· συλλαμβάνων πάλιν καὶ τὸ παρὸν πρόσωπον καὶ τὰ ἀπόντα. Ἀπὸ δὴ τούτων ἐθνικὴ παραγωγὴ γινομένη, τῇ ἐπικρατείᾳ τῶν ἐγκειμένων ἑνικῶν κατὰ τὸ πρῶτον καὶ δεύτερον, ἓν καὶ τὸ αὐτὸ ἔθνος παραστήσει:~

κβ′. ὍΤΙ ἀναγκαίως ἡ κατὰ τὸ τρίτον παραγωγὴ ἐσιγήθη.

Τό γε μὴν τρίτον ἐκ πλειόνων τρίτων νοούμενον, οὐ ποιήσεται ἐθνικὴν παραγωγήν· δηλώσει γὰρ οὐχ ἓν ἔθνος· ἀλλὰ πάντα τὰ ἐμπεριλαμβάνεσθαι δυνάμενα, κατὰ τὸ τρίτον πληθυντικά. οὐ γὰρ ὡς ἔφαμεν ἐξ ἑνικῆς ἐπικρατείας τρίτον ἐστὶν, ἵν' οὕτω καὶ ἐθνικὴ παράστασις μία νοηθῇ, ὡς ἐπὶ τοῦ ἡμεδαπός. ἄλλως τε ἐγχωρούντων τῶν ἐθνικῶν ὀνομάτων κατὰ τὸ τρίτον παραλαμβάνεσθαι, τὰ τοῦ ἐπιμερισμοῦ τῶν ἐθνικῶν γίνεται· ὅτι φαμὲν περγαμηνός. ἐδεσσηνός. Ἀλεξανδρεύς· ὅπερ οὐκ ἐγχωρεῖ ἐπὶ πρώτης καὶ δευτέρας λέγω τὰ ὀνόματα παραλαμβάνεσθαι. εἰ γοῦν Ἀθηναῖος ἀφορῶν εἰς Ἀθηναῖον εἴποι, ὁ δὲ Ἀθηναίων πολίτης ἐστὶν, ἑαυτὸν ἀποστήσει τοῦ ἔθνους, καθὸ οὐ συνείληπται τοῖς Ἀθηναίοις· συλλαμβανόμενος δὲ ἐν πρώτῳ γενήσεται προσώπῳ. ὃ παραλαμβανόμενον ὄνομα, μὴ οὐ δύναται εἶναι· ἀντωνυμία δέ. σαφὲς ὅτι ἀντωνομάσει ἑαυτόν· καὶ εἰ τὸ πρῶτον ἐπικρατεῖ τῶν διαφόρων προσώπων οὐκ ἄλλο τι ἐπιγενήσεται, ἢ τὸ ἡμεδαπός. ὅπερ τὴν ἀνάλυσιν ἔχει, εἰς τὸ ἡμῶν πολίτης. καθότι καὶ τὸ Κρονίδης, εἰς τὸ τοῦ Κρόνου υἱός· καὶ τὰ τούτοις ὅμοια. Ὁ αὐτὸς λόγος κἀπὶ

τοῦ δευτέρου προσώπου. Ἐπεὶ γὰρ ξένου γινωσκόμενα, μὲν τὰ ἔθνη, παραληφθήσεται αὐτοῖς τοῖς ὀνόμασι καθὼς ἔφαμεν· οὐ μέντοι γινωσκόμενα παραγωγὴν ἀναδέξεται ἐξ ὀνόματος τοῦ ἀναιροῦντος τὰς θέσεις τῶν ὀνομάτων λέγω τὸ ἄλλος. Τὸ γὰρ ἀλλοδαπὸς ἀποφάσκει τό, οὐχ ἡμεδαπός ἐστιν ὃ χὼ ἡμεδαπός, οὐκ Ἀθηναίων πολίτης. Καρῦδέμα λόγον ἄρα τοῖς ἀντωνυμικοῖς συζυγεῖ τὸ ἡμεδαπὸς καὶ ὑμεδαπός. κατὰ διαίρεσιν τῶν προειρημένων ἐθνῶν.

## ἈΠΟΛΛΩΝΊΟΥ ΠΕΡῚ ΣΥΝΤΆΞΕΩΣ ἈΝΤΩΝΥΜΙΩ͂Ν ΚΑῚ ΛΟΙΠΩ͂Ν ΜΕΡΩ͂Ν ΤΟΥ͂ ΛΌΓΟΥ. ΒΙΒΛΊΟΝ ΤΡΊΤΟΝ.

### ΤΆΔ' ἘΝΕΣΤΙΝ ἘΝ ΤΩ͂Ι ΤΡΊΤΩΙ ΒΙΒΛΊΩΙ

α΄. Ἕνεκεν τίνος αἱ τοῦ τρίτου προσώπου ἀντωνυμίαι καὶ τοῖς ἄλλοις προσώποις συντασσόμεναι κατάλληλον λόγον ποιοῦσιν.

β΄. Εἰ δεόντως ἡ αὐτὸς ἐπιταγματικὴ εἴρηται.

γ΄. Τί τὸ ποιοῦν ἐστι τὸ ἀκατάλληλον.

δ΄. Ὅτι οὐκ ἐν μιᾷ λέξει ὥς τινες ᾠήθησαν ὁ σολοικισμός· ἐν δὲ ἐπιπλοκῇ καθὼς ἡ κοινὴ δόξα ἔχει.

ε΄. Ὅτι τὸ ὧν δέκατος ἐάν τι σύνθετον ἦ ἐάν τι παρασύνθετον, ὑγιῶς συντίθη.

ϛ΄. Περὶ τῶν ἐν ἑκάστῳ μέρει λόγου παρυφισταμένης ἀκαταλληλίας.

ζ΄. Ὅτι τὰ συμπίπτοντα μόρια τοῦ λόγου τῇ συνεμπτώσει βοηθεῖται μὴ εἶναι ἀκατάλληλα.

η΄. Ὅτι ἡ σὺ μᾶλλον εὐθείας ἐστὶν ἢ κλητικῆς ὡς οἴεται Τρύφων.

θʹ. Περὶ κλητικῶν τῶν μὴ δυναμένων συστῆναι ἐν ἀντωνυμίαις.
ιʹ. Ὅτι τὰ συνεμπίπτοντα τῶν μερῶν τοῦ λόγου σολοικίζεται, ἅπερ τὰ μοναδικά.
ιαʹ. Ὅτι τὸ ἀπαρτᾶ λέλυται καταλληλότερον τοῦ δυσφρασέσθαι.
ιβʹ. Τίς ἡ ἀφορμὴ τοῦ συντάσσεσθαι τὰ ἀπαρέμφατα τοῖς ῥήμασι· καὶ εἰ ἐπιρρήματά εἰσιν ἢ οὔ· Καὶ ὅτι τὸ ἀπαρέμφατον καὶ τὸ ἐπίρρημα οὐ ταὐτόν ἐστιν.
ιγʹ. Ἕνεκεν τίνος οὐ παρεμφαίνει ψυχικὴν διάθεσιν μετὰ ἀριθμοῦ καὶ προσώπου.
ιδʹ. Εἰ δεόντως κατὰ τὸ ὁμηρικὸν ἔθος, ἀντὶ προστακτικῶν παραλαμβάνεται· καὶ ὅτι ἡ ἐπισταλτικὴ σύνταξις τὸ ἀπαρέμφατον ἔχει ἀπὸ τῆς προστακτικῆς.
ιεʹ. Τίνα μέρη λόγου εἴη τὸ χρὴ καὶ τὸ δεῖ.
ιϛʹ. Πότε τοῖς ἀπαρεμφάτοις συντάσσεται· καὶ τί τὸ τούτου αἴτιον.
ιζʹ. Πότε τὰ ἀπαρέμφατα ἐπὶ δύο αἰτιατικὰς φέρεται.
ιηʹ. Πῶς διακριτέον τὰ ἐν ἀμφιβολίᾳ τῶν δύο αἰτιατικῶν.
ιθʹ. Ὅτι χρὴ ὁριστικὴν καλεῖν τὴν ἔγκλισιν, ἥπερ ἀποφαντικήν.
κʹ. Ὅτι ἡ οὐ ἀπόφασις ἀναγκαίως ὁριστικοῖς μόνοις συντάσσεται
καʹ. Ἕνεκεν τίνος ἡ ὁριστικὴ ἔγκλισις εἰς ἐρώτησιν ἐκθετίζεται.
κβʹ. Περὶ τῆς εὐκτικῆς ἐγκλίσεως.
κγʹ. Τίνι διαφέρει τὰ εὐκτικὰ ἐπιρρήματα τῶν εὐκτικῶν ῥημάτων· ὁμοίως καὶ τὰ προστακτικά.
κδʹ. Ὅτι καὶ τῶν εὐκτικῶν εἰσι παρῳχημένοι χρόνοι· καὶ τῶν προστακτικῶν.
κϛʹ. Ὅτι ἡ ὑποθετικὴ ἔγκλισις οὐ πάντως ἡ αὐτὴ τῇ προστακτικῇ. Καὶ τίνος ἕνεκεν συντάξεως ἡ ὑποτακτικὴ ἔγκλισις εἴρηται.
κεʹ. Εἰ μόνου δευτέρου προσώπου προστακτικά.
κζʹ. Εἰ συγκαταθετικὸν, τοῖς καλοῦσι διστακτικήν.
κηʹ. Ποίας ἐγκλίσεώς ἐστι παράληψις ὑποτακτική.

κθ΄. Διατί πάντα τὰ ὑποτακτικὰ εἰς ω λήγει.

λ΄. Τίσι τῶν ῥημάτων οὐ παράκειται παθητικὴ ἔγκλισις καὶ κατὰ πόσους τρόπους.

λα΄. Τίνα τῶν ῥημάτων γενικῇ πτώσει συντάσσεται καὶ τίνα δοτικῇ.

## α΄. ἝΝΕΚΕΝ ΤΊΝΟΣ ἈΙ ΤΟΥ͂ ΤΡΊΤΟΥ ΠΡΟΣΏΠΟΥ ἈΝΤΩνυμίαι καὶ τοῖς ἄλλοις προσώποις συνταςσόμεναι κατάλληλον λόγον ποιοῦσιν.

ΤΩ͂Ν ἐξαιρέτως παρεπομένων ταῖς ἀντωνυμίαις κατειλεγμένων, ἐν τῷ πρὸ τούτου ἀναγκαίως καὶ περὶ τῶν κοινῇ αὐταῖς παρεπομένων μετὰ τῶν ἄλλων τοῦ λόγου μερῶν πειρασόμεθα διαλαβεῖν· καθὸ ἃ μὲν αἴτια γίνεται ἀκαταλληλότητος· ἃ δὲ ἀδιαφορεῖ· ὥστε δεῖ τὸ πρῶτον ἐπινοῆσαι· ἐξ αὐτῶν τῶν ἀντωνυμιῶν:~

β΄. Εἰ δεόντως ἡ αὐτὸς ἐπιταγματικὴ εἴρηται.

Ἐπιταγματικὴν καλοῦσι τὴν αὐτός· καθό φασιν ὑποτάσσεται ἅπασι τοῖς ἀντωνυμικοῖς προσώποις· καὶ εἰ μὲν ἐξαιρέτως, σαφὲς ὅτι οὐκ ἀληθεύουσιν· ἰδοὺ γὰρ ἥδε ὅδε· ὁ Δίων γε· ἐκεῖνος μὲν δή· ὁ δ᾽ αὐτὸς ἐγώ περ· οὗτος· ἡ Διῶ ταχυτάτη· εἰ δὲ κατὰ τὸ πλεῖον παρὰ τὰ πολλὰ, συγκατατεθείμην ἂν τῷ λόγῳ· οὐ γὰρ δή γε θαρρήσει τις ἀλόγους τὰς τοιαύτας συντάξεις φάναι τῶν ἐλλογιμωτάτων ἀνδρῶν χρησαμένων· καὶ τοῦ λόγου οὐκ ἐμποδίζοντος ὡς δείξω.

Δῆλον οὖν ὡς ἡ κατὰ πολὺ γινομένη σύνταξις ἀπήνεγκε τὴν ὀνομασίαν· ᾧ λόγῳ καὶ ἄλλα κατὰ πλεῖον ἐπικράτησε.

Διαπορῶ γε μὴν, τί δήποτε αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου

μετίασιν ἐπὶ τὰ τρίτα πρόσωπα, τά γε μὴν τρίτα πρόσωπα μετί- ασιν ἐπὶ τὰ πρῶτα καὶ δεύτερα καὶ πάλιν οὐχ ἅπαντα. ἰδοὺ καὶ οἱ καὶ ἡ ε. καὶ αἱ σύζυγοι εἰσὶ καὶ ἁπλαῖ ὅσαι, ἐπὶ τὰ πρῶτα καὶ δεύ- τερα πρόσωπα οὐ μετέρχονται. ἥγε μὴν μεταλαμβανομένη ὡς αὐτῶν αὐτὸς, αὐτὸς ἑκὼν οἶδα. αὐτὸς δὲ σὺ οἶδας. τὸ δὲ μεῖ- ζον, πρὸς ἁπάντων ὁμολογεῖται. Ὅτι ἡ ἑαυτοῦ καὶ ἑαυτὸν καὶ αἱ σύζυγοι ἐκ δύο τρίτων συντεθειμέναι εἰσὶν, ὧν καὶ αἱ πλη- θυντικαί. ἑαυτῶν ἑαυτοῖς ἑαυτούς. αἵπερ κατὰ τὸ πρῶτον καὶ δεύ- τερον παραλαμβάνονται. πῶς οὖν οὐκ ἄλογον τὸ καθ' ἑνικὴν σύν- ταξιν ἀπαράδεκτον, ἐν πληθυντικῇ μεταπλώσει εἶναι παραδεκτὸν γίνεσθαι. οὐ γὰρ φαμὲν ἑαυτὸν ὕβρισα. ἢ ἑαυτὸν ὕβρισας. ἑαυτοὺς δὲ καθυβρίσαμεν. ὅτι εἰ μὴν συνελόντι ἐκεῖνο φάναι, μὴ ἄρα αἱ τοιαῦται συντάξεις σολοικισμὸν ὑπαγορεύουσι παρὰ τὴν τῶν προσώπων μεταλλαγήν. Εἰ γὰρ ὅ,τι ἐστὶν ἐν τρίτῳ τοῦτο καὶ ἐν πρώτῳ παραλαμβανόμενον ἢ δευτέρῳ, ἀκατάλληλον ποιεῖ τὸν λόγον, καὶ ἀνάπαλιν, ὅ,τι ἐστὶν ἐν πρώτῳ καὶ δευτέρῳ, τοῦτο ἐν τρίτῳ παραλαμβανόμενον, τὴν αὐτὴν ἀκαταλληλότητα πα- ρέξει, εἴτε δέ τις ἀποφαίνοιτο. ἐγὼ γράφει. σὺ γράφει. ἡμεῖς γρά- φουσιν. ὑμεῖς γράφουσιν. εἰ τοῦτο ἀληθές, πῶς τὸ ἑαυτοῦ ἐκ τρίτου καὶ ἐκ τρίτων γι- νόμενον κατάλληλον ποιεῖ λόγον ἐν τῷ πρώτῳ καὶ δευτέρῳ. τὸ γὰρ δέον ἐστὶν, ἑαυτοὺς τύπτουσιν. οὐ μὴν τὸ ἑαυτοὺς τύπτομεν. ἀλλὰ πάλιν πάνυ κατάλληλον ἔχει ἐπανόρθωσιν, διὰ τοῦ ἀκο- λούθου σχήματος. εἴπερ οὖν σολοικισμὸς τὸ ἑαυτοὺς ὑβρίζομεν. τί τὸ ἐπανορθοῦν τὸ σχῆμα; Φήσει τις τὸ ἡμᾶς ὑβρίζομεν. οὔ φημι ἕνεκα μόνον χρήσεως. ἀλλὰ καὶ ἕνεκα ἀποδείξεως τῆς προεκτεθειμένης τοῦ μὴ δύνασθαι μετὰ τῶν συζύγων ῥημάτων ἁπλᾶς ὑπερέχειν τὰς ἀντωνυμίας. ὅτι μὴ μόνον ἐπὶ τῆς εὐθείας ἐγὼ ὕβρισα. ἡμεῖς ὑβρίσαμεν. τὸ γὰρ ἐμὲ ὕβρισεν, εἰς τὸ ἐμαυτὸν μεταλαμβάνε- ται. Οὐ δὴ οὖν συνεστάθη τὸ, ἡμᾶς ὑβρίσαμεν, ἢ ἡμῖν ἐλαλήσαμεν.

ϛ Τί τὸ ποιοῦν ἐστι τὸ ἀκατάλληλον.

Χρὴ δὲ ἐπιστήσαντας ἰδεῖν, τί δή ποτέ ἐστι τὸ ποιοῦν τὸ ἀκατάλ-

ληλον· ἡ παραθέσει τρόπων χρησαμένους μάτην, καθάπερ τινὲς αὐτὸ μόνον ἐκήρυξαν πρὸς σολοικισμούς· οὐ μὴν ἐδίδαξαν τὸ πλεῖον· ὅπερ εἴ τις μὴ συνοίδοι, εἰς οὐδὲν συντείνουσιν ἐξ ἡ τὴν παράθεσιν τῶν τρόπων· πρὸς οἷς, οὐδὲ ἀληθεύουσιν. οἱ δ' αὐτῶν λόγοι φέρε φάναι, ὡς γίνεται τὸ ἀκατάλληλον καὶ παρὰ τὰ πρόσωπα. Ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων ἀλάλημαι ὀϊζύν. Ἀκατάλληλον γάρ· δέον ἐμῆς· καὶ ἔστι πρὸς τὸ τοιοῦτον ἐγκείμενος λόγος. Εἰσὶν τὸ ἑαυτοὺς ὑβρίζομεν, καὶ ἔτι τὰ τοιαῦτα τίς παραδέξεται. δῆλον ὡς καὶ τὸ προκείμενον, εἰ ἔστι τις αἰτία ἢ τὸ τοιοῦτον μὲν παραπέμπεται, προσίεται δὲ τό, ἑαυτοὺς ὑβρίζομεν. ἀλλὰ καὶ παρὰ τὰς πτώσεις· Ἡνίκα ἐν ἐκείνῳ τῷ σχήματι ἀπαιτοῦσι τὸ νικῶ· ἐν τῷ οἱ δὲ δύο σκόπελοι. Πάλιν γάρ ἔστι συνιδεῖν καὶ ἐπὶ τούτου ὅτι λείπει ἤ τι τὸ αἴτιον ἔστι τὸ τὴν γενικὴν ἀπαιτεῖν. Παρείσθω τοίνυν ἡ τοιαύτη παράθεσις· ὑπὲρ τοῦ μὴ πολὺ ἀφίστασθαι ἡμᾶς τοῦ προκειμένου:~

ὍΤΙ ΟΥ̓Κ ἘΝ ΜΙΑ͂ λέξει ὥς τινες ᾠήθησαν ὁ σολοικισμός·
δ´ ἐν δὲ ἐπιπλοκῇ· καὶ ὡς ἡ κοινὴ δόξα ἔχει.

Οὐδὲ ἐκεῖνο δεῖ μεταλαθεῖν, ὥστινες ἐπεπέραξαν τὴν παρὰ πᾶσι συμφώνως πιστευθεῖσαν δόξαν, ὡς μιᾶς λέξεως κακία ἐστὶν ὁ βαρβαρισμός· ἐπιπλοκῆς δὲ λέξεων ἀκαταλλήλων ὁ σολοικισμός· αὐτοὶ εἰσηγησάμενοι, τὸ καὶ ἐν μιᾷ λέξει καταγίνεσθαι σολοικισμόν· εἰ κατὰ θηλείας φαίη τις οὗτος ἢ πληθυντικῶς· καὶ ἄλλα τῶν αὐτῶν ἐχόμενα εὐηθείας. Τὸ πρῶτον, ὅτι οὐδεμία εὐθεῖα συνίσταται δίχα ῥήματος εἰς αὐτοτέλειαν· καὶ ῥήματος, τοῦ μὴ ἀπαιτοῦντος ἑτέραν πλαγίαν· ἔστι γὰρ τό, οὗτος περιπατεῖ, αὐτοτελές. οὐ μὴν τὸ βλέπει· λείπει γὰρ τὸ τινά· ἀλλ' εἰ καὶ οὕτω φαίημεν, τίς σε ἔτυψε; τὸ ἀνθυπαγόμενον οὗτος, κοινὸν ἔχει παραλαμβανόμενον τὸ ῥῆμα. Τίς καλεῖται Αἴας; οὗτος· οὐκ ἄρα ἀληθές, τὸ ἐν μιᾷ λέξει σολοικισμὸν γίνεσθαι· καὶ φαίνεται ὅσον ἐπὶ τῷ ὁ λόγος κατώρθωται· παρὰ δὲ τὴν ἐξ αὐτοῦ γινομένην δεῖξιν, τὰ τοῦ γένους ἐνήλλακται σαφές ἐστι, ὡς εἰ δὲ ἐν νυκτὶ ἐγχειρήσει ὁ καινότερον ἐπινοηθεὶς διὰ τῶν

ἕτερος ἀντωνυμίας σολοικισμός. ἔτι δέον προσθεῖναι τῷ ὅρῳ, ὅτι μὴ ἐν γυναικείῳ καταστήματι εἴη τὰ τῆς συντάξεως. δῆλα γὰρ τὰ ὑπὸ ὄψιν πίπτοντα τοῦ γένους ἐστίν· ὅπερ γελοῖον. οἱ γὰρ σολοικισμοὶ ἀκοῇ ὑποπίπτουσιν ἐλεγχόμενοι ἐκ τῆς κατὰ παράθεσιν τῶν λέξεων συνθέσεως ἀκαταλληλίας. ὧν μεταλαμβάνουσι καὶ οἱ τεθρυμμένοι τὰς ὄψεις. οὐ γὰρ ἐλλιπεῖς εἰσι τοῦ ἐξ ἰδίου ποιουμένου τὴν φωνήν. λέγω τῆς ἀκοῆς. λεχθήσεται δὲ κἀκεῖνο. ὡς περὶ τὰς προτάξεις ἐναλλασσόμενα ὑπὸ λόγον τὸν τοῦ σολοικισμοῦ πεσεῖται. Ὡς γὰρ εὔηθες τὸ τοιοῦτον, ἢ τὸ προειρημένον· τὸ οὖν κατὰ θηλείας λεγόμενον. ἕτερός με ἔτυψεν, οὐχ ἁμάρτημα τοῦ λόγου. τὸ δέον γὰρ τοῦ καταλλήλου ἀνεδέξατο. εἰ γοῦν ὑπούσης θηλείας φαίη τις, αὕτη με ἔτυψεν, ὁ λόγος σολοικιεῖ, διὰ τὸ ἀκατάλληλον τῶν λέξεων. κἂν ἀληθὲς ᾖ τὸ γένος. οὐ γὰρ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκατάλληλόν ἐστιν. ἢ κατάλληλον. ἐν δὲ τῇ συντάξει τῶν λέξεων, αἷς παρέπεται τὸ μετατίθεσθαι εἰς τὸ δέον τῶν ὑποκειμένων ἀπαιτοῦντι τῶν αὐτῶν ὄντων.

Ἔστιν οὖν καὶ οὐδετέρως φάναι. τοῦτό με ἔτυψε. καὶ οὐδ᾽ οὕτω τὰ τοῦ λόγου ἠλόγηται. κατ᾽ οὐδένα γὰρ τρόπον ἐλλιπὲς γενήσεται, ἀναφερόμενον ἐπὶ τὸ γύναιον. καθάπερ ἐκεῖ, τὸ νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέους μελάντερος. τὸ μὲν γὰρ οὐκ ἐπ᾽ ἄλλο, ἢ πρὸς τὸ συνώνυμον τοῦ βρέφους ἀπήντηκε. ἔτι ἐπὶ πλήθους. ἢ μά-
„λα δὴ τάδε δώματα καλὰ ὀδυσῆος. οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλί-
„σσαιτο. πρὸς γὰρ τὸ συνώνυμον τοῦ οἴκου παρείληπται. ἐπιφέρει δ᾽ ἔτι·
Γινώσκω δ᾽ ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται:~

ιε. ΟΤΙ ΤΟ ἑνδέκατος ἐάν τε σύνθετον ᾖ, ἐάν τε παρασύνθετον, ὑγιῶς συντίθη.

Ἦν μέντοι ἐκεῖνο παρακινδυνευόμενον· τό, ἐν συνθέτῳ λέξει ὑποφαίνεσθαί τινα σολοικισμόν· λέγω ἐπὶ τοῦ ἑνδέκατος· ἢ ἐπὶ πλείον τοῦ ἑνδεκάτη. οὐ γὰρ ἐκεῖνό ἐστι φάναι, ὅτι ἡ ἑνὸς ἔγκειται γενική· παρὰ γὰρ τὰς εὐθείας αἱ συνθέσεις τῶν τοιούτων γίνονται δέκατος· τρισκαιδέκατος· τεσσαρεσκαιδέκατος. ἔτι οὕτω γὰρ τὸ ἑνδεκάτη οὐ συνίσταται. ἐφ᾽ οὗ χρηματιστέον ἐστὶ φάναι· τὸ μὲν ἁπλοϊκόν ἐστι

φάναι, ὡς παρὰ τὸν ἀριθμὸν τὸν ἕνδεκα, ἔτι καὶ παραθέσεως ὄντα, ἔτι καὶ ἐκ συνθέσεως, παραγωγή τις ἐγένετο ἡ τοῦ ἑνδέκατος· ὡς ἕβδομος ἑβδόματος· ἀφ' οὗ τὸ θηλυκὸν ἑβδομάτη· ἑνδεκάτη. ὅτι δὲ ἐκ παραθέσεως δυοῖν γίνεται παράγωγον, διὰ πλειόνων ἐδείξαμεν· τὸ αὐτὸ ταυτὶ τῆς· παρὰ ποταμὸν μέν· ὁ δεῖνα· παραποτάμιος. ἔστι δὲ καὶ οὕτω φάναι, κἂν παρὰ τὸ δέκατος ἦν ἡ σύνθεσις, τὰ τῆς συνθέσεως ἐν λόγῳ τὴν τοῦ οὐδετέρου σύνθεσιν ἀνεδέχετο. ἔτι γὰρ παρὰ ἀριθμὸν σύγκειται, τοῦτο ἐκ κοινότητος τῶν ἀριθμῶν παρελαμβάνετο· οἷον οἱ τέσσαρες· αἱ τέσσαρες· τεσσαρεσκαιδέκατος· οἱ τρεῖς αἱ τρεῖς τρισκαιδέκατος· καὶ οἱ λοιποὶ ἀριθμοὶ οὐδὲν οὖν παρὰ τὸ εἷς ἐδύνατο τὰ τῆς συνθέσεως ἐγγίνεσθαι. ὅτι μὴ κατηγορεῖτο καὶ τοῦ ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ· καὶ εἰ ἀμφότερα τὰ γένη συνωθεῖται εἰς τὰ οὐδέτερα. Τὸ γοῦν οὗτος καὶ αὕτη, εἰς ἓν συνωθεῖται τὸ τοῦτο· καὶ πάλιν, ὑποστατικόν τι ἐστι· διὸ καὶ κατὰ τοῦτο, κἂν φῶμεν ἐπὶ γυναικὸς τοῦτο, οὐ σολοικιοῦμεν· ὥς τινες ὑπέλαβον. καὶ περισσὸν εἰς τὸ τοιοῦτον πλείονα παρατίθεσθαι· ἀναλόγως ἄρα τὸ ἓν παρελήφθη κατὰ τὴν σύνθεσιν· ἵνα μήτε τὸ ἀρσενικὸν ἐξιδιοποιήσηται, μήτε τὸ θηλυκόν.

## ιϛʹ. ΠΕΡΙ ΤΗΣ ΕΝ ΕΚάστῳ μέρει λόγου παρυφισταμένης ἀκαταλληλίας.

Ἔτι γε μὴν ὡς προείρηκα συνεκτικωτάτη αἰτία τοῦ προὔργου καταλλήλου ἡ δὲ τῶν μερῶν τοῦ λόγου. ἃ μὲν μετασχηματίζεται εἰς ἀριθμοὺς καὶ πτώσεις· ὡς τὸ ὄνομα καὶ τὰ ἄλλα ὅσα δύναται ἀριθμὸν μετὰ πτώσεως ἐπιδείξασθαι· ἃ δὲ εἰς πρόσωπα καὶ εἰς ἀριθμόν, ὡς τὰ ῥήματα καὶ αἱ ἀντωνυμίαι· ἃ δὲ εἰς γένη· ὡς τὰ προκατειλεγμένα ὀνόματα· καὶ ὅσα δύναται γένους διάκρισιν ποιήσασθαι· τινὰ δὲ οὐδὲ ἓν τοιοῦτον ἐπιδέχεται· ὡς τὰ καθ' ἕνα σχηματισμὸν ἐκφερόμενα· ὥσπερ οἱ σύνδεσμοι καὶ αἱ προθέσεις· καὶ σχεδὸν ἅπαντα τὰ ἐπιρρήματα. Τὰ δὴ οὖν προκείμενα μέρη μεταληφθέντα ἐξ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας τῶν προκατειλεγμένων ἀριθμῶν, ἢ προσώπων ἢ γενῶν

τῇ τοῦ λόγου συνθέσει, ἵνα μὴ μένωσιν εἰς ἐπιπλοκὴν τοῦ πρὸς ὃ δύναται φέρεσθαι· εἰ τύχοι πληθυντικὸν πρὸς πληθυντικόν· κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν· γράφομεν ἡμεῖς· γράφουσιν οἱ ἄνθρωποι· τὰ γὰρ ἐνδιακρίσει τοῦ προσώπου, οὐ πάντως δὲ ἀπαιτεῖται τὸν ἀριθμόν· οἷόν τε γὰρ ἐστὶ φάναι, τύπτουσι τὸν ἄνθρωπον· ἢ πάλιν τύπτουσι τοὺς ἀνθρώπους· ὁ αὐτὸς λόγος κατὰ τῶν κατὰ γένος συμπαραλαμβανομένων· κἀπὶ τῶν κατὰ πτῶσιν· ἡ μὲν αὐτῶν ἀκούουσι. Πάλιν γὰρ τὸ ἐνδιαβάσει ἀδιαφορεῖ, καὶ κατὰ τὴν πτῶσιν καὶ κατὰ τὸν ἀριθμόν· ἡ μὲν αὐτὸς ἀκούει· ἡ μὲν αὐτοὶ ἀκούουσιν· ὅπερ πάλιν εἰ συνέλθοι κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποδραμεῖται εἰς τὸ αὐτὸ πρόσωπον· διὰ τὸ κατάλληλον τῆς πτώσεως· εἰ μὴ συνδεσμικὴ παρέμπτωσις ἀποσπάσει τὸ πρόσωπον· ὡς τὸ ἡμεῖς καὶ αὐτῶν ἀκούουσιν· ὁ αὐτὸς λόγος κἀπὶ τῶν γενῶν· φήσομεν γάρ, οὗτοι οἱ ἄνδρες· ἢ καὶ κατὰ πλαγίαν πτῶσιν· τούτους τοὺς ἄνδρας. Πάλιν δὲ τὸ ἐν μεταβάσει τοῦ προσώπου, ἀδιαφορήσει καὶ κατὰ τὸ γένος καὶ κατὰ τὸν ἀριθμόν· τούτους γυνὴ ὕβρισε· πειρατὸν εἰς τὸ τοιοῦτον παραθέσει χρῆσθαι. προφανὲς δὲ τὸ λεγόμενον. εἴπερ οὖν ὡς προείπομεν, μὴ ἐπισυμβαίνει τινὶ λέξει τὸ τὴν διάκρισιν δυνάμενον προφανὲς ποιήσασθαι, ἀδιαφορήσει τὸ ἐπιπλέκεσθαι ἅπασι τοῖς κατειλεγμένοις· λέγω γένεσι διαφόροις· πτώσεσιν· ἀριθμοῖς· προσώποις ἄλλοις τοῖς δυναμένοις τὸ οὗτον τι ἀναδέξασθαι· οὐ γὰρ διελέγχουσι τὸν ἴδιον μετασχηματισμόν. Ἔστω δὲ σύνταξίς τις τοῦ καλῶς, ἢ τῶν ὁμοίων, ἐπὶ παντὸς προσώπου ἐπὶ παντὸς ἀριθμοῦ· ὅτι φαμὲν καλῶς ἔγραψα ἢ καλῶς γράφω ἢ κακῶς γράφεις· καὶ ἐπὶ τῶν μετασχηματιζομένων χρόνων· λέγω τοῦ, ἔγραψα ἢ γράψω· ἡ δὲ τοιαύτη σύνταξις πρόδηλον ὅτι κατάλληλος· ἡ γὰρ τοῦ ἐπιρρήματος σύνοδος, οὐ δεκτικὴ οὖσα τῶν ἀριθμῶν ἢ τῶν προσώπων ἢ τῶν πτώσεων, καὶ ἔτι τῶν χρόνων ὧν τὸ ῥῆμα παραδέχεται, ἀκώλυτον ἔχει τὴν ἐπιπλοκήν· οὐκ ἐλεγχομένη ἐκ τοῦ ὁμοίως· ἐν μὴν ἔτι ἐπὶ τοῦ

καλός, ταὐτό ἐστιν εὑρέσθαι· προσώπου γὰρ τυγχάνει τρίτου καὶ ἀριθμοῦ τοῦ ἑνικοῦ· καὶ ἔνθεν προσῆκται αὐτῷ ἑνικὸν τὸ γράφει. τοῦ καλὸς γράφει· καλὸς περιπατεῖ· κἀπεὶ πάλιν τὸ καλὸς οὐ παρέμπτωσιν χρόνου σημαίνει, ἀδιαφορεῖ τὰ ἐν διαφόροις χρόνοις συντάσσεσθαι· ἔνθεν πάλιν τὰ τετμημένα τῶν ἐπιρρημάτων εἰς διαφόρους χρόνους· τοῖς μὲν διαφόροις προσώποις, καὶ ἔτι ἀριθμοῖς συντάσσεται τοῖς τοῦ μέλλοντος, ἢ τοῦ ἐνεστῶτος ἢ μὴν πάλιν ἐν παρατάσει τοῦ ὅλου χρόνου παραλαμβανόμενα· λέγω ἐπὶ τοῦ νῦν καὶ τῶν ὁμοίων. Ὁμοίως δὲ καὶ ὅσα σημαινόμενον ἐγκλίσεως ἐπιδέχεται· λέγω τὸ εἴθε· ἢ ἄγε. Ἡ γὰρ προστακτικὴ ἔγκλισις ἀνεπίπλοκος τῇ εὐκτικῇ· καὶ οὕτως τὸ εἴθε ἀφίσταται τῶν προστακτικῶν· καὶ τὸ ἄγε τῶν εὐκτικῶν. Πάλιν οὖν ἀμοιρήσαντα τὰ ἄλλα ἐπιρρήματα τῆς τοιαύτης σημασίας, ἀκώλυτον ἔχει ἐν ἁπάσαις ταῖς ἐγκλίσεσι σύνταξιν τὴν τοιαύτην, ὡς ἀκριβέστερον ἐν τῷ περὶ ἐπιρρημάτων ἐξεθέμεθα· περὶ ἧς ἔτι καὶ κατὰ τὸ δέον πάλιν εἰρήσεται. Ἔστι καὶ ἐκ συνδέσμων τὸ τοιοῦτον παραστῆσαι· ὡς εἰς οὐδὲν ἀναμεριζόμενοι τῶν προκατειλεγμένων, ἀδιαφοροῦσι ταῖς συντάξεσι γενῶν πρὸς γένη διαφορᾶς πτώσεων ἀριθμῶν προσώπων. Εἰ γοῦν τις πάλιν μερικὴ γένοιτο ἐπ' αὐτῶν διαφορά, ἀπολειφθείη ἄν που μὲν τῆς προκειμένης συντάξεως διὰ τὸ ἐγκείμενον τοῦ συνδέσμου· ὑπὲρ οὗ μὲν περὶ συνδέσμων ἄρτι λέγεσθαι, αὐτὸ μόνον ἑνὶ ὑποδείγματι χρησόμεθα· ὁ δὴ ἂν σύνδεσμος αὐτὸ μόνον ἐκ τηρήσεως εἴρηται, ὡς παρῳχημένοις συντάσσεται· ἐξῃρημένου πάλιν τοῦ παρακειμένου· ἑξῆς συντάξεως. εἰ γοῦν τις ἐν τῷ γράψαι ἄν, παρά τι τὸ ἀκατάλληλον ἐγένετο, οὐκ ἔστι φάναι ἢ μόνον ἐκ τῆς ἀντιλήψεως· ὃ ἀκατάλληλόν ἐστιν· οὔτε γὰρ ἀριθμοῦ ἀνθυπαλλαγή, οὔτε ἄλλου του, ὃ δύναται διελέγξαι τὸ ῥῆμα, μὴ συμπληθυνόμενον ἢ συγχρονούμενον· ἢ συνδιατιθέμενον. ἦν δὲ τὸ αἴτιον τοῦτο· τὰ μὴ γεγονότα τῶν πραγμάτων ὁ σύνδεσμος ἀναιρεῖν θέλει· παρεστά-

νων αὐτὰ εἰς τὸ δύνασθαι· ἔνθεν καὶ δυνητικὸς εἴρηται. τὸ μὲν γὰρ ἔγραψα, ἢ τὸ ἔγραφον, ἢ τὸ ἐγεγράφειν, ἢ ἀπὸ μέρους γεγονότα ἐστὶν, ἢ καὶ ἐκ πάλαι γεγονότα· ἔνθεν προσέρχεται τοῖς δυναμένοις τὴν ὕλην αὐτοῦ παραδέξασθαι. ἔγραφον ἄν. ἔγραψα ἄν. ἐγεγράφειν ἄν. οὐ μὴν τὸ γράφω, γράψω. οὐ γὰρ παρῴχηται, ἵν' ἐγχωρήσῃ ἡ ἐκ τοῦ συνδέσμου ἀναίρεσις μὲν τοῦ γεγονότος, ἐπαγγελία δὲ τοῦ ἐσομένου. καὶ ἐντεῦθεν δὲ πειθόμεθα ὅτι οἱ παρῳχημένου συντέλειαν σημαίνει ὁ παρακείμενος. τὴν γε μὴν ἐνεστῶσαν· ὅθεν οὐδὲν δυνησόμενον γενέσθαι παρεδέξατο. καὶ διὰ τοῦτο ἀπροσδεὴς τοῦ ἂν συνδέσμου ἐγένετο. ὡς ἐν τῇ συνδεσμικῇ συντάξει ἐντελέστερον τὰ τοιαῦτα δέδεικται:~

Ἀντίον μέντοι ἐπὶ τὸ προκείμενον. αἱ δὴ οὖν λέξεις ὡς προείρημεν ἀναμεμιγμέναι κατὰ τὰς ἰδίας θέσεις τὰς ὁπωσδήποτε παρεμπιπτούσας, εἰς οὐκ ἐπιβάλλουσαν θέσιν, διελέγχουσι διὰ τῆς ἐξ αὐτῶν ἀκολουθίας παρὸν πιστώσασθαι; καὶ δι' ὧν ἠπορήσαμεν ἐν τοῖς προειρημένοις, καὶ δι' ὧν παραθησόμεθα. τὸ ἐμοὶ ἐπὶ τρίτου οὐ τίθεται ὑπὸ γὰρ συζύγου τοῦ οἷ διελέγχεται. καὶ σαφὲς ὅτι ἐστὶ τὸ οἷ οὐκ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον. ὡς οὐδὲ τὸ γράφω ἀντὶ τοῦ γράφει. οὐδὲ μὴν τὸ γράφει ἀντὶ τοῦ γράφω. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν δευτέρων προσώπων. πῶς οὖν ἡ αὐτὸς τρίτου καθεστῶσα σύνταξιν τὴν κατὰ τὸ πρῶτον καὶ δεύτερον ποιεῖται. ἕνεκα τοῦ μὴ ἔχειν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν. ὃ συνελέγξει τὸ ἀλλόξιον τοῦ προσώπου· ἔνθεν γὰρ οἶμαι ἐρευνηκέναι καὶ τὸ ἀκόλουθον πρὸς τὰ ἀναμιχθέντα μόρια, ἐν τῇ δεούσῃ ἀκολουθίᾳ. καὶ σαφὲς ὅτι τὸ μὴ γινόμενον ἐν προσώπου ἀκολουθίᾳ, οὐδέποτε τὸ ἀκόλουθον τῶν προσώπων ἁμαρτηθήσεται. γινομένου γε μὴν ἐκ γένους ἀκολουθίας, ἢ πτώσεως καὶ ἀριθμοῦ, οὐκέτι σύμφωνοι θήσεται παρὰ τὸ δέον τῶν προκειμένων. ἐμὲ γὰρ αὐτόν. καὶ ὑμᾶς αὐτούς. σαφὲς δὲ πάλιν καὶ ἐκ τῶν ἄλλων ἀντωνυμιῶν. αἳ γένος οὐ διακρίνουσαι, ἀκόλουθον ἔχουσι τὴν ἐν τοῖς τρισὶ γένεσιν ὑπαγωγήν. Φαμὲν γοῦν. σὺ αὐτὸς ἢ σὺ αὐτή. καὶ ἔτι.

ἐμοὶ αὐτῷ· ἐμοὶ αὐτῇ· καὶ οὐ κακία τὸ τοιοῦτον· ὅτι μὴ ἐνεχώρει τὸ
δυνάμενον ἐλέγξαι τὴν κακίαν. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ
τῆς ἔτι γε ὁδοῦ· πάλιν οὐκ ἀκόλουθον τὸ, ὁ δεῖνα γράφω· ἢ ἔτι ἐγὼ καθὼς
προείπομεν· λύεται δὲ κἀκεῖνο τὸ ἄπορον· ὡς τὸ, ἑαυτοὺς καὶ
ἐπὶ τρίτον συνέτεινε. ὅπερ ἦν ἄν γε κακία, εἰ δὴ ἠλέγχετο
ὑπὸ τοῦ ἐμαυτούς. ὡς παρὰ τὸ πρόσωπον ἡμαρτημένου·
ἀνεξέλεγκτον οὖν καθεστὼς, ἀδεεστέραν τὴν σύνταξιν κατὰ τῶν
προσώπων ἐποιήσατο. Καὶ ἐπὶ ῥημάτων ὁ αὐτὸς λόγος· πᾶ-
σαι γοῦν αἱ ἐγκλίσεις μερισθεῖσαι εἰς πρόσωπα καὶ ἀριθμοὺς, τὸ
ἀκατάλληλον συνελέγχουσι διὰ τῶν ἀριθμῶν καὶ τῶν προ-
σώπων.

Ἡ γε μὴν ἀπαρέμφατος τούτων ἀμοιρήσασα ἐπιτρέχει καὶ ἐπὶ
πάντα τὰ πρόσωπα· καὶ ἅπαντας τοὺς ἀριθμούς· γράφειν ἐμὲ γράφειν
ἡμᾶς. Γράφειν σέ· γράφειν ὑμᾶς. Κἀπεὶ πάλιν οὐκ ἀμοι-
ρεῖ διαθέσεως ἢ χρόνων, παρὰ τὴν τούτων ἐναλλαγὴν, τὸ ἀνα-
κόλουθον ἐπιδείκνυται. Φυσικώτερον δέ πως καὶ ψυχικῆς
διαθέσεως ἡ ἀπαρεμφάτων ἔγκλισις ἀμοιρήσασα, οὐκ ἐμπο-
δίζεται καὶ ἀντὶ πασῶν ἐγκλίσεων παραλαμβάνεσθαι· προσ-
τιθεμένου τοῦ ἰδιώματος τῆς ἐγκλίσεως. Καὶ πάλιν πᾶ-
σαν ἔγκλισιν εἰς ταύτην ὑποστρέφειν. Τὸ γὰρ γράφε, δύναται ἴ-
σον εἶναι τῷ γράφειν σοι προστάσσω· ἀναγκαίως γε τοῦ προστάσσειν
ἐγκειμένου. καὶ τοῦ ἀντωνυμικοῦ· τούτων γὰρ ἀμοιρεῖ τὸ ἀπα-
ρέμφατον· περιπατοίης· εὔχομαί σε περιπατεῖν. Γράφοις·
ὀρίζομαί σε γράφειν. πρόδηλος καὶ ἡ ἐκ τούτων μετάληψις· γρά-
φοι Διονύσιος· ηὐξάμην γράφειν Διονύσιον· γραφέτω Διονύσιος·
προσέταξα γράφειν Διονύσιον· διά τι μέντοι αἱ συνοῦσαι πτώσεις
εὐθεῖαι πλάγιαι γίνονται, ἀκριβώσομεν ἐν τῷ περὶ ῥημάτων· ἐν ᾧ
διαληψόμεθα περὶ τῆς προειρημένης καθόλου συντάξεως τῶν ἀπα-
ρεμφάτων· παρὸν κἀκ τῶν μετοχῶν αὐτὸ πιστώσασθαι· αἷς προσδίδω-
σι μὲν ἡ ἐκ τῶν ῥημάτων μετάληψις γένος καὶ πτῶσιν· καὶ τὸν ἐκ
τούτοις ἀριθμόν· ἀφαιρεῖται δὲ αὐτὴν προσώπων διάκρισιν καὶ ψυχικὴν

νοιαν. καὶ ἕνεκα τούτου περὶ τὰ ἀφηρημένα τὰ ῥήματα στερόμενα ἐν μὲν προσώποις, γράψας ὁρίστη· γράψαις ἀνίστης· γράψας ἀνίστη· ἐν δὲ ἐγκλίσεσι, γράψαις ἀνασταίην· γράψας ἀνάστηθι· τά τε μὴν ἐμμείναντα, λέγω διαθέσει ἢ χρόνων διαφοράν, τῷ ἀκαταλλήλῳ λόγῳ ὑποπίπτει, εἰ παρὰ τὸ δέον συνταχθείη:~

ζ. ὍΤΙ Τὰ συμπεσόντα μέρη τοῦ λόγου τῇ συνεμπτώσει βοηθεῖται μὴ εἶναι ἀκατάλληλα.

Ὁμόλογον δὲ ὅτι καὶ τὰ συμπεσόντα ἢ κατὰ γένος ἢ κατὰ πτῶσιν ἢ πρόσωπον, ἤ τι τῶν δυναμένων τὴν ταυτότητα ἀπενέγκασθαι κατὰ φωνήν, ἀπεστήσατο τῆς τοῦ ἀκαταλλήλου κακίας· ἐπεί τοι τὰ ἐν δεούσῃ συντάξει καταγινόμενα, μέτεισιν ἑτέραν σύνταξιν ἐν λόγῳ δυναμένην παραλαμβάνεσθαι, διὰ τὸ ἐγκείμενον τῆς φωνῆς. ἐὰν γάρ τι σοφὸς ἢ κλυτὸς ἤ τι τῶν δυναμένων ὑπὸ τριγένειαν πίπτειν. ἔστω δὲ καὶ τὸ θεός. ἤ τι τῶν δυναμένων κατὰ κοινότητα μόνον ἀκούεσθαι· ἐφ᾽ ὧν τῆς συντάξεως τὸ μὲν θεός, κἂν ἐπὶ θηλυκοῦ τάσσηται, ἀνενδοίαστον κατὰ γένος ἐστίν. οὔτε μὴν τὸ κλυτός· ἢ ἄγριος ταῦ τὸ πείσεται. καὶ ἔνθεν γνωρίζεται τὸ κλυτὸς ἐπιδέχεσθαι. καὶ ἄγριον ἄτην ἐν ὑπαλλαγῇ γένους καθεστῶτα. διὸ καὶ τὸ παρὰ Ἀθηναίοις μὰ τὼ θεώ, οὐκ ἐν τῷ θεὼ τὸ σχῆμα ἐπεδέξατο· ἐν δὲ τῷ συνόντι ἄρθρῳ· ὃ οὐ κοινωνοῦν τῷ θηλυκῷ ἐδείκνυεν, ὡς καὶ τὸ θεὸς νῦν ἀρσενικόν ἐστι. δῆλον γὰρ ὅτι εἰ ἀφαιρεθείη τὸ ἄρθρον, καὶ τὰ τοῦ σχήματος ἀποστήσεται. οὐ γὰρ ὅμοιόν ἐστι τῷ καλυψαμένῳ χρόα καλόν. οὐδὲ τῷ, οὐκ ἂν ἐφ᾽ ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ. εἴ γε τὰ τοιαῦτα αὐτῶν ἐπεδέξατο τὰ σχήματα.

τὸ δὲ προκείμενον διὰ τῆς τοῦ ἄρθρου παραθέσεως προφανὴς ὁ λόγος ἐπὶ ἁπάντων τῶν γενῶν. εἰ δέ τις μὴ ἐμπειρέστερον τὴν τάτων διάκρισιν γινώσκοι τοῦ γράφω καὶ ἔγραφον. φάναι χθὲς γράφω· ἐπεί γε μὴν παρατατικοῦ, χθὲς ἔγραφον. Ὁμόλογον δὲ κἀκεῖνό ἐστιν· ὡς τοῦ γράφω ἡ μετοχὴ γράφων. καὶ οὐ χεῖρόν τι φάναι χθὲς γράφων. ὅτι μὴ δὲ ἐχθὲς γράφω. ἀλλ᾽ οὖν γε παρεδέξατο ἡ μετοχὴ τὸ ἐπίρρημα, καθὸ συνέμπτωσιν ἐπεδέχε-

γω τὴν τοῦ παρατατικοῦ. φαμὲν οὖν οὕτως· ἔγραφον ὅτε ἠνιώμην ἐφ' ἧς συντάξεως ἡ μετάληψις γενήσεται, γράφων ἠνιώμην· ὁ αὐτὸς λόγος κἀπὶ τῶν ἀπαρεμφάτων. Πάλιν γὰρ τὸ γράφειν μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατὰ τὴν αὐτὴν φωνὴν ἐν τῇ προκειμένῃ συντάξει τῶν ἐπιρρημάτων, κατάλληλον ἀποτελεῖ λόγον· οἷον τί φάναι, συνέβη ἐχθὲς γράφειν Ἀπολλώνιον· καὶ συνέβη σήμερον γράφειν· ὅ γε μὴν ἐπὶ τῶν ἄλλα χρόνον ὑπαγορευόντων τὸ τοιοῦτον ἂν εὕροις, λέγω ἐπὶ τοῦ γράψειν ἐχθές. Ἐπεί γε μὴν πάλιν τοῦ ἀσυνεμπτώτου λέγω τοῦ γράψαι, συνέβη ἐχθὲς γράψαι Ἀπολλώνιον. ἔστι καὶ ἐπὶ διαθέσεως τὸ τοιοῦτον ἐπιδεῖξαι.

Τὰ γὰρ καλούμενα μεσότητος ῥήματα, συνεμπίπτουσιν ἀμφιδόξα τοῦ ἐνεργητικῆς καὶ παθητικῆς διαθέσεως· ὅσγε ἀκριβέστερον ἀποδείξομεν ἐν τῇ δεούσῃ συντάξει τῶν ῥημάτων· καὶ ἔνθεν οὐ παρὰ τὰς διαθέσεις ἁμαρτάνεται. Τὸ γὰρ ἐλουσάμην· ἐποιησάμην· καὶ ἐτριψάμην· καὶ τὰ τούτοις ὅμοια, ἔχει ἐκδηλοτάτην τὴν σύνταξιν· ὁτὲ μὲν ἐνεργητικήν· ὁτὲ δὲ παθητικήν· εἴγε τὸ ἔτριψα τοῦ ἐτριψάμην διαφέρει· καὶ τὸ ἔλουσα τοῦ ἐλουσάμην· παρακεῖται δὲ τὸ, ἐποίησα τῷ, ἐποιησάμην, καὶ ἔτι τὸ, προῆκα τῷ προηκάμην· οἵ γε μὴν ἀπειρότερον περὶ τὰς τούτων διαφορὰς καταγινόμενοι, οἴονται ἔσθ' ὅτε παθητικὰς διαθέσεις ἀντὶ ἐνεργητικῶν παραλαμβάνεσθαι, οὐ μικρὸν ἁμάρτημα προσάπτοντες τοῖς λόγοις. Τὸ γὰρ ἀντὶ ἐνεργητικοῦ παθητικῷ χρῆσθαι λόγῳ, ἔστι τοῦ ἀκαταλλήλου· οὐκ ἄν τις τὸ φύσει ἐνεργητικὸν· ἢ τὸ φύσει παθητικὸν εὕροι ἂν ἐν ὑπαλλαγῇ τῶν θέσεων· λέγω τὸ ἐποίησα ἀντὶ τοῦ ἐποιήθην· ἢ τὸ ἐποιήθην ἀντὶ τοῦ ἐποίησα. ὁμολόγως ὄντων τὸ ἀμφοτέρῳ κεκωπῶς, ἢ ἐπιπληκτικῶς ἀγορευθὲν, ἢ ῥάβδῳ ἐπιπληγέα· ὅτι ῥαθυμήσαντας ὁρᾶτο· τὰ τούτοις ὅμοια, ὡς διὰ τὸν προειρημένον λόγον τῆς μεσότητος οὐκ ἀνθυπήλλακται κατὰ τὴν διάθεσιν· κατὰ δὲ τὸν δέοντα λόγον τῆς συντάξεως, ἐπ' ἀμφοτέρας τὰς διαθέσεις ἔφθασαν. Ἔστι ὅτε ἐπὶ συνεμπτώσεων προσώπων τὸ ταυτὸ ἐπιδεῖξαι. Τὸ γὰρ νικῶ πρώτου ὂν προσώπου, οὐ μι-

τελίσεται ἐπὶ δευτέρου· καθὸ ἔχει δεύτερον τὸ νίκα σύ. ἀλλ' ἐπεὶ πάλιν προστακτικῆς διαφορὰ ἐν δευτέρῳ προσώπῳ ἀναμένει τὴν φωνήν, κἂν ἐπὶ δεύτερον τίθηται, καταλληλότητα ἀναδέχεται, ὡς ἔφαμεν γενόμενον προστακτικόν· μέτεισιν ὁ λόγος καὶ μέχρι τοῦ τρίτου. δύναται δὲ περιγράφεσθαι τῆς συνεμπτώσεως. διὰ τὴν προσιοῦσαν τοῦ ι γραφήν· ὁμοίως γοῦν ἀκουόμενον συνεμπίπτει τῇ προστακτικῇ προφορᾷ· καὶ ἔστιν ἐν τῷ δέοντι λόγῳ, ἐὰν ἡ ἐπακολουθοῦσα αὐτῷ ἔγκλισις συνῇ, λέγω ἡ εὐκτική· ὡς ἔχει τὸ παρὰ Ἀλκμᾶνι· νικῷ δ' ὁ κάρρων. καὶ ἔστιν ἐν τῷ ὁμηρικῷ τρόπῳ· δόρυ νήϊον ἀνὴρ ἰθύνει. σαφὲς γὰρ ὅτι ἐν ὁριστικῇ ἐγκλίσει ἀκατάλληλόν ἐστιν· ἐν δὲ τῇ εὐκτικῇ κατάλληλον· ὥς γε καὶ ἐν τοῖς προκειμένοις· τὸ μὲν νικῷ ἐγὼ πρὸς τὸ νικῶ σύ, ὁριστικὸν γὰρ ὄν, ἀκατάλληλόν ἐστι· χρὴ γὰρ νικᾷς σύ· προστακτικὸν δὲ ἀκατάλληλον. ἀπόχρη τὸ παράδειγμα εἰς ἀφορμὴν τῶν παραπλησίων τοῖς ἀνελλιπέστερον ἐκκλίνουσι τὰ ῥήματα. ἔστι καὶ ἐξ ἀριθμοῦ τοῦ ἐν ὀνόμασι ταὐτὸ ἐπιδεῖξαι. τὸ, γὰρ φίλων ἤ τι τῶν τοιούτων, γενικῆς ὂν πληθυντικῆς τριγενείας τῆς ὑπούσης, σύνταξιν ἀπαιτήσει κατὰ τὴν ταυτότητα τοῦ προσώπου γενικῆς πληθυντικῆς· οὐκ ἐν γένει δυναμένην ἀκατάλληλον διὰ τὸ συγκεχυμένον τοῦ γένους· οἷόν τε γὰρ φάναι, φίλων περιπατούντων· καὶ φίλων περιπατουσῶν· ἔν γε μὴν πτώσει ἢ ἀριθμῷ εἰ φαίη τις, φίλων περιπατοῦντες, ἢ περιπατοῦντος, οὐ μὴν ἐν τῷ φίλων περιπατεῖν ἢ περιπατεῖ· ἐπεὶ πάλιν εὐθεῖα γενικῇ συμπέπτωκε. πάλιν γὰρ προφανὴς ὁ λόγος ἐπὶ τῶν ὁμοίων· ἀλλὰ καὶ περὶ ῥημάτων· τὸ γὰρ ἔλεγον καὶ τὰ ὅμοια ἑνικά ἐστι πρώτου προσώπου· ὅμοια ὄντα τῷ ἔγραψα, ἔλεξα· ἐφ' ὧν εἴ τις φαίη ἔλεξα ἐκεῖνοι, ἀκατάλληλον λόγον παραστήσει. καὶ ἕνεκα τοῦ πρώτου προσώπου, καὶ ἕνεκα τοῦ ἀριθμοῦ· οὐ μὴν ἐν τῷ ἔλεγον ἐκεῖνοι. πάλιν γὰρ ἡ συνέμπτωσις ἡ πρὸς τὸ τρίτον πληθυντικὸν, τὸ ἀκατάλληλον παρῄτηται. καθὸ δέ τοι σύνταξις ἐγίνετο ἡ πρὸς τὸ πληθυντικόν. Ὑπεξῃρήσθω τὰ δωρικά· ἡ γὰρ παρ' αὐτοῖς

καταβιβαζομένη ἡ ὀξεῖα ἐπὶ τὸ πληθυντικόν, ἀφίστησι τὴν πρὸς τὸ ἑνικὸν συνέμπτωσιν. ὅθεν καὶ κατὰ τὰς πτώσεις τὸ τοιοῦτον παρεστήσαμεν. τὰ γὰρ ἀπὸ μὲν εὐθείας εἰς ἑτέρας πτώσεις, τὰς αὐτὰς παραλλαγὰς τῶν τόνων ἐμφανίζει ἃς παραδεχόμεθα ἢ κατὰ τὸν τῶν χρημάτων λόγον. ἀθυμότερον δὲ καλεῖ τοῦτο τὸ τοιοῦτον ἐνδεξάμενος. ἢ ἀπαραδέκτους ποιούμεθα κατὰ τὸν τοῦ ἀκαταλλήλου λόγον. ὁ χρυσόπτιλησσα γὰρ ἀρχαϊκῇ χρήσει, ἀπειράκις κατὰ τὸ αὐτὸ παρειλημμένη. τὸ ἥλιος θεὸς παντὶ φορᾶς. Διὶ φίλος. ὦ φίλτατ' Αἴας. ἀπειράκι τὰ τούτοις ὅμοια τὸ ἀττικὸν σχῆμα παραστήσει. καθότι ὡς ἔφαμεν ἡ κλητική, ἕτερον τέλος ἀπαιτεῖ. ἢ ἀντεστραμμένως ὅτι κλητικὴ ἀντὶ εὐθειῶν παραλαμβάνεται. κατὰ μακεδονικὸν ἔθος. ἢ θεσσαλονικόν, ὡς οἱ πρὸ ἡμῶν τὸ τοιοῦτον ἐπιστώσαντο. Αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι. συγχέοντες καὶ τὸ ἄρθρον τὴν παραλλαγὴν τῆς πτώσεως. ἀλλ' ὁπηνίκα ἡ κλητικὴ καὶ ἡ εὐθεῖα συνεμπίπτει, εὐθέως καὶ τὰ προκείμενα τῶν σχημάτων ἀφίστανται. οὐδετέρας γὰρ τῶν πτώσεων εἰς ἔλεγχον τοῦ σχήματος δύναται παραλαμβάνεσθαι. οὐ δῆ ὅτι ἡ κλητικὴ ἀντὶ εὐθείας. ἢ δ' ὅτι ἡ εὐθεῖα ἀντὶ κλητικῆς:~

## ή. ΟΤΙ Η ΣΥ ΜΑΛΛΟΝ ΕΥΘΕΙΑΣ ΕΣΤΙΝ Η ΚΛΗΤΙΚΗΣ ΩΣ ΟΙΕΤΑΙ ΤΡΥΦΩΝ.

Καὶ δῆλον ὅτι διὰ τὴν τοιαύτην σύμπτωσιν Τρύφων ἐν τῷ περὶ προσώπων αἴτιος ἀφορμῆς ἐγένετο τοῖς ἐθέλουσι πρὸς αὐτὸν ἀντιλέγειν. οὐ παραδεξάμενος τὴν συνέμπτωσιν τῆς εὐθείας καὶ τῆς κλητικῆς ἐπὶ τῆς σὺ ἀντωνυμίας. φησὶ γὰρ μόνης εἶναι κλητικῆς. διὸ σύνταξιν τὴν πρὸς τὸ δεύτερον πρόσωπον τῶν ῥημάτων. ὡς γὰρ φαμὲν Ἀρίσταρχε γράφε, καὶ ἔτι ἐπὶ ὁριστικῆς προφορᾶς, Ἀρίσταρχε ἀναγινώσκεις, ἢ κατ' ἐπερώτησιν, τὸν αὐτὸν δὴ τρόπον, καὶ τὸ σὺ γράφε, ἢ σὺ γράφεις, τὴν κλητικὴν ὁμολογεῖ. Κἀκεῖνο δὲ παρατίθεται. ὡς εἰ μὲν εὐθεῖα, ἐν τρίτῳ προσώπῳ νοεῖται, ἤγε μὴν κλητικὴ ἐν δευτέρῳ. οὐ δῆτα ἡ σύ. ἄδηλον ὅτι κατὰ τὸν λόγον τῆς κλητικῆς ἐπιστῆναι πρὸς τὸ ζητῆσαι-

ται, πῶς ἂν συσταίη κλητικὴ εὐθείας μὴ οὔσης· τό, καὶ εὐθείας γε μὴν οὔσης μὴ ὑπάρχειν κλητικήν· ἐπεὶ τὸ ἐκεῖνος καὶ τὸ αὐτός· ἀλλὰ τῶν οὐ δυναμένων κλητικὴν ἐπιδέξασθαι. τὴν πρὸς αὐτὸν ἀντίρρησιν γινομένην, ἐπιτομώτερον ἐκθησόμεθα· ἐκεῖνο ἔτι προστιθέντες ὡς μᾶλλον παρακινδυνεύεται· ἡ σὺ ἀντωνυμία κατὰ τὴν τῆς κλητικῆς σύνταξιν, ὡς οὐδὲ ὄντως παρειλημμένη ἤπερ κατὰ τὴν τῆς εὐθείας. ἔχει δὲ τὰ τοῦ λόγου οὕτω· τὸ πρῶτον, ὅτι μάτην ἐν τοῖς ὀνόμασιν εὐθεῖα παραβάλλεται τῇ τῶν ἀντωνυμιῶν· τοῦ καὶ ἐν δευτέρῳ προσώπῳ ἐν εὐθείᾳ παραλαμβάνεσθαι· οὐδὲν ἀμείνων τῶν ὀνομάτων τὸ τοιοῦτον ἀναδέξασθαι, καθὼς παρεστήσαμεν· ἀλλά, καθὸ δεύτερον πρόσωπον, διὰ τοῦτο κλητικὴ ἐστίν. κωλύει καὶ τὰς ὑπολοίπους τῶν πλαγίων κατὰ δεύτερον πρόσωπον κλητικὰς εἶναι. καθάπερ οὖν ἐκεῖναι ἀντὶ ὀνομάτων ἐν πλαγίᾳ πτώσει κεκλιμένων παρελήφθησαν, οὕτω καὶ τό, ἡ σὺ ἀντὶ εὐθείας. εἰ τό, σοὶ ὄντι ἀγαθῷ, καὶ σὲ ὄντα ἀγαθὸν τῶν αὐτῶν πτώσεων, δῆλον ὅτι καὶ τὸ σὺ ὢν ἀγαθός· εἰ τὰ ῥήματα μιᾶς συντάξεως ἔχεται, καὶ τὸ ἐγὼ εἰμὶ ὀρθῶς, καὶ τὸ ἐκεῖνός ἐστιν ὀρθῶς, δῆλον ὅτι καὶ τὸ σὺ εἶ, τῆς αὐτῆς πτώσεως εἴη. εἰ οὐ μὴν Ἀρίσταρχε εἶ, οὐ δὲ γραμματικὲ εἶ, πῶς οὐ δοθήσεται, ὅτι τὸ σὺ εἶ ἐν εὐθείᾳ σύνταξίς ἐστιν. οὐδὲ γὰρ ἐκεῖνο ἀληθές ἐστιν, ὡς ἁπάντοτε αἱ εὐθεῖαι τῶν ὀνομάτων ἐν τρίτοις καταγίνονται, καθὼς ἀπεδείξαμεν· ὅτι τὰ ὑποτακτικὰ τῶν ῥημάτων τὰς εὐθείας συγκλείει εἰς τὸ πρῶτον καὶ δεύτερον πρόσωπον. εἴπερ τὰ πρῶτα πρόσωπα πληθυντικὰ ὄντα, σύλληψιν ἀναδέχεται δευτέρου καὶ τρίτου τῶν κατὰ τὴν αὐτὴν πτῶσιν, ἡνίκα φαμὲν κατὰ μὲν μερισμόν, ἐμοί· σοί· καὶ Διονυσίῳ, ἐλάλησε Τρύφων· κατὰ δὲ σύλληψιν, ἡμῖν ἐλάλησε Τρύφων καὶ ἐπὶ τῶν λοιπῶν, πῶς οὐκ ἂν δοθείη τὸ ἐγὼ καὶ σὺ καὶ Τρύφων ἐν ταῖς αὐταῖς πτώσεσι καταγίνεσθαι· συνόντος πάλιν τοῦ κατὰ σύλληψιν πληθυντικοῦ ἐν εὐθείᾳ, ἡμεῖς περιεγινόμεθα. ἔστι καὶ ἐκ τῆς συντάξεως τῶν συνδέσμων τὸ τοιοῦτον παραστῆσαι· συνδεόμενα, τὰ πτωτικὰ κατὰ τὴν αὐτὴν κοινότητα τῶν ῥημάτων, πάντως καὶ τὰς

καὶ τῆς πτώσεως ἔχεται· ἢ ἐμοὶ χαρίζεται Τρύφων, ἢ σοί, ἢ Διονυ-
σίῳ· ἢ ἐμοῦ ἀκούει Τρύφων, ἢ σοῦ, ἢ Θέωνος. ἔστι σαφὲς ὅτι τὸ πα-
ρεμπῖπτον ἀλλότριον τῆς πτώσεως, ἢ σολοικισμὸν ποιήσει, ἢ πα-
ρέμπτωσιν ἑτέρου ῥήματος, ἢ ἐμοῦ ἀκούει Τρύφων· ἢ σοῦ· ἢ Δίωνος· διὰ
τὴν κοινότητα τοῦ ῥήματος· ἐπεὶ οἷόν τε φάναι, ἢ ἐμοῦ ἀκούει Τρύ-
φων, ἢ σοὶ ὁμιλεῖ· ὁμολόγως οὖν ὄντος τοῦ ῥήματος, καὶ λόγου
καταλλήλου ὄντος, δίδοται καὶ τὰς αὐτὰς πτώσεις εἶναι. ἢ ἐγὼ οὖν
ἀπέρχομαι, ἢ σύ, ἢ Διονύσιος· καὶ εἰ μὲν ἀκατάλληλος ὁ λόγος,
εἴη ἂν τὸ σὺ ἑτέρας πτώσεως· εἰ δὲ κατάλληλος, δίδοται καὶ τὸ εὐ-
θείας εἶναι. ἀλλ᾽ οὐδὲ κἀκεῖνο δίδωμι, ὡς καὶ τὸ σὺ γράφεις· ἔστιν ἐν ἐγ-
κλιτικῇ συντάξει· ὅπερ ἐνούμενον εὐθείας ἐστὶν ἐμοί, τὸ ἐγὼ γρά-
φω· κἀκεῖνος γράφει. ἐπερχόμενον δὲ κατὰ τὴν σὺ καὶ ἐπιστρέ-
φον τὸ προσφωνούμενον, κλητικὴν ὁμολογήσει, οὐ δεόντως παρει-
λημμένην κατὰ τὸ ἀντωνυμικὸν ἔθος. ἐδείξαμεν γὰρ ὅτι οὐ δυνα-
μένων τῶν ὀνομάτων παραλαμβάνεσθαι κατὰ τὸ πρῶτον καὶ δεύ-
τερον πρόσωπον, ἐπενοήθη τὸ μόριον· ἡ δὲ κλητικὴ τῶν ὀνομάτων
φθάνει κατὰ τὸ δεύτερον· καὶ σαφὲς ὅτι ἐν κλητικῇ περιττὴ ἡ ἀν-
τωνυμία ἐστίν. οὐδὲ γὰρ ἔχει ἀπολογίαν ἥνπερ ἔχουσιν αἱ κατὰ τὸ
τρίτον πρόσωπον ἀντωνυμίαι ὡς δυναμένων τῶν ὀνομάτων πα-
ραλαμβάνεσθαι κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον ἐπενοή-
θη τὸ μόριον ἡ δὲ κλητικὴ τῶν ὀνομάτων φθάνει κατὰ τὸ δεύτερον.
ἄρα σαφὲς ὅτι ἐν κλητικῇ, περιττὴ ἡ ἀντωνυμία ἐστίν· οὐδὲ γὰρ ἔχει ἀπο-
λογίαν ἥνπερ ἔχουσιν αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι· ὡς
δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι, περιτταὶ αὗται ἐγίνον-
το, ἐφ᾽ ὧν ἦν λόγος ὡς ἕνεκα τῆς δείξεως ἢ τῆς ἀναφορᾶς παρειλημ-
μέναι εἰσί· καθὸ ἀδυνατεῖ πάλιν τὸ ὄνομα, τὸ τοιοῦτον ἐμφανί-
σαι· παραλαμβανομένη δὲ ἡ σὺ κατὰ κλητικήν, οὔτε ἀναφορὰν ἠδύ-
νατο παραστῆσαι, δευτέρου δὲ προσώπου, ὅτε τὴν δεῖξιν καθὸ οἱ
προσφωνούμενοι ἐπιστρέφονται· καὶ ἐδείκνυνται· ὅπου γε τοὺς
μὴ ὑπ᾽ ὄψιν πίπτοντας φθάνει ἡ κλητική· οὓς γοῦν προσφωνοῦμεν διὰ
τὰς ἀντωνυμίας, δυνάμει ἀνάγκην ἔχουσι· σαφὲς ὅτι ἐπιζητοῦντες

τὸ ἴδιον ὄνομα. καίπερ οὖν τῶν συζυγιῶν ἀντωνυμιῶν τοῦ τοιούτου παρεπομένου. οὐ γὰρ ἐνεχώρει ἡ ὀνοματικὴ θέσις. καθὼς ἐπεδείξαμεν. πῶς οὖν οὐ δεόντως παραλαμβανομένη ἀντωνυμία, παράξεται μὲν τὴν ἀναγκαίως παρειλημμένην κατὰ δεύτερον πρόσωπον ἐν εὐθείᾳ πτώσει. αὕτη δὲ ἀποίσεται τὸ, μόνης εἶναι κλητικῆς. πιθανὸν οἶμαι ἐπεισάγειν ἄλλας συντάξεις. τοῦ λόγου ἀνενδοιάστως ἀποδειχθέντος.

θʹ. Περὶ κλητικῆς, τὸ μὴ δύνασθαι συστῆναι ἐν ἀντωνυμίαις.

Ἐκεῖνό γε μὴν οὐ δοκεῖ μοι παρέλκειν, τὸ, καὶ ὑπὲρ τῆς ὑπολοίπου κλητικῆς, λέγω ἐν ἀντωνυμίαις προσδιασαφῆσαι. ὡς κατὰ τὸν αὐτὸν μὲν λόγον καὶ αἱ δυϊκαὶ καὶ αἱ πληθυντικαὶ συνεῖσι. καὶ ἐν κλητικῇ, τοῦ αὐτοῦ ὑπάρχοντος λόγου. πάλιν γὰρ ὁμοφωνίας οὔσης πρὸς κατ' εὐθεῖαν. ὥστε μὴν γὰρ πρώτῳ ἢ τρίτῳ καθότι οὔτε ἑαυτόν τις προσκαλεῖται, οὔτε τὰ ἀπόντα καὶ κεχωρισμένα τῶν προσώπων.

Κλητικὴ γὰρ παρόντος προσώπου, πτῶσίς ἐστι. τοσαύτην ἔχοντος ἀπόστασιν, ἐφ' ὅσην ἂν ἡ φωνὴ συντείνῃ. ὀρθῶς οὖν οὔτε ἡ αὐτὸς κλητικὴν ἔχει, ἄπεστι γὰρ, οὔτε ἡ ἐκεῖνος. εἰς ἀπόστασιν γὰρ προσώπου ἐπενοήθη. ἥτις μάχεται τῷ ἰδιώματι τῆς κλητικῆς. ἡ γοῦν οὗτος, οὕτω τὰ ἐπιδειξαμένη ταῖς προκειμέναις ἀντωνυμίαις, δεόντως καὶ ἐπὶ κλητικῆς τίθεται. διὸ καὶ μάτην κατεμέμψαντο τὴν τῶν ἀρχαίων χρῆσιν. αὐτὸ μόνον ὑπολαβόντες, ὡς τὸ δεύτερον πρόσωπον ἐν ἀντωνυμίαις, ἀπαράδεκτόν ἐστι κλητικῆς πτώσεως. ἣν γὰρ τὸ οὗτος δεύτερον. τοῦτο γὰρ παρεπόμενον τῷ δευτέρῳ ἐστίν. ἐπεὶ καὶ τὰ ὀνόματα δευτέρου προσώπου ἐστὶ. καὶ οὐκ ἀμοιρεῖ κλητικῆς πτώσεως.

Ἀκόλουθόν ἐστι διαλαβεῖν καὶ περὶ τῶν ἐν ταῖς κτητικαῖς κλητικῶν. αἱ μὲν οὖν τοῦ πρώτου προσώπου, ἕνεκα τοῦ παρεπομένου λόγου, συνίστανται ἐπὶ τῆς συνήθους χρήσεως. οἷόν τε γὰρ προσφωνεῖν τὰ ὑπακούοντα κτήματα. ὅπου γε καὶ ἐν εὐθείᾳ δευτέρου προσώπου λέγεται κατὰ τὰς ὑπαρκτικὰς συντάξεις. ὁ ἡμέτερος ὑπάρχεις φίλος. ἐμοὶ εἶ γνώριμος. ἀλλὰ πατὴρ τινὸς εἰμὶ. ἐστὶ δὲ

καὶ τὸ τῆς χρήσεως· ἡνίκα ὁ Νέστωρ τοῖς ἰδίοις παῖδας προσφω-
νεῖ· παῖδες ἐμοὶ· καὶ ἔτι παρὰ Καλλιμάχῳ· ὦ ἐμαὶ τὸ ἀπιότερον
ἄγκυραι· ἔστι τῆς συλλαμβανούσης τοῖς ἄλλοις παῖδας ἀθηναί-
ων πάτερ ἡμέτερε κρονίδη· ἤγε μὴν κατὰ τὸ τρίτον, ὑπὸ μὲν τοῦ λό-
γου συνίσταται· οἷον τί γὰρ τὸ τινὸς κτῆμα, ὡς ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ
τῶν κτητικῶν ὀνομάτων· καὶ ταῦτα γὰρ ἐν δυσὶ τρίτοις καταγινόμε-
να, ἔχει χρῆσιν τῆς κλητικῆς· Ἀριστάρχει· Ἀνδρεῖε αἰώνιε· ὅπερ
μὲν συμβαίνῃ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν· συσταίη δ' ἂν ἡ σφέτερε· οὐ γε μὴν
τὰ τῆς χρήσεως ἐγγένοιτο ἡμῖν ἐμφανῆ· τὰ γὰρ ἐπὶ δευτέρου προσώ-
που μόνον ἡ χρῆσις κατείληφεν, ἀλλὰ καὶ ὁ λόγος ἀδυνατεῖ ἐπέ-
χειν· οὐχ ὡς οἴεται Ἄβρων ὅτι διάφορος ὁ ἐπ' αὐτῆς ἀριθμὸς γίνεσ-
ται· τὸ γὰρ ἡμέτερε φησὶ, πληθυντικὸν μὲν ἀκουσθήσεται κατὰ
τὸν κτήτορα· ἑνικὸν δὲ κατὰ τὸ κτῆμα, καὶ σαφὲς ὅτι δύσει τὸ
ὑπάρξαι κλητικὴν δευτέρου προσώπου, ἰσαρίθμως καθεστώσης τῆς
ἀντωνυμίας· εἴπερ φαίνηται ὑμέτεροι· ἔστιν οὖν αἴτιον τὸ μὴ συνί-
στασθαι τὴν ἀντωνυμίαν, τὸ διάφορον τῆς συντάξεως· ἔχει τοῦ τε λό-
γου οὕτω· Πᾶν πρόσωπον πληθυντικὸν συνίσταται ἐξ ἑνικῶν ὁ-
μοιοτρόπων· ἐάν τε δὴ κατὰ σύλληψιν ἐστὶ διαφόρων προσώ-
πων, ἐάν τε καὶ ἐξ ὁμοειδῶν συνέστηκε· διαφόρων μὲν οὖν προσώ-
πων· ἐμὲ καὶ σὲ καὶ τοῦτον ἐθεάσατο Τρύφων· ἐμοὶ δὲ σοὶ καὶ τοῖς
περὶ Διονύσιον ἐλάλησε Τρύφων· ὃ γίνεται· ἡμᾶς ἐθεάσατο· ἡ-
μῖν ἐλάλησεν· ἐκ δὲ τῶν αὐτῶν προσώπων· σὲ καὶ σὲ ἐθεάσατο Δίων·
ὑμᾶς ἐθεάσατο Δίων· τοῦτον καὶ τοῦτον μέμφομαι· τούτους μέμφο-
μαι· δέδοται μέντοι τὸ τοιοῦτον, δέδοται κἀκεῖνο· ὡς πάντα τὰ πρόσω-
πα προσφωνήσεις ἔχει τὰ πρὸς αὐτά· ὡς ἔχει τὸ ὑμῶν· ὑμεῖς· τὸ δὲ οὖν
ὑμέτεροι δευτέρου ἐστὶ προσώπου κατ' ἄμφω τὰ πρόσωπα· καὶ δὴ
προσφωνοῦνται οἱ κτήτορες ἕνεκα τῆς ἐγκειμένης ἀντωνυμίας· καὶ
τὰ κτήματα ἕνεκα τῆς ἐπιστρεφομένης κλητικῆς· ἀμφότερα ἄρα δεύ-
τερα καθεστῶτα διάφορά ἐστι κατὰ τὰς συντάξεις· ἐπεὶ γενικὴ
μὲν ἔγκειται τῶν κτητόρων· κλητικὴ δὲ τῶν κτημάτων διὸ καὶ οὐκ
ἀπεργαζόμενοι μόνον πρὸς τὴν χρῆσιν περιγράφομεν τὰς ἀντω-

νυμίας· πρὸς τὸν ἐκτιθέμενον λόγον· ἐπεὶ καὶ ἡ χρῆσις τοῦ ἐμός, τὸ κλητικὸν παρεδέξατο, ὡς ὁμόφωνον αἰτιατικῇ τῇ ἐμέ· καὶ ἴσως τοῦτο αἴτιον ἐγένετο τῆς ἐλλείψεως· καθὸ παραλαμβανόμενον ἔμφασιν ἀκατάλληλον λόγου παρίστανε. Δεόντως γοῦν ἀττικῷ σχήματι συνεχρήσατο ὁ ποιητής· κατεπείξαντος τοῦ λόγου παραλαβεῖν τὸ κλητικὸν σχῆμα, ἐν τῷ γαμβρὸς ἐμὸς θύγατέρ τε· πῶς ἀρουσθείη διὰ τὸν προκείμενον λόγον· καὶ διὰ τὰ συνυπάρχοντα αὐτῷ ἡνίκα κατὰ γένος· οὐδετέρως μὲν τέκνον ἐμόν· θηλυκῶς δὲ μῆτερ ἐμή· τούτων γὰρ ὑπαρχόντων, ἀνάγκη καὶ τὸ ἀρσενικὸν συνυπάρχειν.

Εἴρηται ἡμῖν περὶ συνεμπτώσεως τοῦ ἐμοῦ· πότε κτητική ἐστι καὶ πότε πρωτότυπος. Ἡνίκα καὶ περὶ τῆς ζηνοδοτείου γραφῆς διελαμβάνομεν. Πρόδηλος τίς ἐστι καὶ ἡ ἐμοὶ καὶ σοὶ ἀντωνυμία συνεμπίπτουσα πληθυντικῇ συνάρθρῳ· καὶ δοτικῇ ἑνικῇ κατὰ πρῶτον καὶ δεύτερον· οὐ μὴν οὖν κατὰ τρίτον. ὀρθοτονουμένη γὰρ ἡ ἑνικὴ περισπᾶται· ἤγε μὴν κτητικὴ ὀξύνεται· σαφὲς δ' ὅτι ἐγκλιθεῖσαι αἱ πρωτότυποι, ἀποβάλλουσι τὴν συνέμπτωσιν· διὸ κἀκεῖνο τὸ ἀνάγνωσμα οὐκ ἐγκλινόμενον, τὴν κτητικὴν ἀντωνυμίαν σημαίνει. Οἱ δέ οἱ ἐβλάφθησαν· ἐγκλιτικῶς γε μὴν ἀναγνωσθέν, ἡνίκα ὀξύνομεν τὴν δευτέραν συλλαβήν, ἔθος τηρεῖ ὁμηρικόν· τὸ δοτικὴν ἀντὶ γενικῆς παρειλῆφθαι.

Εἴπομεν καὶ περὶ συμπτώσεως τῶν ἄρθρων. Ὡς τὰ ὑποτακτικὰ ταῖς κτητικαῖς κατὰ τὸ τρίτον πρόσωπον ὁμοφωνεῖ· καὶ ὡς πάλιν διὰ τὸ τοιοῦτον, πληθυντικῶν μὲν συνόντων κτητικαί εἰσιν ἀντωνυμίαι τὰ τοιαῦτα. Ὃν γόνον· οὕνεκα ἔργῳ παιδί· ᾧ θυμῷ· ἣ κεφαλῇ φορέειν· ἢ ἑαυτοῦ ὃν χρεῖος. Ῥημάτων δὲ ἐπιφερομένων, πάλιν κατάλληλα τὰ σχήματα γίνεται, ἀρθρικὴν ἀναδεξάμενα σύνταξιν. Εἴγε καὶ τὸ τοιοῦτον ἐδέχθη· ὡς καὶ τὰ ὑποτακτικὰ ἄρθρα, ἐπὶ ῥῆμα φέρεται· ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκε· τοῦ ἑξῆς ὄντος, ἣ ἔθηκε μυρία κακὰ τοῖς Ἕλλησι γάρ. ὅς ποτε μειρόμενος· ὃς εἰρόμενός με. Δυσέφικτόν ἐστι τὴν

Η Θ

ἐν ἅπασι τοῖς μέρεσι τοῦ λόγου συνεμπίπτωσι παραθέσθαι· Ἀρκετὸν γάρ ἐστι καὶ ἡ προκειμένη εἰς τὸ παραστῆσαι τὴν ὑπόλοιπον συνέμπτωσιν:~

ι. ὍΤΙ ΤᾺ ΣΥΝΕΜΠΊΠΤΟΝΤΑ ΤΩ͂Ν ΜΕΡΩ͂Ν ΤΟΥ͂ ΛΌΓΟΥ ΣΟΛΟΙΚΊΖΕΤΑΙ ΕἼΠΕΡ ΤᾺ ΜΟΝΑΔΙΚΆ:~

Οὐ μὴν ἐκεῖνο ἄξιόν ἐστι παραλιπεῖν· διότι ἐπὶ μὲν ἀρσενικῶν καὶ θηλυκῶν εὐθειῶν πληθυντικῶν, προφανὴς γίνεται τὸ ἀκατάλληλον ποιούμενοι σύνταξιν τὴν πρὸς τὸ ἑνικόν· εἰ φαίημεν οἱ ἄνδρες λέγει· αἱ γυναῖκες λέγει· οὐ μὴν κατὰ τοῦ οὐδετέρου προφοράν· κἂν τὸ αὐτὸ δηλούμενον ἢ μόνου τοῦ χαρακτῆρος ἐνηλλαγμένου· εἰ φαίημεν τὰ γύναια λέγει· οὐδὲ γὰρ ἐκεῖνο τὸ ἄπορον ἐπιλύει· ὅ τε βοιώτιόν ἐστιν ἔθος ὅμοιον τῷ παρὰ πινδάρῳ·

Ἀχεῖται ὀμφαὶ μελέων σὺν αὐλοῖς· αὐτὸ γὰρ τοῦτο ἐπιζητεῖ ὅλως· ὡς λανθάνει τὸ σχῆμα τὸ τοῦ οὐδετέρου· ὅτι γὰρ οὐδὲν ἧττον ἡ τοῦ γένους σύνταξις ὑπεκλύει τὸν λόγον, ὡς ὅτι τὰ οὐδέτερα ἁρμόδιά ἐστι τοῖς ἑνικοῖς, σαφὲς ἂν εἴη τοῦ ἐν μόνοις ἀπτώτοις ἀδιαφορεῖν τὴν τῶν γενῶν σύνταξιν· πᾶν γὰρ μέρος λόγου ἄπτωτον, μίαν καὶ τὴν αὐτὴν ἔχει σύνταξιν ἅπασι τοῖς γένεσιν· ἔστι δὲ καὶ οὕτω φάναι· Ἐδείξαμεν ἐν τοῖς προκειμένοις, ὡς οὐδὲν μέρος λόγου γίνεται ἀκατάλληλον, ἐν ᾧ μὴ διῃρέθη· οἷα τὰ ἐπιρρήματα ἐν ἀριθμῷ· χωρὶς εἰ μὴ αὐτὰ δηλώσει ἀριθμὸν οὐκ ἐν διαφόροις χρόνοις· χωρὶς εἰ μὴ αὐτὰ πάλιν διαστέλλει χρόνῳ· ὡς ἐν τῷ χθὲς· αὔριον· καὶ ἄλλοις, οἷς παρεθέμεθα· οἱ σύνδεσμοι ἀριθμὸν οὐκ ἐπιδεξάμενοι, οὐδὲ περὶ τοὺς ἀριθμοὺς ἁμαρτάνονται· ἀλλ᾽ οὐδὲ γένος, πρόδηλον τὸ εἰρημένον ἐπὶ πάντων τῶν μερῶν τοῦ λόγου:~

ια. ὍΤΙ ΤῸ ΣΠΆΡΤΑ ΛΈΛΥΝΤΑΙ ΚΑΤΑΛΛΗΛΌΤΕΡΟΝ ΤΟΥ͂ ΔΟΥ͂ΡΑ ΣΈΣΗΠΤΑΙ:~

Τὰ δὴ ῥήματα, γένος μὲν οὐ διακρίνει· ἀριθμὸν δὲ καὶ πρόσωπον· ἃ ἅμα περὶ ἃ ἀκαταλληλία γίνεται· οὐκ ἄρα ὀφείλει γινώσκειν ἐν δια-

φόρῳ σχήματι τὸ οὐδέτερον· καὶ ἐν διαφόρῳ τὸ ἀρσενικὸν ἢ τὸ θηλυκόν. πῶς οὖν φαμὲν λέγουσιν οἱ ἄνθρωποι· καὶ λέγει τὰ παιδία; Εἰ δὲ ἀριθμὸν παρεμφαίνει, σαφὲς ὅτι συμπληθυνθήσεται τοῖς συνοῦσι πληθυντικοῖς· καὶ δῆλον ὅτι τὸ ἀπαρέμφαλέλυνται, ἀναλογώτερον τὸ δυσχερασθήσεται· παρὸν κἀκ τῶν πρώτων καὶ δευτέρων διελέγξαι τὸ σχῆμα. εἰ γὰρ ὑγιὲς τὸ φάναι φιλοπονοῦμεν παιδία ὄντα, οὐχὶ φιλοπονοῦσι παιδία ὄντα, καὶ ἔτι τῶν δευτέρων προσώπων ταὐτό, πῶς οὐ δοθήσεται· ἄλογον μὲν καθίστασθαι, τὸ φιλοπονεῖ παιδία ὄντα· καὶ αὕτη μὲν ἀπόδειξις ἐστὶ τοῦ ὑγιοῦς λόγου. Αἴτιον μέντοι ὑπολαμβάνω τοῦ παραδέξασθαι τὴν τοιαύτην σύνταξιν τὰ ῥήματα οὐκ ἄλλο τι, ἢ τὴν ὁμοφωνίαν τῆς εὐθείας ὡς πρὸς τὴν αἰτιατικήν. Ὅπερ οὐ παρέπετο τοῖς τε ἀρσενικοῖς καὶ θηλυκοῖς. διὸ καὶ ἐν τῇ εὐθείᾳ προφανὴς ἡ ἀκαταλληλότης γίνεται, ἐν τῷ οἱ ἄνδρες γράφει· οὐ μὴν ἐν αἰτιατικῇ· ἐν μεταβάσει γάρ, τὸ πρόσωπον νοεῖται τοῦ, γράφει· ἄνδρας γράφει. Ἀναμερισθεῖσαι γοῦν αἱ πτώσεις ἐν ἰδίαις φωναῖς, δείκνυσι τό, τε κατάλληλον καὶ ἀκατάλληλον. οὕτω τοιούτου δὲ παρεπομένου κατὰ τοὐδέτερον σχῆμα συνέβαινε τὸ μὲν ἕτερον φυσικώτερόν πως ἔχει· λέγω τὸ κατ᾽ αἰτιατικήν. Φέρε εἰπεῖν γράφει τὰ παιδία, ὥσπερ καὶ γράφει τοὺς παῖδας· κἀπεὶ ἐν μὲν τῷ ἀρσενικῷ οὐχ αἱ αὐταὶ φωναί, γράφει γὰρ οἱ παῖδες· ἐν δὲ τῷ οὐδετέρῳ ταὐτό, ὅπερ ἦν ἀνακόλουθον τῇ πρὸς τὴν αἰτιατικὴν ὁμοφωνίᾳ, συντρέχον τὸ σχῆμα, δυσέλεγκτον ἐποίει τὸ ἀκατάλληλον· καὶ διότι λανθάνει.

Τίς ἡ ἀφορμὴ τοῦ συντάσσεσθαι τὰ ἀπαρέμφατα τοῖς ῥήμασι· καὶ εἰ ἐπιρρήματά εἰσιν ἢ οὔ· καὶ ὅτι τὸ ἀπαρέμφατον καὶ τὸ ἐπίρρημα οὐ ταὐτόν ἐστιν. ιβ΄.

Ἑξῆς ῥητέον καὶ περὶ τῆς καθολικῆς συντάξεως τῶν ῥημάτων· ἣν πάνυ δεῖ λῆψεσθαι, πολυμερεστάτην οὖσαν δεῖσθαι οὐ μετρίας ἐπιστάσεως· αἵ τε γὰρ παρεπόμεναι ἐγκλίσεις λόγον ἀπαιτήσουσι τῆς συντάξεως· καὶ οἱ ἐν αὐταῖς ἀναμερισθέντες χρόνοι· καὶ ἡ συμπαρε-

Η Θ ιι

μὲν ἡ διάθεσις ἐνεργητικὴ οὖσα ἢ παθητική· ἢ ἡ μεταξὺ τούτων πεπονθυῖα μέση· ὃ προσαγορεύουσιν οὐδετέρα. καὶ τὰ ἐγγινόμενα πρόσωπα τοῖς ῥήμασι καθόλου ἢ μερικῶς. ἢ οὐδὲ ὅλως ἔστιν ἅπασιν σύμφωνοι εἰσὶν αἱ διαθέσεις ἥτε ἐνεργητικὴ καὶ ἡ παθητική· τινὰ τε αὐτῶν πολλάκις θέλει ἐπαρτᾶσθαι· καὶ πρότερον ἀδιαφόρως ἢ κατὰ μερισμὸν τὸν δέοντα τῶν πτώσεων. εἰσὶ καὶ ἄλλαι ἰδικώτεραι συντάξεις τῶν προκατειλεγμένων· ἃς κατὰ τὸ ἐπιβάλλον διακρινοῦμεν. Εἰ δὲ ἀπαρέμφατος ἔγκλισις· καὶ εἰ ὅλως ῥήματα τὰ ἀπαρέμφατα· τί γὰρ μὴ μᾶλλον ἐπιρρήματα· ἐκ τῶν ῥημάτων γενόμενα· καὶ εἴη ἂν τὰ συνηγοροῦντα τῷ λόγῳ, τοσαῦτα καὶ τοιαῦτα:~

ις´. Ἕνεκεν τίνος οὐ παρεμφαίνει ψυχικὴν διάθεσιν μετὰ ἀριθμοῦ καὶ προσώπου:~

Τοῖς ῥήμασιν ἐξαιρέτως παρέπεται ἡ ψυχικὴ διάθεσις· ὅπερ οὐ σύνεστι τοῖς ἀπαρεμφάτοις· καὶ τὸ ἐν ἀριθμοῖς καὶ προσώποις καταγίνεσθαι· ὧν τὰς διαφορὰς οὐκ ἐπιδέχεται τὸ ἀπαρέμφατον, καθὸ καὶ ἐξ αὐτῶν μεταληφθεῖσα μετοχὴ στερουμένη τῶν προκειμένων, καὶ τὰς τῶν ῥημάτων ἰδέας ἀπεβλήθη· οὐ γὰρ δὴ ὁ μετασχηματισμὸς τοῦ χρόνου ἐν τῷ γράφειν ἢ γράψαι· καὶ ἔτι ἡ συνοῦσα διάθεσις συνάξει τὸ ῥήματα αὐτὰ πάντως καλεῖσθαι· ἐπεὶ τοι τὸ σύνεστι τῇ μετοχῇ ἄλλου ῥήματα αἱ μετοχαί· πόθεν δὲ ὅτι ἐπιρρήματα καθότι ἔγκλισις μὲν διάφορος κατὰ σύνταξιν τοῦ αὐτοῦ προσώπου οὐ παραλαμβάνεται· οὐ γὰρ φαμὲν γράφειν λέξαι ἤτοι τῶν τοιούτων μὴ δυναμένων παραλαμβάνεσθαι.

Φαμὲν δὲ θέλεις γράφειν· ἀναγινώσκειν βούλει. Ἴδιον δὲ ἦν ἐπιρρημάτων, τὸ σὺν ῥήμασι παραλαμβάνεσθαι προστακτικῶς ἢ ὑποτακτικῶς· ὅπερ παρέπεται τῷ γράφειν θέλω· θέλω γράφειν· ὥσπερ καὶ ἑλληνιστὶ λέγω· λέγω ἑλληνιστί· καὶ ὡς τὸ ἑλληνιστὶ προσλαβὸν τὸ λέγω ἀπαρτίζει τὸν λόγον, οὕτω τὸ γράφειν προσλαβὸν τὸ θέλω· καὶ ὡς ἀδιαφορεῖ κατὰ πάντας ἀριθμοὺς τὰ ἐπιρρήματα, οὕτω καὶ γράφειν θέλω, ἢ θέλομεν· καὶ ὡς ἀδιαφορεῖ κατὰ τὰ πρόσωπα, ἑλληνιστὶ λέγω, ἑλληνιστὶ λέγεις, οὕτω τὸ γράφειν θέλ. · γράφ. θέλ.· δεῖ

ἀπὸ ῥημάτων ἔθος τι τὰ ἐπιρρήματα παράγει· ὡς αὐτοῦ τοῦ ἑλληνιστὶ τὸ, ἑλληνίζω παράκειται· οὐ κωλύει καὶ τοῦ γράφω παρακεῖσθαι τὸ γράφειν· οὐ μαχομένου τοῦ διαφόρου χρόνου. Δύναται γὰρ κατὰ χρόνον τὸ ἐπίρρημα ἀποτελεῖσθαι· καθὸ ἔστιν ἐπινοῆσαι κἀπὶ τῶν μετοχῶν· εἴγε τοῦ μὲν γράφω ἢ γράφων παράκειται, τῷ δὲ ἔγραψα ἢ γράψας· τῷ δὲ αὐτῷ λόγῳ, καὶ τοῦ γράφω τὸ γράφειν παρακείσεται· τῷ τε γὰρ ἔγραψα τὸ γράψαι. Ἀλλ' ἔστι τι πρὸς ταῦτα φάναι· ὅτι πρὸς μὲν τὴν σύνταξιν τοῦ θέλει γράφειν καὶ τῶν τοιούτων· ὡς οὐκ ἔστι τοῦ καθόλου δίδοται τὸ κατὰ τοῦ αὐτοῦ προσώπου διαφόρους ἐγκλίσεις μὴ παραλαμβάνεσθαι. φαμὲν ὅτι προαιροῦμαι ἀναγινώσκειν· ὅτι φιλῶ γράφειν· ὅτι μέλλει γράφειν· ὁ δὲ σκάπτω λέγειν· ὅπερ εἰ κατὰ τὸν λόγον ἦν τῶν ἐπιρρημάτων, ἐπὶ ῥῆμα φέρεσθαι ἤμελλεν. Ἔστιν οὖν τῆς συντάξεως αἰτία ἥδε. Τῶν ῥημάτων, ἃ ἔστιν ἐμπεριεκτικὰ πραγμάτων· ἐφ' ἃ καὶ ἡ ὁριστικὴ ἔγκλισις ἐπερείδεται, καὶ αἱ ὑπόλοιποι. ὡς τὸ γράφω· ἐν ἑαυτῷ τύπῳ· ἃ δὲ αὐτὸ μόνον, προαίρεσιν ψυχῆς ὁρίζεται, ἐλλείποντα τῷ πράγματι· ὡς τὸ θέλω· βούλομαι· προθυμοῦμαι· ἃ δὴ ὥσπερ ἐκεῖνα ὄντα ἀναπληροῦνται τῇ τοῦ πράγματος παραθέσει· ὅπερ οὐκ ἄλλο τι ἐστὶν, ἢ τὸ προκείμενον ἀπαρέμφατον, γενικώτατον καθεστὸς τῶν ἄλλων ῥημάτων, ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται· θέλω περιπατεῖν· βούλομαι γράφειν· τὰ ἐπεὶ μὲν ἀπειληφότα διὰ τοῦ ἐπακολουθοῦντος ὁρισμοῦ τὸ πρᾶγμα, ἀπροσδεῆ καθέστηκε ὡς πρὸς τὴν σύνταξιν τῶν ἀπαρεμφάτων· ἐγκειμένου γὰρ τοῦ τύπτειν ἐν τῷ τύπτω, περισσὸν τὸ ἐπάγειν ἕτερον πρᾶγμα· τύπτω γράφειν· οὐ μὴν ἐν τῷ θέλω γράφειν καθὼς ἔφαμεν. ἔστι γενικωτάτη τῶν ἀπαρεμφάτων ἔγκλισις· ἀναγκαίως λείπουσα τῷ προδιαπορηθέντι τῷ παρεπομένῳ ἀριθμῷ· ὃς οὐ φύσει παρέπεται τῷ ῥήματι· παρακολούθημα δὲ γίνεται προσώπων τῶν μετειληφότων τοῦ πράγματος· αὐτὸ γὰρ τὸ πρᾶγμα ἕν ἐστι τὸ γράφειν τὸ περιπατεῖν· ὅπερ ἐγγινόμενον τοῖς προσώποις, ποιεῖ τὸ περιπατῶ· τὸ περιπατεῖς· τὸ περιπατοῦσιν· οὐδὲ γὰρ ἐκεῖ-

Η Θ iii

νο ἀληθεύσει, ὡς τὸ ῥῆμα δεικτικόν ἐστι προσώπων. πάλιν γὰρ ἐκ τοῦ παρεπομένου τὸ τοιοῦτον ἐπιγίνεται. τὰ γὰρ μετειληφότα τοῦ πράγματος, εἰς πρόσωπον ἀνεμερίσθη. περιπατῶ· περιπατεῖ. αὐτὸ μὲν ἐκτὸς ὂν προσώπων καὶ ἀριθμῶν, συμφέρεται ἅπασιν ἀριθμοῖς καὶ ἅπασι προσώποις.

Ἄλλου δὲ ψυχικὴν διάθεσιν τὸ ῥῆμα ἐπιδέχεται. Πάλιν γὰρ τὰ μετειληφότα πρόσωπα τοῦ πράγματος, τὴν ἐν αὐτοῖς διάθεσιν ὁμολογεῖ διὰ τοῦ ῥήματος. τὰ δὲ, ὡς οὐκ ἔτι ἐγγινόμενα ἐν προσώποις, οὐδὲ τὸ ἐν τούτοις ἐπιγενόμενον ἐν διάθετον τῆς ψυχῆς ὁμολογεῖ. Ἴδιον οὖν ῥήματός ἐστιν, ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους. διάθεσίς τε ἡ ἐνεργητική· ἡ παθητική· καὶ ἔτι ἡ μέση. ὧν πάντων μετέλαβε τὸ γενικώτατον ῥῆμα, λέγω τὸ ἀπαρέμφατον. ἐπεὶ εἴπερ τῇ φύσει ἦν ἀπαρέμφατον, πῶς ταῦτα παρεμφαίνει. Ἔστι γοῦν ἐπινοῆσαι τὸ γενικώτατον ὄνομα, ἐν θέσει ἰδίᾳ καταγινόμενον ἢ κοινῇ· οὐκ ἐν πτώσει τῇ παρεπομένῃ ἐν γένει τῷ δέοντι. Τὸ μὲν εἰδικώτατον καταγίνεσθαι ἐν πατρωνυμικῇ ἐννοίᾳ ἢ ἐν κτητικῇ· καὶ ἔτι ταῖς ὑπολοίποις· καὶ δῆλον ὅτι οὐκ ἂν θαρρήσει τις φάναι μὴ εἶναι εἰδικώτατον ὄνομα, ὃ μή ἐστι πατρωνυμικὸν ἢ κτητικὸν ἤ τι τῶν ὑπὸ τὸ αὐτὸ εἶδος πιπτόντων. τοῦτο γοῦν τῷ λόγῳ παραδεξόμεθα τὸ ὁριστικὸν ῥῆμα· καὶ τὸ εὐκτικόν· καὶ ἔτι τὰ ὑπόλοιπα εἴδη τοῦ γενικοῦ ῥήματος· ὃ δὴ οὐ πάντως στερήσεται τοῦ μὴ ῥῆμα εἶναι, ἐὰν μὴ συναγορεύῃ τὴν εἰδικὴν σημασίαν. ἔστι καὶ οὕτως ἐπιδεῖξαι· καθόλου πᾶν παρηγμένον ἀπό τινος, ἀνάλυσιν ἔχει τὴν πρὸς τὸ πρωτότυπον μετὰ λέξεως τῆς σημαινούσης ταυτὸ τῇ παραγωγῇ. παρὰ τὴν τοῦ Ἕκτορος γενικὴν, ἀποτελεῖται τὸ Ἑκτορείδης· ᾧ καὶ προστίθεται τὸ υἱός· καὶ διὰ τοῦτο ἀναλύεται εἰς τὸ Ἕκτορος υἱός. παρὰ τὸ γοργὸς, ἀποτελεῖται τὸ γοργότερος προσγινομένου τοῦ μᾶλλον. ὃ δὴ πάλιν ἀνάλυσιν ἔχει. εἰς τὸ γοργὸς μᾶλλον. παρὰ τὸ τοὺς ἵππους ἐμπειρικτικόν τι. ἀποτελεῖται τὸ ἱππᾶν. ὃ δὴ πάλιν ἀναλύεται, εἰς τὸ τοὺς ἵπ

πους συνέχον· καὶ περισσὸν ἂν εἴη εἰς τὸ τοιοῦτον πλείονα παρατίθεσθαι· δῆλον γὰρ τὸ εἰρημένον. Καὶ δὴ πᾶσα ἔγκλισις οὐκ εἰς ἄλλο τι μεταλαμβάνεται, ἢ εἰς ἀπαρέμφατον, μετὰ λέξεως τῆς σημαινούσης ταὐτὸ τῇ ἐγκλίσει. Ὅτι οὕτω φαμέν· περιπατῶ· ὡρισάμην περιπατεῖν. περιπατοῖμι· ηὐξάμην περιπατεῖν. περιπάτει· προσέταξα περιπατεῖν. πῶς οὖν οὐ βίαιον, τὸ τὰ συνεκτικώτατα, ἁπάντων τῶν ῥημάτων, περιγράφειν τῆς τῶν ῥημάτων ἐννοίας. Οὐ λέλησμαι ὡς ἐν ἑτέροις συμφερόμενός ἐστι, τὴν ὁριστικὴν ἔγκλισιν παραδεχόμενος ὡς πρωτεύουσαν τῶν ἄλλων· ἀλλ' οὖν γε ἡ ἀκριβὴς ἐξέτασις τοῦ λόγου κατηνάγκασε τὸ μεταθέσθαι· συγχωρουμένου ἐκείνου· ὡς δεόντως ἀπὸ τῆς ὁριστικῆς ἐγκλίσεως ἀρχόμεθα· οὐχ ὡς πρώτης οὔσης· ὡς δὲ ἐκφανεστάτης οὔσης καὶ πολλῆς· καὶ δυναμένης δέξασθαι καὶ τὰς ἐγγινομένας συνεμπτώσεις· κατὰ τὰ ἐγγινόμενα, πάθη καὶ παραγωγάς. οὐδὲ τοῦ τοιούτου μαχομένου· καθὸ ἐν τοῖς τοιούτοις ἐλλιπεστέρα ἡ ἀπαρέμφατος ἔγκλισις. εἴγε καὶ τὰ πρωτότυπα τῶν λέξεων ἐν ἐλάττονι καταγίνεται ὕλῃ τῶν παραγώγων:~

## ΕΙ ΔΕΟΝΤΩΣ ΚΑΤΑ ΤΟ ΟΜΗΡΙΚΟΝ ΕΘΟΣ ΑΝΤΙ ΠΡΟΣΤΑΚΤΙΚΩΝ ΠΑΡΑΛΑΜ ιδ΄. ΒΑΝΕΤΑΙ· ΚΑΙ ΟΤΙ Η ΕΠΙ ΣΤΑΛΤΙΚΗ ΣΥΝΤΑΞΙΣ

τὸ ἀπαρέμφατον ἔχει ἀντὶ προστακτικῶν:~

Οἶμαι δὲ καὶ ὁμηρικὸν ἐκστὰν τῆς τῶν προστακτικῶν συντάξεως. δεόντως ἀνθυπαλλάξαι τὴν ἀπαρέμφατον οὖσαν γενικήν· εἰς ἣν καὶ ἐδείχ[illegible] τὰ εἰδικὰ μεταλαμβανόμενα. Οὕτως ἔχει καὶ ἡ ἐπισταλτικὴ σύνταξις. Τρύφων Θέωνι χαίρειν. τοῦτο διαφέρουσα τῆς ὁμηρικῆς συνηθείας· καθὸ ἡ μὲν, ἐπὶ τὸ προστακτικὸν φύσει καταφέρεται· εἴ γε οἷόν τέ ἐστιν ἐπ' αὐτοῖς τὰ προστακτικὰ παραλαμβάνειν· οὐ προσῆπται μέντοι τῷ δηλοῦντι χρήματι τοῦ λόγου· οὐ μὴν ἔτι τὸ ἐν τῇ ἐπισταλτικῇ συντάξει ἠδύ-

ναι τὸ τοιοῦτον παραδέξασθαι. εἰ ἔχει γὰρ ὁ λόγος οὕτως. εἴπο-
μεν ὡς ἀναγκαίως ἡ εὐθεῖα τῶν κυρίων ὀνομάτων παραλαμ
βάνεται. ἀλλὰ καὶ ἡ δοτικὴ ἣν περιποιεῖται ἡ τοῦ λόγου σύν-
ταξις. οὐ δυνάμεθα καὶ τὴν προστακτικὴν ἔγκλισιν παραδέξα-
σθαι. ἀλλ᾽ οὐδὲ ἄλλην τινά. ἔστι γὰρ τό, Διονυσίῳ χαίρειν, ἐν
ἴσῳ, τῷ Διονύσιε χαῖρε. ὅπερ οὐκ ἠδύνατο ἐγχωρεῖσθαι. ἐπεὶ ἡ
προστακτικὴ ἔγκλισις, καὶ ἔτι ἡ κλητικὴ πτῶσις, ἐπὶ παροῦ
σι τοῖς προσώποις σύνεστιν. ὧν δὲ τὰ τοῦ λόγου ἐπιστέλλεται, ἄ
πεστι. καὶ αὐτὸς δὲ ὁ ἐπιστέλλων παρών, ἀπόντος σύνταξιν ποι-
εῖται. ἡ γὰρ εὐθεῖα τῶν ὀνομάτων δέδεικται, ὡς τρίτον ἐστὶ πρό-
σωπον. ἐδείξαμεν γὰρ ὡς προσεχώρει ἡ ἐν εὐθείαις ἀντωνυμικὴ
σύνταξις, ἐν δείξει οὖσα τῶν παρόντων προσώπων. ὃ πάλιν οὐκ ἐ
νεχώρει τῷ λόγῳ. εἴγε ἀμφότερα τὰ πρόσωπα οὐ χορούμενά ἐστι,
τό, τε τοῦ ἐπιστέλλοντος καὶ τοῦ ἐπιστελλομένου. συνούσης οὖν τῆς
εὐθείας καὶ ἔτι τῆς δοτικῆς κατὰ τὸ τρίτον πρόσωπον, ἀνάγκη πᾶ
σα καὶ τὰ συντασσόμενα ῥήματα ἐν τρίτῳ καταγίνεσθαι. ἢ συντάσ-
σεσθαι οὐκ ἐν ἄλλῃ πτώσει, ἢ τῇ εὐθείᾳ. τὸ γοῦν προκείμενον ῥῆμα, ὡς τὴν
εὐθεῖαν συντείνει. Ἀπολλώνιος Διονυσίῳ. χαιρέτω. ἢ καὶ ἔτι χαί
ρειν. ἢ χαίροι. καὶ ἵνα δῶμεν τὰ τοῦ λόγου κατάλληλα ἔχειν, ἐκεῖνο
σαφέστερόν ἐστιν. ὅτι κατὰ τὴν εὐθεῖαν μετείληφε τοῦ χαίρειν. οὐ γὰρ τὸ
κατὰ δοτικήν. ἣν ἐμὴν τοὐναντίον τὸ προσχωρεῖν τῷ ἐπιστελλο
μένῳ τὸ χαίρειν. ὥσπερ καὶ τοῖς ὑπ᾽ ὄψιν οὖσι φαμὲν τό, χαῖ
ρε. οὐχὶ αὐτοῖς προστιθέντες τὸ χαίροιμι. ἢ χαίρω. οὐ δυνάμενοι τοῦ
τρίτου παραλαμβάνεσθαι, ἀνάγκη πᾶσα εἰς τὸ γενικὸν ἀ
παρέμφατον παραλαμβάνεσθαι τὴν σύνταξιν. συνηθέ-
στερον ὑπακουομένης τῆς συντάξεως. τὶς λέγει. ἢ εὔχεται. ξενο
φῶν θέωνι λέγει χαίρειν. συνήθως καὶ ἄλλων ὑπακουομένων.
ὡς κοινῶν ἀμφοτέρωσιν. ὑφ᾽ ἓν φέρονται. ἐξαιρέτως μὲν τῶν ῥημάτων
αἱ ἐγκλίσεις ἔχουσιν ἐγκείμενα ῥήματα καθὼς ἐδείξαμεν. ὅτι ἐν τῷ
χαίροις ἔγκειται τὸ εὔχεσθαι. ἐν τῷ χαῖρε, τὸ προστάξαι. ἅπερ μετὰ τῶν
ἀπαρεμφάτων παραλαμβάνεται. ὁπηνίκα καὶ ἐγκλίσεις εἰς αὐτὰ μεταλ-

θεῖται. Τὸ οὖν Διονυσίῳ χαίρειν, ἔχει συνυπάρχον ῥῆμά τι τῶν προκειμένων· φέρε εἰπεῖν, τὸ εὔχεται ἢ λέγει· ὅπερ συνηθέστερον· ἔννοιαν γὰρ προστακτικωτέραν ὑπαγορεύει. καὶ ἐν δευτέροις προσώποις συγχρώμεθα· τὴν εὐκτικὴν παραπεμπόμενοι· οὕτως ἐχόντων καὶ τῶν ὁμηρικῶν. Ἄνδρα μοι ἔννεπε μοῦσα· χαῖρε ξεῖνε· μῆνιν ἄειδε θεά· ἐνθένδε γὰρ καὶ πρόδηλόν μοι φάναι, ὡς ἀντὶ προστακτικῶν τὰ ἀπαρέμφατα παρείληπται κατὰ τὴν αὐτὴν σύνταξιν. σαφὲς γὰρ ὅτι καὶ τῷ ὑπακουομένῳ ῥήματι συγχωρεῖ τὰ τῆς αὐτοτελείας. οὐ γὰρ ἡ τοῦ ἀπαρεμφάτου σύνταξις καταλείπει λόγον. εἰ μὴ ἀναπληθείη δι' οὗ ἀπαρέμφατός ἐστι.

Τὸ οὖν δὴ θέων Ἀπολλωνίῳ χαίρειν, οὐκ ἂν εἴη αὐτοτελές, εἰ μὴ ὡς εἴπομεν τὸ συνυπάρχον ἐγκέοιτο ῥῆμα. καὶ τοσαῦτα μὲν τὰ τῆς ἐπισταλτικῆς συντάξεως:~

ιε. ΤΙΝΑ ΜΕΡΗ ΛΟΓΟΥ ΕΙΗ ΤΟ ΧΡΗ ΚΑΙ ΤΟ ΔΕΙ.

Ἐχομένως ῥητέον καὶ περὶ τῆς ὑπολοίπου συντάξεως τῶν ἀπαρεμφάτων. τὸ δεῖ γράφειν. δεῖ ἀναγινώσκειν. χρὴ φιλολογεῖν. καὶ τὰ τούτοις ὅμοια. σαφὲς ὅτι τῆς ἐπισταλτικῆς συντάξεως διαφέρει. ἐκείνη μὲν γὰρ ἀπροσδεὴς τῶν προκειμένων μορίων. Λέγω τοῦ χρὴ καὶ τοῦ δεῖ. ἥδε, οὐ συντελεῖ διάνοιαν χωρὶς τούτων. δεῖ ἀναγινώσκειν τρύφωνα· δεῖ ἀκούειν σου· χρὴ ὁμιλεῖν τρύφωνι. καὶ τί ποτέ τὸ ποιοῦν ἐστιν, ἐν μὲν τῇ ἐπισταλτικῇ συντάξει τὸ ἀκατάλληλον, ἄξιον διαλαβεῖν. προϋποκρινηθέντος δὲ τοῦ τοιούτου. λέγω δὲ τοῦ, τίνι μέρει λόγου ὑπαχθήσεται τὸ χρὴ, καὶ τὸ δεῖ. Περὶ ὧν κἂν τῷ, ἐπιρρημάτων, ἀπαιτοῦντος τοῦ λόγου διεθέμεθα. Καὶ νῦν δὲ ἐπιτομωτέρᾳ χρησόμεθα φράσει, ὑπὲρ τοῦ ταυτὸ συμπαραστῆσαι τὸν λόγον. ἡγούμενοι ἐλλιπῆ τὴν πραγματείαν καθίστασθαι. Ἡ μὲν οὖν συνηγορία τοῦ τὰ προκείμενα μόρια ἐπιρρήματα εἶναι, γένοιτ' ἂν τοιαύτη. καθάπερ τῆς εὐκτικῆς ἐγκλίσεως ἐπί τινος συντάξεως προηγεῖται ἐπίρρημα τὸ εἴ-

θαι. καὶ ἔτι τῆς προστακτικῆς τὸ, ἄγε, τοῦτον τὸν τρόπον καὶ ἐπὶ τῆς ἀπαρεμφάτου ἡγήσεται τὸ χρὴ καὶ δεῖ ἐπιῤῥήματα· οὐδὲ γὰρ ἐκεῖνό τις οἰήσεται, ὡς σύνδεσμοί εἰσι. καθὸ οὐ συνδέουσιν ἐπιφορὰν ἑτέρου λόγου· ὅπερ ἴδιον συνδέσμου· καὶ ἐμφαίνουσί τι ἐπίτασιν, ὡς καὶ τὸ μάλα. ἢ ἄγαν· καὶ ἔτι ἐν συνθέσει τοιαύτῃ καταγίνεται, ἣ οὐ παρακολουθεῖ συνδέσμοις· ῥήμασι δὲ, ἢ ἐπιῤῥήμασι· φαμὲν γὰρ ἀποδὺς· ἀπεχεὶς· ἀπῆλθεν· ἄπεστιν· εἶχε δὲ οὕτω, τὸ ἀποδεῖ· ἀπέχει. Ὁμόλογον δὲ κἀκεῖνο ὡς τὰ ἐπιῤῥήματα σύνεστι διαφόροις προσώποις, σύνεστι διαφόροις ἀριθμοῖς· καλῶς γράφω· ἢ καὶ γράφομεν· καὶ ἔτι ἐπὶ τῶν ἑξῆς προσώπων. Τά γε μὴν ῥήματα συμπληθύνεται καὶ συμπαραλαμβάνει τοῖς προσώποις· ἡμεῖς γράφομεν· ὑμεῖς γράφετε. οὐ μὴν τὸ χρὴ καὶ τὸ δεῖ· χρὴ γὰρ ἡμᾶς γράφειν· χρὴ ἐμὲ γράφειν· καὶ δεῖ σε ἀναγινώσκειν· δεῖ ὑμᾶς διαλέγεσθαι. καὶ ἕνεκα πάλιν τοῦ τοιούτου, μᾶλλον ἐπιῤῥήματά ἐστιν. οὐδὲ γὰρ ἐνὸν φάναι, ὡς ῥήματά ἐστιν ἀπαρέμφατα· οἷς παρακολουθεῖ, τὸ μὴ εἰς ἀριθμὸν διάφορον παραλαμβάνεσθαι, τὸ μὴ διακρίνειν πρόσωπον. Περὶ ὧν καὶ ἐν τοῖς προκειμένοις ἐκτιθέμεθα. ἰδοὺ γὰρ οὔτε τὰ τῆς φωνῆς ὑπακούει ἰδιώματα, οὔτε τὰ τῆς συντάξεως. Ποῖον γὰρ ἀπαρέμφατον εἰς ει δίφθογγον λήγει, ἢ εἰς η. ἢ πότε ἀπαρέμφατα δύο, μετὰ πτωτικοῦ τινος, λόγον παρίστησι. Φαμὲν δέ γε, δεῖ περιπατεῖν Διονύσιον. καὶ ἕνεκα τούτου ἀποστήσεται τοῦ ἀριθμοῦ τῶν ἀπαρεμφάτων. ὁμοίως πάλιν ὑποσταλήσεται τοῖς λοιποῖς ῥήμασι, καθὸ πάλιν ἀντίκειται τὸ ἀδιάκριτον πρόσωπον. καὶ ἔτι ὁ μὴ παρακολουθῶν ἀριθμὸς· ὃς ἦν κοινὸς πάντων ῥημάτων. Ἀλλ' ἔστι γε πρὸς ταῦτα φάναι. Εἰ ἔστιν ἐπιῤῥήματα αὐτὰ μόνα, φερόμενα ἐπὶ ἀπαρέμφατα, ὡς τὸ εἴθε ἐπὶ εὐκτικὰ, καὶ τὸ ἄγε ἐπὶ προστακτικὰ, τί δή ποτε οὐ συμφέρεται τοῖς κατ' εὐθεῖαν προσώποις. Ὡς ἔχει, τὸ. εἴθε ἐγὼ γράφοιμι· εἴθε ἡμεῖς γράφοιμεν· ἄγε γράφετον ὑμεῖς, ἄγε γράφετε ὑμεῖς. οὐδὲ γάρ ἐστι φάναι δεῖ ἐγὼ γράφειν.

οὐδὲ δεῖ ἡμεῖς γράφειν· διὰ τῶν ῥημάτων συντάξεως τὸ τρίτον οὐκ ἐμποδιζούσης· εἴθε ὑμεῖς ἀκούοιτε· εἴθε ὑμᾶς θεάσαιντο· εἴθε ὑμῶν ἀκούοι· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ὁμοίων.

Ἴδιον, ῥήματος τὰ ἐν παρῳχημένοις, καὶ χρόνου ἔξωθεν προσλαμβάνειν· οὐ μὴν ἐπιρρημάτων· φαμὲν· σήμερον γράφω· σήμερον ἔγραφον. Τοῦ μὲν ῥήματος προσλαμβάνοντος καταρχὴν χρόνον· τοῦ δὲ ἐπιρρήματος συνεχομένου· φαμὲν δέ γε, δεῖ γράφειν· ἢ ἔδει γράφειν· καὶ τὸ μὲν ἔδει, χρόνον προσέλαβεν ὁμοίως τῷ ἔπλει· καὶ ἔπνει· τὸ δὲ μὴν γράφειν οὐ προσελάμβανε· καὶ τάχα τὸ [illegible] δυνάμενον εἶναι ἐπίρρημα, ἔνδειξιν ἱκανὴν τοῦ εἶναι ῥῆμα, παρίστησι· τὸ δὲ ἔτι γράφειν, παρέχειν δύναιτ' ἂν εἰ ῥῆμα· περὶ δὲ πᾶσαν ἀκρίβειαν εἰ σπευσκάμεθα· ὡς ἔστι γενικώτερον τῶν ἄλλων ῥημάτων· πρὸς οἷς καὶ διπλασιάζεται ὅπερ ἴδιον ῥημάτων· ὡς ἐν τῷ συγγεγραφέναι καὶ τοῖς ὁμοίοις. οὐ δὲ γὰρ ἐκεῖνο φαμὲν, ὡς τὰ μὴ προσειληφότα κατὰ τοὺς παρῳχημένους τὸν χρόνον, οὐκ ῥήματά ἐστιν· ἐπεὶ καὶ αἱ ἑξῆς ἐγκλίσεις ἅπασαι, οὐ προσλαμβάνουσι· μόνη γὰρ ἡ ὁριστική· ἀλλ' ἐκεῖνο ἦν ἀληθές· ὡς τὰ προλαβόντα, ῥήματος μερισμὸν ὑπαγορεύει· ὑπεδείκνυε δὲ καὶ τὸ ἐχρῆν, καὶ τὸ ἔδει, προσειληφότα οἷς καὶ ὡς ῥήματα σύνεστιν ἀπαρέμφατα, τὸ χρῆναι καὶ τὸ δεῖσθαι· καθότι καὶ στῆναι καὶ πνεῖσθαι· ἀλλὰ καὶ ἐκ τῶν τόνων ἔστιν αὐτὰ καταλαβέσθαι· περισπᾶται τὸ δεῖ ὁμοίως τῷ πλεῖ. οὐ γὰρ οὖν καὶ ἐπιρρήματα περισπᾶται, ὡς τὸ πεῖ τὸ πρῶτον δώρον· ὅπερ οὐ παρείπετο τῷ δεῖ· τὸ δεύτερον ἄρτι παρακειμένου τοῦ ποῦ· καὶ ἐπὶ τοῦ οὐ· καὶ αὐτὸ σύνεστι τῷ αἰεί· ὅπερ οὐ παρείπετο πάλιν τῷ δεῖ· ἦν γὰρ κατὰ συναίρεσιν ἐκ τοῦ δέει συνηρημένον, ὁμοίως τῷ πλέει· καὶ ῥέει· ἢ χέει. Πρῶτον δὲ πρόσωπον ἔχει τὸ δέω ὡς πλέω· ἦν δὲ καὶ ἀπὸ τοῦ χρὴ τὸ πάθος παρεπόμενον· ὅπερ ἐστὶν εὑρέσθαι ὡς ἐπὶ ἑτέρου ῥήματος τοῦ δέω, σημαίνοντος τὸ ἐνδέομαι· συνωνυμεῖ τὸ χρῶ· ἢ χρέω ἀφ' οὗ καὶ τὸ δέον καὶ τὸ χρέος· καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι· ὡς φῶ φημί· ἀφ' οὗ τρίτον πρόσωπον χρησὶν ὡς φησίν· ἐξ οὗ ἐν ἀ-

προκοπῇ ἀπετελεῖτο. ὁμοίως τῷ παρὰ Ἀνακρέοντι· σὺ γὰρ περγήλιος ἐμμελῶς διοικεῖν:~

## ιϛ· ΠΟΤΕ τοῖς ἀπαρεμφάτοις συντάσσεται, καὶ τί τὸ τούτου αἴτιον.

Καὶ τὰ μὲν τῆς φωνῆς ἕτω καθιστέον. τά γε μὴν τῆς συντάξεως, τῇ δὲ ἀναπληρωθείη. Δοκεῖ ἐν ἴσῳ συντάσσεσθαι διαφόροις προσώποις καὶ ἀριθμοῖς. ῥῆμα καθεστὼς ὁριστικόν. ὅπερ οὐ παρείπερ, εἰ τὴν σύνταξιν ἐλάμβανε τῶν προσώπων καὶ τῶν ἀριθμῶν. Ἔστι γὰρ τὸ δεῖ ἡμᾶς γράφειν, ἔχον σύνταξιν τοῦ δεῖ πρὸς τὸ γράφειν, τοῦ πρὸς τὸ ἡμᾶς. καὶ διὰ τοῦτο ἀπάντοτε ἐν τῇ τοιαύτῃ συντάξει, οὔτε πρόσωπον διακρίνει οὔτε ἀριθμόν. ἐπεὶ οὐ συμφέρεται τούτοις. Ἔστιν ἀπαρέμφατον. τὸ διὰ τοῦτο οὐ συμμετατίθεται τῷ συμμετατιθεμένῳ. λίζω δὲ τῷ ἀπαρεμφάτῳ. Ἔστι γὰρ καὶ τὸ δηλούμενον τρίτον. τῶν ὡς γινομένων πραγμάτων ἐλλιπεστέρων ἀποτελουμένων, ἡ ἐγγινομένη παράθεσις τῶν προκατειλεγμένων ῥημάτων παρελαμβάνετο, εἰς ἐντελὲς τῶν προσηκόντων. τὸ γὰρ δεῖ φιλολογεῖν, τοιοῦτόν ἐστιν. ἐπιλείπει τὸ φιλολογεῖν. ὡς εἰ καὶ αὐτῷ τῷ λείπει προσχρησαίμεθα, οὐδὲν ἔλαττον τὰ τῆς συντάξεως ἐνδεῆ καταστήσεται. λείπει τὸ φιλολογεῖν ἡμᾶς. λείπει τὸ φιλολογεῖν ἐμέ. καὶ οὐκ ἔστιν ὅστις τολμήσει φάναι, τὸ λείπει ἐπίρρημα. κἂν ἀπειράκις καθ᾽ ἕνα σχηματισμὸν ἐκφέρηται, ἕνεκα τῆς οὔσης συντάξεως τοῦ ἀπαρεμφάτου. Αὕτη γὰρ καὶ μόνη ἂν εἴη αἰτία τοῦ μὴ ἐν τοῖς τοιούτοις ἐπισταλτικοῖς ἀπαρεμφάτοις, ὑπακουόμενόν ἐστι τὸ ῥῆμα, τὸ λέγει. εὔχεται. Διονυσίῳ Ἀπολλώνιος λέγει χαίρειν, ἢ εὔχεται. ἀσύστατον δὲ παραδέξασθαι ἀπαρέμφατον δύο συντάξεις ὁριστικῶν ῥημάτων. ἐν ἑνὶ μόνῳ. καὶ διὰ τοῦτο φαμέν, θέλει γράφειν. δεῖ γράφειν. ἐγκειμένου ἐν μόνῳ ἐν τῷ Διονυσίῳ χαίρειν, τοῦ λέγει, ἢ εὔχεται. ἀσύστατον τὸ ἐπιτεθῆναι τὸ χρή, ἢ δεῖ. εἰ μὴ ἀποσταίη ἡ ἐπισταλτικὴ σύνταξις, ἐφ᾽ ἧς ἂν λοιπὸν φαίημεν, δεῖ χαίρειν. ἄλλως τε οὐ προσγίνεται τῷ ἐπιστελλομένῳ τὸ χαίρειν ὑφίστασθαι. ὅπερ ἐν τῷ δεῖ χαίρειν ἐγγενήσεται.

ἑξῆς ἑξετέον καὶ περὶ τῶν συντασσομένων πτώσεων τοῖς ἀπαρεμ-
φάτοις. καὶ πρῶτόν γε ζητητέον, εἰ ἀληθές, τὸ ἐπὶ αἰτιατικὴν
αὐτὰ πάντα φέρεσθαι. εἰ τὸ χρὴ καὶ δεῖ. χρὴ ἀναγινώσκειν διονύ-
σιον. καὶ τοῖς τοιούτοις ἦν μέντοι τὸ ἀληθὲς τοῦ λόγου. ὡς οὐκ
αὐτὰ τὰ ἀπαρέμφατα πάντως αἰτιατικὴν ἀπαιτεῖ πτῶσιν
τὴν καὶ ἐν τοῖς ὁριστικοῖς καὶ τῇ ὑπολοίπῳ ἐγκλίσει συντασσομέ-
νην. ἔστι γὰρ τὰ τοῦ λόγου οὕτως ἔχοντα. τὸ χρὴ καὶ τὸ δεῖ αἰτία γίνε-
ται αἰτιατικῆς παραθέσεως. καθὸ ῥήματα ὄντα, πλαγίαν ἀπαι-
τεῖ τὴν δέουσαν. καθὸ καὶ ἄλλοις πλείστοις ῥήμασι τὸ τοιοῦτον πα-
ρηκολούθει τὸ ἐπὶ γενικὴν φέρεσθαι. ἢ δοτικὴν. ἢ αἰτιατικήν. ὧν λό-
γον καὶ ἡ τοῦ λείπει σύνταξις ἐπ' αἰτιατικὴν φέρεται. δεῖ ἐμέ. δεῖ
σέ. τοῦτο γάρ ἐστι τὸ ἀκατάλληλον τοῦ λόγου. δεῖ ἐμὲ ἀκούειν. οὐ γὰρ
ὡς ἔφαμεν ἡ τῶν ἀπαρεμφάτων χρῆσις τὸ τοιοῦτον ἀπαιτεῖ. πρόσ-
κειται γοῦν ἡ ἐπιστατικὴ σύνταξις οὔσης αἰτιατικῆς πτώσεως. ἀλ-
λὰ καὶ ἐν τοῖς τοιούτοις. τοῦ περιπατεῖν ἥδομαι. καὶ περιπατεῖν
ἐθέλω, ἤπερ γράφειν. ἐθέλοιμι μᾶλλον ἢ περιπατεῖν. ὧν εἴ τις ἀ-
φέλοι τὰ συνόντα μόρια καὶ προσθείη τὸ δεῖ, πάντως ὑπακουσθήσεται
ἡ αἰτιατική. δεῖ περιπατεῖν. χρὴ διαλέγεσθαι. ὥστε καὶ τὰ ἀπα-
ρέμφατα λαμβάνουσι τὴν αἰτιατικὴν. οὐ τὴν ἐν τῷ καθόλου. ἀλλὰ
τὴν ἐμφερομένην ὑπολοίποις ἐγκλίσεσι. φιλεῖ Δίωνα. φιλεῖ Τρύφω-
να. ἐὰν φιλῇ Τρύφωνα, καὶ οὕτω γίνεται φησὶ φιλεῖν Τρύφωνα. ἔνθεν
οὖν αἱ δύο αἰτιατικαὶ προσγίνονται τῇ τοιαύτῃ συντάξει. γενικῆς μὲν
γὰρ καὶ δοτικῆς γίνεται σύνταξις, ὅταν πάλιν καὶ ὑπόλοιπος ἐγ-
κλισις ἐπὶ γενικὴν φέρηται. ἀκούει Τρύφωνος. ἢ ἐπὶ δοτικῆς. δίδω-
σι Τρύφωνι. καὶ πάλιν ἐπὶ τῶν ἑξῆς ἐγκλίσεων. ἐξ ὧν πάλιν τὰ
μεταλαμβανόμενα ἀπαρέμφατα ταυτὸ ἀναδέχεται. φησὶν
ἀκούειν Τρύφωνος. φησὶ διδόναι Τρύφωνι. οἷς εἴ τις προσθείη τὸ δεῖ,
ὑφελόμενος ἀναγκαίως τὸ φησὶ καθὼς ἐδείξαμεν, πάλιν προσ-
γενήσεται καὶ ἡ αἰτιατική. δεῖ ἀκούειν Τρύφωνος Ἀπολλώνιον. δεῖ
ἐρᾶν Δίωνος ἐμέ. δεῖ σοι Τρύφωνα χαρίζεσθαι. κἂν οὖν ἐπὶ τούτων τὴν
αἰτιατικὴν ὑποστέλλειν ἐθέλοι τις τῇ δεούσῃ συντάξει ὁμό-

λόγου ἔσται τῇ λειπούσῃ αἰτιατικῇ, εἰ οὕτω φαίημεν· δεῖ σοι χαρίζεσθαι· δεῖ σου ἀκούειν· πάντως γὰρ αἰτιατικὴ ἐστὶν ἡ ὑπακουομένη· ἣν ἀπολαβὼν ὁ λόγος, τὸ ἑαυτοῦ τέλος παραστήσει· ἐπεὶ εἰ μὴ ἔλειπεν, ἔδει τὸ προσυνέχειν ὡς ἐν πλεονασμῷ τῆς αἰτιατικῆς καταγίνεσθαι· δεῖ σοι χαρίζεσθαι ἐμέ· δεῖ ἀκούειν σου Δίωνα:~

## ιζʹ. ΠΌΤΕ ἈΠΑρέμφατα ἐπὶ δύο αἰτιατικὰς φέρεται.

Τούτων οὖν τῇδε ἐχόντων, ἐὰν ὡς εἴπομεν τὸ ῥῆμα φύσει φέρηται ἐπ' αἰτιατικὴν, λέγω τὸ ἀπαρέμφατον, τότε τηνικαῦτα καὶ δύο αἰτιατικαὶ προσγίνονται· μία μὲν ἐκ συνθέσεως τοῦ δεῖ καὶ χρή· ἑτέρα δὲ ἐκ τοῦ ἀπαρεμφάτου συντάξεως· ὡς ἔχει τὰ τοιαῦτα· δεῖ Τρύφωνα διδάσκειν Διονύσιον· δεῖ Τρύφωνα τιμᾶν Διονύσιον· δεῖ σε ἐμὲ τιμᾶν. ἔστι δὲ ἑτέρα σύνταξις δύο αἰτιατικὰς ἀποτελοῦσα ὁπηνίκα τὰ ἐγκείμενα ῥήματα ἐπ' αἰτιατικὰς φέρηται· οἷον τὸ ἀναγκάσαι· τὸ ποιῆσαι· καὶ τὰ ὅμοια· φέρεται γὰρ ἐπ' αἰτιατικὴν ἀλλὰ καὶ τὸ ἑλεῖν· ὑβρίσαι· καὶ τὰ τούτοις ὅμοια· ἐφ' ἧς ἂν συντάξεως γένοιτο ἀνάγκασόν με· ὕβρισόν με· ποίησον Τρύφωνα φιλεῖν Ἀπολλώνιον· ἐκ δὴ τῶν τοιούτων συντάξεων, καὶ τὰ ἀμφίβολα γίνεται· γενικῆς μὲν γὰρ συνούσης ἢ δοτικῆς, εὔληπτα τὰ τοῦ λόγου ἐστί· λέγουσι Τρύφωνα ἀκούειν Ἀπολλωνίου· ποίησον Τρύφωνα χαρίσασθαι Ἀπολλωνίῳ· οὐ μὴν ἐν τῷ, δεῖ δὲ Τιμάνδρα ἑλεῖν· συνέβη ἐμὲ φιλεῖν Τρύφωνα· προσνεῦον γὰρ τὸ ἀπαρέμφατον ἀμφοτέραις ταῖς αἰτιατικαῖς, οὐκ ἐμφανῆ καθίστησι τὸν ἐνεργοῦντα καὶ τὸν ἐνεργούμενον:~

## ιηʹ. ΠΩΣ Διακριτέον τὰ ἐν ἀμφιβολίᾳ τῶν δύο αἰτιατικῶν.

Τὰ μέντοι τῆς διαλύσεως οὕτως ἂν ἔχοι· εἴπερ ἐκ τοῦ πλουτεῖ Τρύφων, ὑγιαίνει Τρύφων, γίνεται μετάληψις· φασὶ Τρύφωνα πλουτεῖν· λέγουσι Τρύφωνα ὑγιαίνειν· δῆλον ὡς καὶ ἐπὶ τῶν ὁμοίως ταὐτὸ γενήσεται. Ἔστω γάρ τι· Θέων ὕβρισε Δίωνα· πρόδηλον τοῦ ὑβρίσαντος καὶ τοῦ ὑβρισθέντος. ὅς γε κατὰ τὴν

αὐτὴν διάθεσιν μεταληφθήσεται. λέγουσι θέωνα ὑβρίσαι δίω-
να. καὶ δῆλον ἐστὶν ὡς τὸ ῥῆμα, πρόσκειται τῇ προτέρᾳ αἰτιατικῇ.
ᾗ προσέκειτο καὶ εὐθείᾳ. Τρύφων ὕβρισε. λέγουσι τρύφωνα ὑβρί-
σαι. ἐπιφερομένου τοῦ διατιθεμένου προσώπου. φέρε εἰπεῖν δίω-
να θέωνα, ἐκ δὴ τοῦ τοιούτου ἡ προϋποῦσα αἰτιατικὴ μετὰ τοῦ ἀ-
παρεμφάτου προχωρήσει καὶ τῇ ἐνεργητικῇ διαθέσει. καὶ εἰ ὧ-
δέ τις ἀποφαίνοιτο. περιέχει ὁ οὐρανὸς τὴν γῆν. λέγουσι περιέ-
χειν τὸν οὐρανὸν τὴν γῆν. καὶ ἄρα πάλιν περιέχει ἡ γῆ τὸν οὐρανόν.
λέγουσι τὴν γῆν περιέχειν τὸν οὐρανόν. κἀκεῖνο γὰρ ὁμόλογόν ἐστιν.
ὅτι ἡ ἐνεργητικὴ διάθεσις προτέρα ἐστὶ παθητικῆς. τό τε γὰρ πέ-
πονθεν, ὅτι ἀναδέδεκται ὁ τὴν ἐνεργητικὴν διάθεσιν. ὥστε καὶ τὰ
τούτων ἀποφατικὰ ὁμολογεῖ. ὁ γὰρ λέγων οὐχ ἔδηρα, ἀναιρεῖ
τὴν προκατάρξασαν διάθεσιν ἐν τῷ δαρῆναι. καὶ εἰ τοῦτο ὑγιὲς
εὔλογον ἂν εἴη τὸ παραχωροῦν ῥῆμα, τῇ αἰτιατικῇ τὴν ἐνεργητι-
κὴν διάθεσιν ἐμφανίζειν καὶ τὴν δευτέραν παραλαμβανομέ-
νην αἰτιατικὴν, ἐν πάθει καταγίνεσθαι. καὶ δεύτερα, τὰ πάθη τῶν
ἐνεργειῶν ἐστι. συνέβη ἐμὲ φιλεῖν Ἀπολλώνιον. τοιοῦτον γὰρ ἂν εἴη.
ἐγὼ φιλῶ Ἀπολλώνιον. καὶ δῆλον ὅτι τὸ τοιοῦτον ὑπερβατόν ἐστι.
τὸ, δεῖ δέ τι μάρτυρα ἑλεῖν τόνδε. καὶ τοσαῦτα μὲν περὶ συντά-
ξεως τῶν ἀπαρεμφάτων:~

ιθ'. ὍΤΙ χρὴ ὁριστικὴν καλεῖν τὴν ἔγκλισιν, ἤπερ ἀποφατικήν.

Ἀκολούθως ῥητέον καὶ περὶ τῶν ὑπολοίπων ἐγκλίσεων. αἷς πα-
ρέπεται ἀπὸ τῶν ἐν αὐταῖς δηλουμένων πραγμάτων τὴν θέσιν
τοῦ ὀνόματος ἀναδέχεσθαι. ἡ μὲν γὰρ καλουμένη ὁριστική. καλεῖ-
ται καὶ ἀποφατική. καὶ δῆλον ὅτι κοινῆς μὲν ἐννοίας εἴχετο τὸ καλεῖ-
σθαι αὐτὴν ἀποφατικήν. εἴγε καὶ τὸ ἀποφαίνεσθαι κατὰ πάσης φρά-
σεως παραλαμβάνεται. ἀλλὰ καὶ ἐπιρρήματά τινα, ἀποφατι-
κὰ, καλοῦμεν. ἰδίας μέντοι ἐννοίας ἔχεται ἡ ὁριστική. διὰ γὰρ ταύ-
της ἀποφαινόμενοι ὁριζόμεθα. Ἔνθεν γὰρ καὶ οἱ καλούμε-
νοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ ἔτι αἰτιολογικοὶ, συντείνου-

σιν ἐπὶ ταύτην· ὁριζόμενοι φαμὲν, ἔγραψα· καὶ διαβεβαιούμεθα ὅτι ἔγραψα, εἰς ἐπίτασιν τοῦ ὁρισμοῦ· αὐθυπάρκτου πάλιν τούτου ἐναντίον κατὰ ἀπόφασιν, ὅτι οὔ· ἀλλὰ καὶ ἐπὶ αἰτιολογικῆς ἐννοίας· ὡς γὰρ φάσκομεν ὅτι περιπατῶ, ἐπὶ λήμματι τῷ τοιούτῳ, τὸ αἰτιῶδες συναχθήσεται· ὅτι περιπατῶν κινοῦμαι· ὅπερ οὐκ ἀληθεύσει, εἰ ἀναστροφὴν λάβοι τὰ τοῦ λόγου· ὅτι κινοῦμαι περιπατῶν· καὶ δῆλον ὅτι οὐ διὰ τὸν ὁρισμὸν τὸν ἐγκείμενον τοῖς ῥήμασι· διὰ δὲ τὸ ἀκόλουθον τοῦ συνδέσμου ἐγινόμεθα· ἐπεὶ ὅσον ἐπ' αὐτοῖς τὰ ῥήματα κατ' ἰδίαν ταττόμενα, διὰ τὸν ἐγκείμενον ὁρισμὸν ἀληθεύσει τῷ κινοῦμαι περιπατῶ:~

## κ'. Ὅτι ἡ οὐ ἀπόφασις ἀναγκαίως ὁριστικοῖς μόνοις συντάσσεται.

Σαφὲς οὖν ὅτι καὶ ἐγκειμένην ἔχει τὴν κατάφασιν· καὶ ἕνεκα τούτου τὸ καλούμενον ἀποφατικὸν ἐπίρρημα, ὡς ἂν μαχόμενον τῇ ναὶ καταφάσει, ἐπιτρέχει τὴν ὁριστικὴν ἔγκλισιν· οὐ περιπατεῖ· οὐ μὴν ἔτι τὴν εὐκτικὴν ἢ προστακτικήν· οὐ δ' εἴγε ἔγκειται ἐν ταῖς τοιαύταις ἐγκλίσεσιν ἡ μαχομένη τῇ ἀποφάσει κατάφασις. ἣν ὡς προείπομεν συνέβη ἀναιρεῖσθαι ὑπὸ τῆς οὐ ἀποφάσεως· διότι μέντοι ἡ μὴ ἀπαγόρευσις ἐπὶ τὰς προειρημένας ἐγκλίσεις συντείνει, ἑτέρως εἰρήσεται· φαμὲν γὰρ μὴ γίνωσκε· μὴ γνοίης· μὴ γνῷς· χρὴ μέντοι νοεῖν ὅτι οὐδὲ ἐπὶ τὴν ἀπαρέμφατον συντείνει ἡ οὐ ἀπόφασις· οὐδὲ γὰρ δι' αὐτῆς τι καταφάσκεται· ἐν γὰρ τῷ οὐ δεῖ γράφειν, πάλιν τὸ ὁριστικόν ἐστι ῥῆμα, τὸ ἀποφασκόμενον· λέγω δὲ δεῖ ἢ χρή· ὡς εἰ καὶ λέγοιμεν, οὐ λείπει τὸ φιλολογεῖν· καὶ διὰ τῆς τοιαύτης συντάξεως ἄρα δέδεικται, ὅτι τὸ χρὴ καὶ τὸ δεῖ, ὁριστικὰ ῥήματά ἐστιν· ὁμόλογον δ' ὅτι καὶ ἡ καλουμένη ὑποτακτικὴ ἔγκλισις, συνηρτημένη οἷς ὑποτέτακται τὴν ἐκ τούτων δύναμιν ἀναδεξαμένη, ἀπροσδεὴς γενήσεται τῆς οὐ ἀποφάσεως· μετὰ γοῦν τὴν τούτων σύνταξιν οἷόν τε πάλιν ἐστὶν αὐτὴν ἀποφαίνεσθαι· ἐὰν θέλῃς, οὐκ ἀναγινώσκω· ἢ οὐκ ἀναγνώσομαι· καὶ μάλιστα ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος· διό γε οἱ παρῳχημένοι οὐ παραλαμβάνονται ἐν

ὑποτακτικοῖς, ἐν τῷ ἰδίᾳ περὶ αὐτῶν εἰρήσεται:~

κα΄. Ἕνεκεν τίνος ἡ ὁριστικὴ ἔγκλισις εἰς ἐρώτησιν ἀνάγεται;:~

Ἤτοι οὖν προκειμένη ἡ ὁριστικὴ ἔγκλισις τὴν ἐγκειμένην κατάφασιν ἀποβάλλουσα μεθίσταται τοῦ καλεῖσθαι ὁριστική· εἰς γὰρ ἐπερώτησιν πραγμάτων ἐγχωρεῖ· ἡνίκα φαμὲν γέγραφας· λέληκας· καὶ εἰ μὲν μὴ εἴη τὸ τοιοῦτον ἀληθές, φαμὲν οὔ· εἰ δὲ ἀληθὲς εἴη γεγραφέναι, φαμὲν ναί· καὶ γίνεται οὕτως ἡ ἐπερώτησις· ἅμα πληρωθεῖσα δὲ διὰ τῆς καταφάσεως, ὑποστρέφει εἰς τὸ εἶναι ὁριστική· ἡ μεγίστη ἂν εἴη ἀπόδειξις τοῦ τοιούτου· τό, ἔσθ' ὅτι τὸ ναὶ καὶ μὴ χρῆναι μορίῳ· ῥήματι δὲ τῷ αὐτῷ διὰ ὁριστικῆς προφορᾶς· ὥσπερ ἐγκειμένης τῆς καταφάσεως· πρὸς γὰρ τὸ γράφεις κατ' ἐρώτησιν, φαμὲν γράφω· ἢ κατὰ βεβαίωσιν τοῦ ὁρισμοῦ, δυνάμει διπλασιάσαντας τὴν κατάφασιν· ναὶ γράφω· οὕτως ἔχει καὶ τό, „ναὶ δὴ γέρον ταῦτά γε πάντα κατὰ μοῖραν ἔειπες· οὐκ ἀλόγου τοῦ τοιούτου ὄντος, εἴγε ἐν τοῖς προκειμένοις παρεστήσαμεν· ὅτι πολλάκις τὰ ἰσοδυναμοῦντα, παραλλήλως τίθεται εἰς πλείονα ἔμφασιν, ὡς τὸ τάχιον περιπατεῖ· καὶ μᾶλλον τάχιον περιπατεῖ:~

## κβ΄. ΠΕΡῚ ΤΗ͂Σ ΕΥ̓ΚΤΙΚΗ͂Σ ἘΓΚΛΊΣΕΩΣ:~

Ὁμοίως δὲ καὶ ἡ εὐκτικὴ ἔγκλισις ἀπὸ τῆς γινομένης εὐχῆς κατὰ παραγωγὴν τῆς ἐγκλίσεως ἔτυχεν· εἰσὶν οὖν τῆς εὐχῆς ἐπιρρήματα παραστατικά· „αἴθ' ἐγὼ γενοίμαν χρυσός· „εἴθ' Ἀφροδίτα τόνδε τὸν πάλον λαχοίην· „αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων· καὶ μήποτε τὰ τῆς συντάξεως δόξῃ κατὰ παραλλαγὴν ἔχειν τὰ συνόντα ἐπιρρήματα· καθὸ ἡ ἔγκλισις δυνάμει ἐγκείμενον ἔχει τὸ εἴθε· ἐπὶ μὲν γὰρ τοῦ εἴθε ἔγραψε Τρύφων· εἴθε ἐλάλησε, καὶ ἐπὶ τῶν τοιούτων, δῆλον ὅτι ἐν τῷ δέοντι παράκειται τὸ εἴθε· ἵνα ἡ ὁριστικὴ ἔγκλισις διὰ τοῦ παρακειμένου εὐκτικοῦ ἐπιρρήματος, εὐκτικὴν σύνταξιν ἀναδέξηται· δῆλον γὰρ ὡς διαφέρει τό, ἔγραψε Τρύφων, τοῦ, εἴθε ἔγραψε Τρύφων· ἀλλὰ σαφὲς ὅτι εἰς πλεῖον ἀποτάσεως τοῦ σημαινομένου ὅτι αἱ τοιαῦται παραθέσεις γίνονται· ὡς παρεστήσαμεν ἐπὶ τοῦ ναὶ γράφω, καὶ ἄλλων πλειόνων:~

I I

κϛʹ.

## ΤΙΝΙ ΔΙΑΦΈΡΕΙ ΤᾺ ΕΥ̓ΚΤΙΚᾺ ἘΠΙΡΡΉΜΑΤΑ ΤΩ͂Ν ΕΥ̓ΚΤΙΚΩ͂Ν ῬΗΜΆΤΩΝ· ὉΜΟΊΩΣ ΚΑῚ ΤᾺ ΠΡΟΣΤΑΚΤΙΚΆ:~

Χρὴ μέντοι νοεῖν, ὡς διαφέρει ἡ ἐκ τῶν ῥημάτων εὐκτικὴ κλίσις τῆς ἐπιρρηματικῆς. ὅτι τὰ μὲν ῥήματα μετὰ τοῦ συνόντος πράγματος σημαίνει τὴν εὐκτικὴν διάθεσιν. τὸ γὰρ γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοῖμι τοῦ φιλολογεῖν. τό γε μὴν εἴθε, σχεδὸν ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρίσταται καὶ τὸ ὅ τι μὴ τὰ περὶ εὐχῆς. τὸ τοιοῦτον ἐπ' ἄλλων πλειόνων παρεπόμενόν ἐστιν ἀποδεῖξαι. τὸ λευκότερος ἐπιπίπτει εἰς τὸ περὶ λευκότητος. ἀλλ' ἔτι τὸ γλυκύτερος, εἰς τὸ τοῦ γλυκέος. κοινῆς μέντοι ἐπιτάσεως ὀνόματά ἐστι τὰ τοιαῦτα. βελτίων· ἄριστος· ἀμείνων· ἀλλὰ καὶ τὰ τοιαῦτα ἔχει τινὰ τινὸς ἐννοίας, ἀφ' ἧς καὶ τὴν ὀνομασίαν εἴληφε. καὶ τὸ ἐπικλινώτερον μετῆλθεν εἰς κοινὴν ἐπίτασιν. ὡς τὸ ἄλιον, κἂν ποτάμιος ᾖ καὶ ἡ πύξις. κἂν διαφόρου ὕλης τύχῃ. ἐκεῖνο μέντοι ὁμολογούμενόν ἐστιν, ὡς τὸ εἷς διαφέρει τοῦ αἴας. ἣ αὐτὸ μόνον ὄνομά ἐστιν ἀριθμοῦ τὸ εἷς. Τὸ δὲ αἴας μετὰ ἰδίας ποιότητος παρυφιστάμενον ἔχει τὸ εἷς. καὶ ἔτι τὸ ἐγὼ πρὸς τὸ γράφω. καθὸ μετὰ πράγματος καὶ τῶν συμπαρεπομένων τὸ γράφω, ἐγκείμενον ἔχει τὸ ἐγώ. αὐτή γε μὴν ἡ ἀντωνυμία, αὐτὸ μόνον ἐστὶ προσώπου. ἔτι καὶ τὸ ἠλιόθεν διαφέρει τοῦ ἄλλοθεν. καθὸ τὸ μὲν ἠλιόθεν μετὰ τῆς ἐκ τοῦ τόπου σημασίας συμπαρίστησι καὶ τὸ ἴδιον τοῦ τόπου. τό γε μὴν ἄλλοθεν, αὐτὸ μόνον παρίστησι τὴν ἐκ τόπου σχέσιν. ἔτι καὶ τὸ τάχιστος μετά τινος ὑποκειμένου τὴν ἐπίτασιν σημαίνει. οὐ μὴν τὸ ἄγαν. αὐτὸ γὰρ μόνον ὄνομα ἐπιτάσεώς ἐστιν. οὕτως ἔχει καὶ τὸ γράψον ὡς πρὸς τὸ ἄγε. πάλιν γὰρ ὄνομα μόνον προστάξεώς ἐστι τὸ ἄγε. τὸ δὲ γράψον μετὰ τῆς ἐγκειμένης προστάξεως, καὶ τὸ πρᾶγμα ὑπαγορεύει καὶ τοὺς συνόντας ἀριθμούς. ἔτι καὶ τὰ πρόσωπα. ἔστι δὲ πλεῖστα εἰς τὸ τοιοῦτο παραθέσθαι. τό γε μὴν αἰθῶ φιλεῖ παρὰ νυσὶν ἀδάκρυ-

τος καὶ ἀπήμων ἦλθεν, καὶ τό, ὡς ὤφελες σὺ μὲν αὖθι μετὰ θανάτῃσιν ἁλίῃσι ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν, οὐ χρὴ παραλαμβάνειν εἰς τὸν τῶν παραλλήλων λόγον· ἰδοὺ γὰρ ἐκ τοῦ ὤφελον παρυφίσταται καὶ τὸ προσώπου διάκρισις, ἥτις οὐ σύνεστι τῷ εἴθε· καὶ δῆλον ὅτι ἕνεκα τοῦ τοιούτου, τὸ μὲν εἴθε συντάσσεται εὐκτικοῖς, οἷς σύνεστι τὸ διακεῖναι πρόσωπα· αἴθ᾽ οὕτως εὔμαιε φίλος δὴ προσγένοιο· αἴθ᾽ οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων· ἀλλὰ παρεστήσαμεν ὡς καὶ ἐν ὁριστικοῖς· ἐν τῷ εἴθ᾽ ἔγραφε Τρύφων· οὐ μὴν τοῖς ἀπαρεμφάτοις· ἐπεὶ καὶ διὰ τοῦ ἐπιῤῥήματος· ἢ διὰ τοῦ συνόντος ἀπαρεμφάτου, ἄδηλον ποίῳ τρόπῳ τὰ τῆς εὐχῆς ἐπιγίνεται· ὅθεν εἰς ἀναπλήρωσιν τοῦ λείποντος, τὸ ὤφιλον παραλαμβάνεται, εἰς ἐμφανισμὸν προσώπου, ᾧ τὰ τῆς εὐχῆς περιγίνεται· ἐν γὰρ τῷ, αἴθ᾽ ὤφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, νοεῖται ὁ Ἀχιλλεύς· πρὸς ὃν ἡ ἀπότασις τοῦ λόγου· ἐκ δὲ αὐτοῦ, ἢ τοῦ ὤφελες. καὶ τοσαῦτα μὲν περὶ συντάξεως τοῦ εἴθε καὶ τῶν ὁμοίων αὐτῷ :~

## ὍΤΙ ΚΑῚ ΤΩ͂Ν ΕΥ̓ΚΤΙΚΩ͂Ν ΕἼΣΙ ΠΑΡΩΙΧΗΜΈΝΟΙ.
## κδʹ. ΧΡΌΝΟΙ ΚΑῚ ΤΩ͂Ν ΠΡΟΣΤΑΚΤΙΚΩ͂Ν~

Ἤδη μέντοι ἢ περὶ τῆς ἐγγινομένης χρονικῆς διαθέσεως ἐν τῇ ἐγκλίσει διαποροῦσί τινες· ὡς μάτην εἰσκυκλεῖται ἡ τῶν παρῳχημένων χρόνων φωνὴ κατὰ ἔγκλισιν· ὡς οὐ δυναμένου τοῦ τοιούτου συστῆναι· καθὸ καὶ ἐπὶ ἄλλων μερῶν λόγου δηλοῦμεν οὐ παρέμπτωσις αἰτία γίνεται τοῦ μὴ συνίστασθαι σχήματά τινα τῆς λέξεως ἐν ῥήμασιν, ἤτοι, πλουτῶ· ἢ ὑπάρχω· ἤτινος τῶν τοιούτων παθητικὴ ἐκφορά· καὶ ἐπὶ τοῦ μάχομαι ἡ ἐνεργητική· καὶ ἐν γένεσι· καθὸ οὔτε τοῦ, ἐκτρώσασα τὸ ἀρσενικόν τις ζητήσει, οὔτε τοῦ ἄρσεν τὸ θηλυκόν· καὶ ἦν εἰς τὸ τοιοῦτον παράθεσις δυσπερίληπτος· ἢ δὴ οὖν ἐπὶ τοῦ προκειμένου, ἐκεῖνό φασιν· εἰ ἐν τοῖς οὐκ οὖσιν αἱ εὐχαὶ γίνονται εἰς τὸ ἐγγενέσθαι, πῶς τὰ γενόμενα εὐχῆς ἔτι δέεται· πρὸς ὃ ὅδε φάμεν· ὡς πᾶσα ἄρα ἔχει ὑπάρξαι καὶ τὴν ἐκ παρῳχημένου εὐχήν· φέρει γὰρ τὸν ὑπερβάλλοντα χρόνον τοῦ γενομένου ἀγῶνος ὀλυμπιάσι

παρῳχῆσθαι· καὶ πατέρα εὔχεσθαι ὑπὲρ παιδὸς ἀγωνισαμένου πε-
ρὶ τῆς τούτου νίκης· καὶ δῆλον ὡς οὔτε ποιήσεται εὐχὴν διὰ τῆς τοῦ ἐ-
σομένου χρόνου, οὔτε μὴν τοῦ κατὰ τὸν ἐνεστῶτα παρατεινομένου· τοῦ-
τε γὰρ τῷ παρῳχημένῳ ἀντίκειται· ὅ γε ἀκόλουθος γένοιτο ἡ εὐ-
χή· εἴθε νενικήκοι μου ὁ παῖς· εἴθε δεδοξασμένος εἴη· ἔστι δὲ οὕτω φά-
ναι· ὡς ἀληθεύει· ὅτι ὑπὲρ τοῖς μὴ οὖσιν αἱ εὐχαὶ γίνονται· οὐ συνόν-
τος δὲ τοῦ φιλολογεῖν· φαίην μὲν ἄν, φιλολογοίμι· οὐ συνόντος τοῦ
πλουτεῖν, τὸ πλουτοίμι· χρὴ μέντοι νοεῖν· ὡς τὸ ἐξαιρούμενον ἐκ
τοῦ εὐκτικοῦ, ἢ εἰς παράτασιν τοῦ ἐνεστῶτος παραλαμβάνεται, ἵ-
να ἐν αὐτῷ διαγίνηται, ὡς εἴ τις φαίη· ζῴοιμι ὦ θεοί, ἢ εἰς τελεί-
ωσιν τῶν μὴ ὄντων πραγμάτων· ὡς Ἀγαμέμνων εὔχεται· εἴθε ὦ
θεοὶ πορθήσαιμι τὴν Ἴλιον· ἡ εὐχὴ γὰρ νῦν γίνεται εἰς τὸ παρῳχημέ-
νον δὲ συντελὲς τοῦ χρόνου· τὴν δὲ παράτασιν, ἀπευκταία ἂν εἴη· πορ-
„θοῦντι γὰρ αὐτῷ τὴν Ἴλιον, ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνι-
„αυτοί· καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται· καθό τι
πάλιν κατὰ τὸ ἐναντίον ἔστιν ἐπινοῆσαι· ὑπὲρ τοῦ ζῴοιμι· οὐ γὰρ δή τι-
τος παραλήψεται εἰς εὐχὴν τοῦ ζῆν, συντελέσαι, ἐν τῷ ζήσαιμι· ἡ δὲ
τοιαύτη συντέλεια μετὰ εὐχῆς, δύναμιν περιγράφει τοῦ βίου δια-
τριβήν· τὸ αὐτὸ ἄπειρον μέτεισι καὶ ἐπὶ τὰ προστακτικά. Πάλιν δὲ
τὰ οὐ γινόμενα προστάσσεται· καὶ ἀληθὲς ὅτι τὰ παρῳχημένα ἀπένευε· καὶ
κατὰ τὸ αὐτὸ οὐ χρὴ παρῳχημένου χρόνου προστακτικὸν παραλαμβά-
νειν· καὶ ἔστι γε πάλιν ἐπὶ τῶν τοιούτων ταὐτὸ φάναι· ὅτι διαφέρει τὸ κλει-
έσθω ἡ θύρα, τοῦ κεκλείσθω· καθὸ ἡ μὲν κατὰ τὸν ἐνεστῶτα ἐκφορά, ὑ-
παγορεύει τὴν ὑποῦσαν πρόσταξιν· ὅ ἐστι ἐνεστῶτος τοῦ παρακειμένου
ἦν ἴδιον· τὸ γε μὴν κεκλείσθω, τὴν ἐκ παλαιοῦ ὀφείλουσαν διάθεσιν
γενέσθαι· ἀλλὰ ὡς εἴπομεν, ὅσα μὴ προστάσσεται αὐτῶν εἰς παράτασιν·
ὁ γὰρ ἀποφαινόμενος οὕτω· γράφε· σκάπτε, ἐν παρατάσει τῆς
διαθέσεως τὴν πρόσταξιν ποιεῖται· ὡς ἔχει δὲ τό, βάλλ' οὕτως· αἴ κέν
τι φόως Δαναοῖσι γένηαι· φησὶ γὰρ ἐν τῷ πολέμῳ καταγινοῦ εἰς
τὸ βάλλειν· ὅ γε μὴν λέγων κατὰ τὴν τοῦ παρῳχημένου προφοράν, γρά-
ψον, σκάψον, οὐ μόνον τὸ μὴ γινόμενον προστάσσει, ἀλλὰ καὶ τὸ γινό-

μένου προστάσσει, ἀλλὰ καὶ τὸ γινόμενον ἐν παρατάσει ἀπαγορεύει. ἔστι καὶ τοῖς γράφουσιν ἐν πλείονι χρόνῳ προσφωνούμενον τὸ, γράφον· τοιοῦτόν τι φάσκοντος, μὴ ἐμμείνῃς τῇ παρατάσει, ἄνυσαι δὲ τὸ γράφειν:~

κέ. Εἰ συστατὰ τὰ τοῦ πρώτου προσώπου προστακτικά:~

Τὰ δεύτερα πρόσωπα τῶν προστακτικῶν πρόδηλον ἔχει τὴν σύνταξιν· κἂν ὁμόφωνα καθεστήκῃ τῇ ὁριστικῇ ἐγκλίσει. ἡ γὰρ συνοῦσα αὐτοῖς κλητικὴ ἀμφίστησι τὴν ἀμφιβολίαν τὴν πρὸς τὸ ὁριστικὸν καὶ τὸ συντασσόμενον ἐπίρρημα. λέγω δὴ τὸ ἄγε· ὡς γε ἐν τοῖς ἑξῆς παραστήσομεν. τὰ γὰρ τρίτα καὶ τῇ φωνῇ ἰδιάσαντα, οὐδὲ κατὰ λόγον ἀμφιβάλλεται. τά γε μὴν τοῦ πρώτου προσώπου προστακτικῶν οὐδὲ παραλαμβάνεται λόγοις τοῖς τοιούτοις. Κεχωρίσθαι φασὶ δεῖ τὸν προστάσσοντα τοῦ προστασσομένου· ὅπερ οὐκ ἔστιν ἐπινοῆσαι ἐν πρώτῳ προσώπῳ. ἔστι γὰρ πρῶτον τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον. δεύτερον δὲ, τὸ πρὸς ὃ ἡ ἀπόφασις ὑπὲρ αὐτοῦ προσφωνουμένου. εἰς ὃ καὶ ἐγχωρεῖ ἡ ἔγκλισις. ἐν τῷ φεῦγε. λέγε. γράφε. ἀλλὰ κἀκεῖνο δῆλον ἐστιν· ὡς αἱ κλητικαὶ ἐν δυσὶ προσώποις καταγίνονται. τῷ τε προσκαλοῦντι καὶ τῷ προσκαλουμένῳ. καὶ διὰ τοῦτο τῶν κατὰ τὸ πρῶτον πρόσωπον ἀντωνυμιῶν κλητικαὶ οὐκ ἦσαν. τῶν γε μὴν πάλιν κατὰ τὸ δεύτερον. σαφὲς οὖν ὅτι καὶ ἐκ τῆς τοιαύτης συντάξεως δείκνυται, ὡς πρώτου προσώπου οὐκ ἔστι προστακτικά. τὴν γὰρ ἐκ κλητικῆς σύνταξιν ἀναδέχονται. ἥτις ἰδίᾳ δέδεικται ἀσύστατος κατὰ τὸ πρῶτον πρόσωπον. καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἑαυτόν τινα προσκαλούμενον, διὰ τὸ ἀχώριστον τοῦ προσώπου. οὕτως οὐδὲ ἑαυτῷ προστάσσοντα διὰ τὸ ἀχώριστον τοῦ προσώπου. πᾶν γὰρ προστακτικὸν ἐκ προσώπου ἐπικρατοῦντος συνέστηκεν, ὡς πρὸς ἐπικρατούμενον. οἱ γε μὴν παραδεχόμενοι τὴν ἐν πρώτοις προσώποις ἐπινοουμένην πρόσταξιν, οὐκ ἀνασκευάσαντες τοὺς προκειμένους λό-
„ γους παρατίθενται ὡς προστακτικὰ ἐν τῇ χρήσει. Φεύγωμεν
„ σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν. ἀλλ' ἄγε δὴ χαζώμεθα ἐφ' ἵππων.
καὶ ἅπαντα κατὰ τὴν κοινὴν χρῆσιν οὕτω λεγόμενα· ἴωμεν περι-

φέρεται καὶ τὰ ἑνικὰ παραλαμβανόμενα. ὃν γὰρ τρόπον τῶν δευτέρων πληθυντικῶν ἡ παραλήγουσα ἀποβάλλουσα τὴν τελευταίαν γίνεται τῶν ἑνικῶν, λέγετε λέγε, νοεῖτε νόει, τὸν αὐτὸν δὴ τρόπον τῶν πρώτων ἡ παραλήγουσα ἀποβάλλουσα τὸ μεν, καταστήσει τὸ ἑνικὸν προστακτικόν· φέρωμεν φέρω· ἀριθμήσωμεν ἀριθμήσω· καὶ οὐ ξένον εἰ ὁμοφωνεῖ ταῖς ὁριστικαῖς φωναῖς· ὁπότε καὶ ἐν δευτέροις προσώποις ὁμοφωνία ἐγγίνεται, πρόδηλον εἶναι ἐκ τῆς συντάξεως· τῆς ἄγε λέγωμεν· ἄγε φέρωμεν· ὡς τὸ ἑνικὸν γενήσεται, φέρε λέγω· φέρε ἀριθμήσω· τὸ γοῦν δεύτερον πρόσωπον τῆς ὁριστικῆς ἐγκλίσεως οὐ συνεμπῖπτον τῇ προστακτικῇ ἐγκλίσει, οὐδὲ τὴν τοιούτων σύνταξιν ἀναδέχεται· τίς γὰρ ἂν φαίη· φέρε λέγεις· ἢ φέρε ἀριθμήσεις· οὕτω δ' ἔχει κἀκεῖνο· ἄγ' ἄγε δὴ τὰ χρήματα ἀριθμήσω καὶ „ἴδωμαι· ἀλλ' ἄγε τῶν ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι, ἐξείπω·

## ὍΤΙ Ἡ ὙΠΟΘΕΤΙΚῊ ἜΓΚΛΙΣΙΣ ΟΥ̓ ΠΆΝΤΩΣ Ἣ ΑΥ̓ΤῊ ΤΗ͂Ι, ΠΡΟΣΤΑΚΤΙΚΗ͂Ι ΚΑῚ ΤΊΝΟΣ

κϛʹ. ἝΝΕΚΕΝ ΣΥΝΤΆΞΕΩΣ Ἡ ὙΠΟΤΑΚΤΙΚῊ ἜΓΚΛΙΣΙΣ ΕἼΡΗΤΑΙ·

Ἔμοιγε μὴν δοκεῖ τὰ τῆς ἐγκλίσεως ἐπί τι παράγεσθαι· ἐπεὶ γὰρ δύο ἐγκλίσεις δύο συνωθοῦσιν εἰς μίαν ἔγκλισιν· ἔχει δὲ τὰ τῆς ἀποδείξεως τῇδε. δέδοται ὅτι τὸ προσκαλούμεθα ἑαυτούς· τὸ δὲ μὴ προσπέσωμεν ἑαυτοῖς, καθ' ἣν εἴπομεν ἔννοιαν τοῦ προστακτικοῦ, ὑποτιθέμεθα μέντοι ἑαυτούς, ὥσπερ ἔχει ὁ ποιητὴς ὁ Διός· ἐν γὰρ πολλαῖς ὑποθήκαις γινόμενος μίαν ἀρέσκην ὑπονοῆσαι, τοιοῦτόν τι ἐστί· „πέμψω ἐπ' Ἀτρείδην Ἀγαμέμνονα οὖλον ὄνειρον· ἢ πάλιν ἡ μετάληψις γενήσεται εἰς ἀπαρέμφατον κατὰ τὸν δογματικόν· πέμψει ἐπ' Ἀτρεί„δην Ἀγαμέμνονα οὖλον ὄνειρον· ἀπὸ δὴ τοῦ τοιούτου ἑνικοῦ μετείη καὶ πληθυντικὸς ἀριθμός, ἐπισπώμενος τῆς ἐκ δευτέρων καὶ τρίτων προσώπων σύλληψιν· πέμψωμεν· ἀριθμήσωμεν· ὃν μάλιστα καὶ εὔχρηστον παραλαμβάνω καθεστῶτα, ὡς πρὸς τὰ ἐπικρατοῦντα πρόσωπα εἶναι„ σύνταξιν ἐπικρατουμένων προσώπων τινῶν ἀναδέχεται· ὥσπερ μὲν τὰ„ ὡς τὰ προστακτικὰ ἐξ ἐπικρατούντων καὶ προσώπων ἐστὶν

κραγου μένων· ἃ καὶ τὴν πρόσταξιν ἀναδέχεται τοῦ πράγματος·
ἵν' οὖν ἐκκλίνῃ τὴν ἐν δευτέροις προσώποις γινομένην πρόσταξιν,
σύλληψιν δέχεται εἰς τὸ πρῶτον· ἥτις κατὰ τὸ ἑνικὸν ἐνδέχεται ὑποθε-
τικῇ· καὶ δῆλον ὅτι τῇ ἐπικρατείᾳ τῇ κατὰ τὸ πρῶτον, τὰ συγ-
γενόμενα πρόσωπα τῆς αὐτῆς ἐγκλίσεως ἐτύγχανε· τοιοῦτον γάρ
ἐστι καὶ τὸ πρὸς Σθένελον εἰρημένον· ἀλλ' ἄγε δὴ χαζώμεθα ἐφ' ἵππων·
ἵνα μὴ ἐν τῷ ὑπερέχοντι προσώπῳ προστάξῃ ἐν τῷ χάζευ· τοιοῦτον
ἐστὶ καὶ τὸ πρὸς Νέστορος εἰρημένον· ἀλλ' ἄνδρας κτείνωμεν· ἑαυτοὺς
γὰρ συλλαβών, προθυμοτέρους καθίστησι τοὺς Ἕλληνας εἰς τὸν κα-
τεπείγοντα πόλεμον· οὐ δὴ ἦν δεύτερα καὶ τρίτα ὑπολαμβάνω
πρόσωπα εἶναι τῶν τοιούτων ὑποθετικῶν· ἵνα γὰρ μὴ γένηται δεύ-
τερον πρόσωπον, ἐγένετο καθ' ἣν εἴπομεν σύλληψιν τῶν ἑνικῶν·
ἔστι καὶ διὰ τῆς φωνῆς τὸ τοιοῦτον παραστῆσαι· πάσης ἐγκλίσεως
τὰ δεύτερα πρόσωπα πληθυντικὰ εἰς τε λήγοντα, ἰσοχρονεῖ κατὰ
τὴν παραλήγουσαν τοῖς πρώτοις· λέγοιμεν λέγοιτε· λέγομεν λέ-
γετε· διὰ τοῦτο φαμὲν τὸ εἴπουμεν παράκειται τῷ εἴπετε·
τὸ δὲ εἴπωμεν, τῷ εἴπητε· παρεωσὸν ὑποδείγμασι χρῆσθαι· καθολι-
κοῦ ὄντος τοῦ λόγου· πῶς οὖν καὶ κατὰ τὸν λόγον τῆς φωνῆς παρα-
κείσεται τὸ, φεῦγε τῷ φεύγωμεν· τὰ εἰς θε λήγοντα μιᾷ ἐνδεῖ συλ-
λαβῇ τῶν εἰς θα ληγόντων κατὰ πᾶσαν ἔγκλισιν· οὐκ ἄρα καὶ κατὰ
τοιοῦτον τὸ πεποιήκωμεθα παρακείσεται δεύτερον τῷ πεποίη-
σθε· φαίνεται οὖν ὅτι τὸ λεῖπον τῶν προστακτικῶν προσώπων,
λέγω τὸ πρῶτον καὶ τὰ λείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρί-
τα, εἰς ἕνωσιν ἄγει τὸ, τὰς δύο ἐγκλίσεις παραλαμβάνεσθαι· ἵν' ἑ-
κατέρα ἀνταναπληρωθῇ τοῦ λείποντος τῶν ἐγκλίσεων, καὶ κατὰ
τὸ σημαινόμενον συνεχουσῶν· εἰ δέ τινες προσβιάσοιντο τὰ ἐν
δευτέρῳ προσώπῳ καταγίνεσθαι τὰ ὑποθετικὰ καθ' ὁμοφωνίαν τὴν πρὸς
τὰ προστακτικά, ἐκεῖνο ἂν φαίημεν, ὡς συνοῦσα ἡ διὰ τοῦ ἄγε σύν-
ταξις, ὑφαίρετον καταστήσει τὴν προστακτικὴν ἔγκλισιν· προφανῶς
γὰρ τὸ ἐγκελευστικὸν ἐπίρρημα, ἐπέτεινε τὴν πρόσταξιν.

Ἐχομένως ἐστὶν καὶ περὶ τῶν κατὰ τὸ τρίτον προστακτικῶν. ἃ δὴ

I I iiii

καὶ αὐτὰ δευτέρου προσώπου φασὶν εἶναι. διαφέρειν δὲ τῶν προκειμένων, καθὸ ἐκεῖνα μὲν αὐτόθεν πρόσταξιν πράγματος παραδέχεται. ταῦτα δὲ ἐγκελεύεται εἰς ἑτέρων προσώπων πρόσταξιν. τὸ δὲ λέγω καὶ τὰ ὅμοια σαφὲς ὅτι καὶ τὰς ἐγκελεύσεις ἔχει διττάς. τήν τε ἐν δευτέρῳ καταγινομένην, καὶ τὴν ἐξ αὐτοῦ εἰς τρίτα μετιοῦσαν. καθάπερ ἐστὶν ἐπινοῆσαι κἀπὶ τῶν μονοπροσώπων ἀντωνυμιῶν. ἡ μὲν γὰρ ἐγώ. καὶ αἱ σύζυγοι, καὶ ἅπαξ ἑνικῶς νοούμεναι εἰσὶ καὶ ἓν πρόσωπον ὑπαγορεύουσιν. ἡ γε μὴν ἐμός, καὶ δὶς ἑνικῶς νοεῖται, καὶ δύο πρόσωπα παρεμφαίνει. ἴσως δὲ καὶ ἡ ὀρθοτονουμένη ἀντωνυμία κἂν ἁπλῆ ᾖ, διὰ τῆς ἐπιτάσεως διαστολῆς τὸ δισσὸν πρόσωπον. οὔτε μὴν ὅτι ἐν δευτέρῳ προσώπῳ καταγίνεται, οὔτε μὴν ἐξαιρέτως ἐπὶ τῶν προστακτικῶν ἐγχωρήσει τὸ τοιοῦτον. πολὺ γὰρ πρότερον καὶ ἐπὶ τῆς ὁριστικῆς ἐγκλίσεως τὸ τοιοῦτον ἂν παρέποιτο. ἀποφαινόμεθα γὰρ καὶ πρός τινας περί τινων. ὀρθῶς διαλέγεται τρύφων. ἡμέρα ἐστί. καὶ οὐ πάντως τὰ τοιαῦτα ὅτι πρός τινα ἐστί, καὶ δεύτερα εἰρήσεται. διὸ καὶ ἐπιτεταγμένοι οἱ ἀφορισάμενοι τὸ δεύτερον πρόσωπον πρὸς ὃν ὁ λόγος, ὅτι μὴ προστιθέασι καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου. καὶ δὴ τὰ προκείμενα συντάσσεται μὲν δευτέροις προσώποις. οὐ μὴν δεύτερά ἐστιν. οὐ γὰρ κατὰ τῶν προσφωνουμένων αἱ προστάξεις γίνονται. κατὰ δὲ τῶν ἐν τοῖς τρίτοις νοουμένων. σαφὲς κἀκ τοῦ τρίτου μετ' ἀριθμοῦ. ἡνίκα ἐν δευτέρῳ προστάσσεται, ἑνικῶς μὲν γίνεται λέγε. πληθυντικῶς δὲ λέγετε. οὐ μὴν ἐνταῦθα λεγέτω ταὐτὸ παρακολουθήσει. τρίτου γὰρ καθεστῶτα τὰ ἐν τρίτοις προσώποις διαλλαγὴν ἔχει τοῦ ἀριθμοῦ, λεγέτω λεγέτωσαν. οὐκ ἐνεχόμενα δευτέρου προσώπου, οὐδαμῶς τρίτου ἀνακεχώρηκεν. ὃ δὴ εἰ φύσει προσείχετο κατὰ προσώπου μερισμόν, ἀνεδέξατο ἂν καὶ τοῦ συνόντος ἀριθμοῦ ἑνικοῦ ἢ πληθυντικοῦ. καθάπερ ἐπὶ τῶν ἀντωνυμιῶν. ἡμέτερος. ἐμός. ἐπεὶ οὖν τό, λεγέτω ἢ λεγέτωσαν ἢ τὰ ὅμοια. οὐκ ἔχει διαστολὴν τοῦ κατὰ τὸ δεύτερον πρόσωπον ἐν ἀριθμῷ. πότερον ἑνί τις ἀποφαίνεται περὶ ἑνὸς ἢ πλείοσι περὶ ἑνὸς ἢ καὶ περὶ πλειόνων.

οἷόν τι γάρ ἐστι φάναι καὶ ἀθροιστί· γραφέτω ὁ στρατηγὸς ὑμῶν· καὶ ἔτι· γραφέτωσαν οἱ δεσπόται· καὶ οὐδὲ μία ἐστὶν ἐναλλαγὴ· ἡ μόνη κατὰ τὸ τρίτον νοουμένη· ὡς ἐστι καὶ τὰ πρόσωπα· τὸ δὲ ὅσω λεγέτω καὶ πάντα τὰ τοιαῦτα, σημαίνει ἀπόντων προσώπων πρόσταξιν ἀναγκαίως· δευτέρου προσώπου ἐναλλασσομένως παραλαμβανομένου, εἰς μετάδοσιν τῶν προστάξεων· ἐπεὶ πάλιν ἡ πρόσταξις ἐκ τοῦ δευτέρου προσώπου ἀσύστατός ἐστιν· ἔνθεν γὰρ καὶ ταῖς ἐν δευτέρῳ προσώπῳ νοουμέναις ἀπάντοτε κλητικαὶ σύνεισι· πρόσκειται δὲ ὡς τὸ πλέον συνεμπίπτουσι τῶν ὁριστικῆς ἐγκλίσεως αἱ φωναί· ὡς τὸ λέγετε καὶ λέγεσθε· καὶ ἔτι διανοεῖσθε καὶ ἅπαντα τὰ τοιαῦτα. Ἀλλ' ἐπεὶ πάλιν αἱ κλητικαὶ συνεμπίπτουσι ταῖς εὐθείαις, συγγίνεται δὲ εὐθείαις τὰ ὁριστικά. Ἀλλ' ἔτι αἱ κλητικαὶ τοῖς προστακτικοῖς· πάλιν τὸ διανοεῖσθε ἄνοι, οὔπω διακέκριται εἰ μὴ ἔτι προσγίνηται τὰ ἰδιάζοντα πρὸς ἑκάτερα τῶν μερῶν οὐ λάγον φήσομεν γὰρ ἐπ' εὐθείας, ἄνοι ὄντες διανοεῖσθε· ἤγουν οἱ ἄνοι τινες κατὰ προστακτικὴν ἔγκλισιν· κατὰ δὲ ὁριστικήν· καθάπερ ἐστὶν ἐπινοῆσαι κατὰ τοῦ πρώτου, καὶ τρίτου· ἄνοι ὄντες διανοούμεθα· ἄνθρωποι ὄντες διανοοῦνται· κἀκ τῆς ἐνικῆς συντάξεως προφανὴς ὁ λόγος· ἄνους ὢν διανοῇ· ἄνους ὢν διανοοῦμαι. Ἀλλ' ἔτι διανοεῖται· ἐφ' ἧς συντάξεως κατὰ τὸ κλητικὸν αἱ δύο φωναὶ ἐναλλάσσονται· ἄνε διανοοῦ· ἀλλὰ κἀκ τῆς συνούσης μετοχῆς προφανές· οὐ γὰρ συνίσταται ἡ ὢν μετοχὴ μετὰ κλητικῶν· μετὰ μέντοι τῶν εὐθειῶν· ἢ γὰρ φαμὲν ἄνε ὤν· ἄνθρωπος ὢν οὕτως ἀπεδείκνυτο καὶ ἡ σὺ, ὡς εὐθεῖα ἐν τῷ σὺ ὤν· ὥσπερ καὶ ἐγὼ ὤν· κἂν μετὰ ἄρθρου λεγόμενον, οἱ ἄνοι διανοεῖσθε· οὐ κατὰ τὴν κέλευσιν τοῦ διανοεῖσθε· ὥσπερ ἐλέγομεν παρέχειν ἡμῖν τὸ λογιστικόν· τοῦ ἄρθρου μηνύοντος τὴν εὐθεῖαν· εἰ γὰρ προθείη τις τὸ ὦ, γενήσεται καὶ τὸ διανοεῖσθε προστακτικόν· ὦ ἄνοι διανοεῖσθε· ἀλλ' ἔτι τὸ ἄγε· ἄγε διανοεῖσθε ὦ ἄνθρωποι· ἐφ' ἧς συντάξεως πάλιν, εἴ τις ἂν τιθείη τὸ ὅτι, ὅτι διανοεῖσθε, μεθίσταται τὰ τῆς συντάξεως εἰς ὁριστικὴν ἔγκλισιν. Καὶ τοσαῦτα μὲν περὶ τῶν ὁμοφωνούντων. Περὶ δὲ τῶν μὴ ὁμο-

φωνούντων μήτε ἐν τοῖς ὀνόμασι μήτε ἐν τοῖς ῥήμασιν, οὐδὲ κατὰ λόγον τὰ περὶ σύνταξιν δεῖται λόγου. ἄνθρωπος ἔγραφεν. ἄνθρωποι ἔγραφε. εἰ γὰρ αὐτὰ μὲν ὁ ἕτερος τὰ μὲν τὸ ἕτερον γίνεται ὁμόφωνον, τὸ συμφερόμενον, τὸ ἀμφίβολον ἀποστρέφεται. φέρε φάναι περὶ τοῦ Ἑλικὼν, καὶ τῶν ὁμοίων ὀνομάτων. προσκείμενον γὰρ τὸ ὁριστικόν, εὐθεῖαν σύνταξιν ἀπαιτεῖ· Ἑλικὼν γράφει ψιλικόν. τό γε μὴν προστακτικὸν κλητικήν· Ἑλικὼν γράφε. ἢ ἀνάπαλιν. ὥστε τὸ εὔχεται λέγω κατὰ παρατατικὴν προφορὰν τοῦ τρίτου προσώπου. εὔχεται ποτὲ τὸ ἐν Δωδώνῃ χαλκεῖον. ἀλλὰ καὶ κατὰ προστακτικὴν προφοράν. ἡνίκα λέγω εὔχου σύ. ὁ προσδεχόμενον τὸ περὶ εὐθείας ῥῆμα, παρατατικὸν ἀποτελέσει τό, εὔχεται. εὔχεται ὁ ξένος. εὔχεται ὁ ἄνθρωπος. ἢ πάλιν τὸ κλητικόν, τὸ προστακτικὸν ἀποτελέσει· εὔχου ἄνθρωπε. ἐφοῦ δὲ προσγενομένη ἡ ὁμόφωνος εὐθεῖα, τίνα ἂν ἀμφίβολον ποιήσει τὴν σύνταξιν. ἐν τῷ εὔχου Ἑλικών· ἑξῆς τὰ μὲν συντάξει χρεία γ' τοῦ προκειμένου μορίου. ὁ Ἑλικὼν εὔχεται. ἄρτι εὔχου ὦ Ἑλικών. ἄρτι εὔχεται Ἑλικὼν ἐν ἀλλοίᾳ μιᾷ. ἔτι ἀναιρεῖται τῆς κληρισμοῦ ἐστι κλητικῆς. ἰδοὺ γὰρ καὶ αὐτὸ τὸ Ἑλικὼν ἐλλείπον τῷ ῥήματι εὐθεῖαν ὁμολογεῖ· ὁ τρόπος δὲ εὔχου κλητικῆς ἐστι πληροῦσα. τοιοῦτον οἷον ὦ Ἑλικὼν εὔχου. ἐνδεικνυμένου τοῦ ἐνεστῶτος ἀπό ποτε τὰ πληθυντικὰ συνεμπίπτοντα. ὧν ἡ διάκρισις ἐγίνετο διὰ τοῦ ἄγε. ἢ ὅτι ὑποσταλλομένου ἑνὸς ῥήματος τοῦ ἐστε, τοῦτο γὰρ ἀπέβαλε τὴν ἀμφιβολίαν. ἔτι βαρυνόμενον μέν, προστακτικόν ἐστιν. ὀξυνόμενον δὲ ὁριστικόν. καὶ ἴσως δόξει ἀλληγορεῖσθαι περὶ φωνῆς. ὅτι μὴ τῆς καθολικῆς ὑπέστη. καὶ οὔτε τὸ ὀξυνόμενον ἡμάρτηται, ἢ τὸ βαρυνόμενον προστακτικόν, ἐφ' ἃ ἂν φαίη τις. ὡς ἅπαντα τὰ εἰς τε λήγοντα προστακτικὰ βαρύνεται. καὶ διὰ τοῦτο βαρυνόμενον τὸ ἔστε κατορθωθέν. καὶ λείπεται τὸ ἐστὲ ὀλιγωρεῖσθαι. ὅτι ὁμοφωνεῖ τῷ κατὰ τοὺς ἐσμέν· αἰτιολογεῖν θέλει τὰ δεύτερα ὁριστικὰ πληθυντικά, τοῖς πρώτοις· ἴσμεν ἴστε. δίδομεν δίδοτε. εἰ οὖν ἐσμέν, δῆλον ὅτι καὶ ἐστέ. τί οὖν χρὴ ἐπὶ τοῦ τοιούτου διαλαβεῖν, ἢ ἐκεῖνο ἀποφήνασθαι. ὡς ὀξύνεται μὲν τὸ ὁριστικὸν ἐν τῷ ἐσμὲν ἐστέ· διὰ τὸ εἶναι ἐγκλιτικά.

ὅτι οὐ συνέστρεψεν τὸ τέλος· καὶ ἐπεὶ δὴ ἐν τοῖς προστακτικοῖς ἀφί
σταται ἡ ἔγκλισις συναφίσταται καὶ ἐπὶ τοῦ τέλους ὀξεῖα· ἥτις αἰτία τῆν
τῆς ἐγκλίσεως, διὰ τοῦτο τὸ μὲν εἰμὶ ὀξύνεται· ὁριστικὸν ὄν· καθὸ
ἐγκλιτικόν· οὐ μὴν τὸ ἴσθι προστακτικὸν καθὸ οὐκ ἐγκλιτικόν· καί
τοι πάλιν τῶν εἰς θι ληγόντων προστακτικῶν, ὁμοτονούντων τοῖς εἰς
μι· ζώννυμι ζώννυθι· εἰμὶ ἴσθι· ὅθεν οὐ συγκατατίθεμαι τοῖς ἐν προ
στακτικῇ προφορᾷ ὀξυτονοῦσι τὸ φαθί· συνεμπλεκομένοις ἐκ τοῦ
τρίτου προσώπου τοῦ φάτω· ὃ δὴ ὁμότονον καθεστὼς τῷ δευτέρῳ
ὁμοίως τοῖς ἄλλοις ἢ λέξις τὴν παρὰ τὸ δίον ὀξεῖαν:~

## κζʹ. ΕἸ ΣΥΝΚΑΤΑΘΕΤΈΟΝ ΤΟΙ͂Σ ΚΑΛΟΥ͂ΣΙ ΔΙΣΤΑΚΤΙΚῊΝ.

Ἐξῆς ζητέον καὶ περὶ τῆς ὑποτακτικῆς ἐγκλίσεως· ἥν τινες καὶ διστακτικὴν ἀποφαίνονται, ἀπὸ τοῦ ἐξ αὐτῆς δηλουμένου· καθάπερ καὶ αἱ προκατειλεγμέναι ταυτὸ ἀνεδέξαντο. Σαφὲς γὰρ ὅτι τὸ ἐὰν γράφω καὶ τὰ τούτοις ὅμοια, δισταγμὸν τοῦ ἐσομένου πράγματος σημαίνει· ἀλλ' ἴσως ἀντικείσεται τὸ μὴ ἀπ' αὐτὰ ἔχεσθαι τῆς ἐννοίας τοῦ δισταγμοῦ· τὸν δὲ παρακείμενον σύνδεσμον αἴτιον γεγενῆσθαι τῆς διστακτικῆς ἐννοίας· καὶ εἰ ἀπὸ τῆς δυνάμεως τῶν συνδέσμων ἔοικε τὰ ῥήματα ἀναγκάζεσθαι, οὐδὲν κωλύει καὶ τὰς λοιπὰς ἐγκλίσεις μετατίθεσθαι τῆς ἰδίας ἐγκλίσεως ἀναδεξαμένας τὴν ἐκ τῶν συνδέσμων δύναμιν. οὐ γάρ ἐστιν ὁριστικὸν τὸ, εἰ ἔγραψα, εἰ ἐφιλολόγησα· οὐδὲ ταυτόν ἐστι τὸ φιλολογήσω, τῷ ἤτοι φιλολογήσω· ἢ πορεύσομαι εἰς περίπατον· οὐδὲ τὸ γράψαιμι ἂν εὐχὴν ἐπαγγέλλεται· ὁρισμὸν δὲ τοῦ ἐσομένου πράγματος. σχεδόν τε ὑπὸ τὸν αὐτὸν δισταγμὸν πίπτει, τὸ, εἰ περιπατεῖ, κινεῖται· ἐὰν περιπατῇ, κινηθήσεται. καὶ οὐ καλεῖται τὸ εἰ περιπατεῖ διστακτικόν· ἀλλὰ πρὸς τὴν τοιαύτην ἀντίρρησιν ἐνὸν ἀπαντῆσαι. Ὡς αἱ μὲν ἄλλαι ἐγκλίσεις ἐκτὸς οὖσαι τῶν συνδέσμων, τὸ ἐξ αὐτῶν δηλούμενον ἀνεδέξαντο. Ἐξ οὗ καὶ τὴν θέσιν ἔχει τοῦ ὀνόματος. προστίθεμαι γὰρ ὅτι γράψαιμι εὐχῆς ἐστι προστακτικόν· καὶ τὸ περιπατῶ ὁρισμοῦ. ὅθεν εἰ ταύτης ἀποστήσοιτό τις συνδεσμ-

καὶ σύνταξιν, οὐκ ἐκ ταύτης ἐξ οὗ τὴν θέσιν τοῦ ὀνόματος· ἐκ δὲ τῆς φύσει αὐτοῖς ἐγκειμένης ἐγκλίσεως. καθὸ καὶ αὐτοὶ οἱ σύνδεσμοι ἐκ τῆς ἰδέας περιεμφαίνοντες τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέξαντο. διαζευκτικοὶ καλούμενοι· διστακτικοί· συναπτικοί· καὶ ἄλλοι οἱ ὑπόλοιποι. ὁ δὲ καὶ τῆς καλουμένης διστακτικῆς ἐγκλίσεως παρὰ τὸ ἐκτὸς συνδέσμου σημαίνεσθαί τι, κἂν πάντως τὴν ἐκ τοῦ τοιούτου ὀνομασίαν ἀνεδέξατο. νυνὶ δὲ οὐδέποτε ἐμόνασεν ἐκτὸς συνδέσμου· καὶ οὕτως ἄδηλον ἔχει τὸ σημαινόμενον· καὶ διὰ τοῦτο αὐτὸ οὐκ ἔχον ἰδίως καλούμενον, παρεδέξατο ἐκ δυνάμεως τοῦ συνδέσμου τὴν τοῦ ὀνόματος θέσιν ἐπιφέρεσθαι. Ἦν δ' ἂν ὁ λόγος πάνυ ἀπαράδεκτος, εἰ τὰ καλούμενα ὑποτακτικὰ ῥήματα, συντάξει μιᾷ ἐκέχρητο συνδεσμικῇ τῇ προκειμένῃ. Νυνὶ δὲ οἱ καλούμενοι ἀποτελεστικοὶ ὑπὸ τὴν αὐτὴν σύνταξιν φέρονται· ἡνίκα φαμὲν τρύφων περιπατεῖ, ἵνα ὑγιαίνῃ· ἢ δὸς τὸν χάρτην, ἵνα γράφω· καίτοι μᾶλλον ἀποτελεστικὰ ὤφειλε καλεῖσθαι τὰ ῥήματα, ἢ διστακτικά, ἀλλ' οὐδὲ ἀποτελεστικά· ἰδοὺ γὰρ κατὰ ἀπολογικὴν σύνταξιν· ἡνίκα φαμὲν, ἵνα ἀναγνῶ, ἐπεμήθην· ἵνα ἀναστῶ ἠνιάθη τρύφων· ὑγιῶς εἴρηται ἀπὸ τοῦ ἑνὸς τοῦ παρακολουθοῦντος τῇ προκειμένῃ ἐγκλίσει τὸ μὴ συνίστασθαι αὐτήν, εἰ μὴ ὑποπέσοι τοῖς προκειμένοις συνδέσμοις εἴρηται ὑποτακτική. ὅτι δὲ καὶ ἐπ' ἄλλων μερῶν λόγου μερικὴ διαφωνία αἰτία γίνεται τοῦ εἰς κοινὸν ὄνομα ἀναγκάζεσθαι τὴν θέσιν σαφές ἐστιν ἐξ αὐτῶν τῶν συνδέσμων· οἱ μὲν γὰρ ἄλλοι ἀπὸ τῆς δυνάμεως ὀνομαζόμενοι τὴν θέσιν ἔχουσι τῶν ὀνομάτων· ἀπὸ τοῦ ἐν συναφείᾳ τοὺς λόγους ἐπάγειν συναπτικοί· ἢ ἀπὸ τοῦ διαζευγνύειν, διαζευκτικοί· καὶ ἅπαντες οἱ ὑπόλοιποι. ἄλλοι γε καλούμενοι παραπληρωματικοί, οὐ κατὰ τὸ δηλούμενον τὴν θέσιν ἔχουσι· οὐ γὰρ ἀληθές ἐστιν ὥς τινες ὑπέλαβον μόνους αὐτοὺς ἀναπληροῦν τὸ κεχηνὸς τῆς ἑρμηνείας ἐκ δὲ τοῦ διὰ τοῦτο εἰρῆσθαι παραπληρωματικούς· ὅτι γὰρ ἕκαστος αὐτῶν ἔχει τινὰ δύναμιν, παρεστήσαμεν ἐν τῷ περὶ συνδέσμων.

Οὐ κακῶς ἐστι τὸ, τοῦτό μοι χάρισαι. τῷ, τοῦτό γέ μοι χάρισαι.

οὐδὲ τὸ, ἀπαθὴς ὢν τοῦ ἀπαθός περ ὤν· οὐδὲ τὸ αὐτὸ ἐμφαίνει τό, οἱ μὲν, παρ' ὄχεσφι, τοῦ, οἱ μὲν δὴ παρ' ὄχεσφι· περιγραφῆς γὰρ λόγου σημεῖόν ἐστιν ὁ δή. οὐδὲ γὰρ ἐκεῖνο ἐξαίρετόν ἐστι, τὸ, αὐτοῖς μόνοις ἐν πλεονάσματι εὑρίσκεσθαι· ἀλλὰ σχεδὸν τὸ τοιοῦτον πάθος σύνεστι καὶ κατὰ τῶν ὑπολοίπων συνδέσμων· τόν, τε Μηριόνης πρότερος. ἤτοι μὲν Μενέλαος· κὰδ δ' ἀλλοφρονέοντα· μυρία ἐστὶν εἰς τὸ τοιοῦτον παραθέσθαι. ἀλλ' οὐκ ἴδιον συνδέσμων τὸ, ἐν πλεονασμῷ καταγίνεσθαι· σχεδὸν γὰρ ἐπὶ πάσας τὰς λέξεις τὸ τοιοῦτον συντείνει· καὶ εἰ ἀπὸ τοῦ πλεονάζοντος ἡ θέσις τοῦ ὀνόματος, τίς ἡ ἀποκλήρωσις τοῦ, ἐπὶ τῶν συνδέσμων τὸ τοιοῦτον παρηκολουθηκέναι· λέγω τῶν παραπληρωματικῶν. ἢ ὅτι οἱ μὲν ἄλλοι σύνδεσμοι διάφοροι ὄντες κατὰ τὰς φωνάς, μίαν δύναμιν ἐπηγγέλλοντο· ὅθεν καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέχοντο. οὐ μὴν τοῖς παραπληρωματικοῖς ταὐτὸ συνηκολούθηκε· σχεδὸν γὰρ ἕκαστος αὐτῶν ἰδίαν τι ἐπηγγέλλετο, μείωσιν μὲν ὁ γε· ἐν τῷ, τοῦτό γέ μοι χάρισαι· περιγραφὴν λόγου ὁ δή· ἐναντιότητα ὁ περ μετ' αὐξήσεως ἐμφαντικῆς· ὧν οὖν ἀνέφικτον τὸ ἐκ τοῦ σημαινομένου τὴν ὀνομασίαν αὐτοῖς ἀναδέχεσθαι· διὰ τὸν προκείμενον λόγον· κοινὸν οὖν παρείπετο αὐτοῖς, τὸ πλεονάζειν κατὰ τὸ λοιπόν· καὶ ἐκ τοῦ κοινῶς παρεπομένου τὸ ὄνομα ἀνεδέξαντο. οὐ διαψευδόμενοι τὴν θέσιν τοῦ ὀνόματος. ὁ τοιοῦτος λόγος συντείνει καὶ ἐπὶ τὰ παρώνυμα τῶν ὀνομάτων· καὶ τὰ ῥηματικά. τὰ γὰρ ταῦτα ἐκ τῆς προϋφεστώσης ὕλης τὴν ὀνομασίαν ἐδέξαντο. ἀδυνατεῖ γὰρ ἐκ τοῦ δηλουμένου ἕνεκα τῆς ἐν αὐτοῖς γινομένης παμπόλλου διαφορᾶς· εἴ γε πάλιν τὰ ἄλλα τῶν εἰδικῶν ἑνὶ δηλουμένῳ ἐπέχετο· ὅθεν καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέχετο ἡ προκειμένη ἔγκλισις· μετὰ τοῦ ἐὰν συνδέσμου καὶ τῶν ἰσοδυναμούντων ἐπὶ μέλλοντα φέρεται, ἢ ἐνεστῶτα. ἐὰν φιλολογῶ, παραγενήσεται δίων· ἐὰν ἀναγινώσκω, παραγίνεται τρύφων· ἀκατάλληλον γὰρ τὸ ἐν παρῳχημένῳ· ὁμοίως καὶ ὁ ἵνα, ἀποτελεστικός· ἵνα φιλολογήσω παραγενήσεται τρύφων. ἔτι παρακε

γίνεται· εἰ γὰρ ἐγγίνοιτο παρῳχημένου σύνταξις δύναται ἡ αἰτιώδης ἀκούεσθαι· ἵνα φιλολογήσω παρεγενήθη τρύφων. οὐ τοῦτο δέ φημι· ὅτι καὶ ὁ ἀποτελεστικὸς πάλιν οὐ δύναται ἀκούεσθαι, εἰς τὸ φιλολογῆσαί με παρεγενήθη τρύφων. Ἐπὶ τοῖς οὖν ἐσομένοις ἡ σύνταξις τῇ αἰτιολογικῇ οὐκ ἂν γένοιτο. Ἐπὶ γὰρ γιγνομένοις αἱ αἰτίαι ἐπιλέγονται· ὅθεν κατὰ μέλλοντος γίνεται ὁ αἰτιολογικὸς ἐπιφερομένων τῶν παρῳχημένων· ἵνα ὑβρίσω θέωνα. οὐ φήσομεν ἀγανακτήσει δίων· ἠγανάκτησε δέ. ἐπεί γε μὴν τοῦ ἀποτελεστικοῦ ἐστι φάναι· ἵνα ὑβρίσω θέωνα, παρέσται τρύφων:~

## κα. ΠΟΊΑΣ ἘΓΚΛΊΣΕΩΣ ἘΣΤΙ ΠΑΡΆΛΗΨΙΣ ὙΠΟΤΑΚΤΙΚΉ.

Ἀκόλουθόν ἐστι θέσθαι καὶ περὶ τῆς συντάξεως τῆς ὑποτακτικῆς· ἀπὸ ποίας ἐγκλίσεως οἱ παρατιθέμενοι σύνδεσμοι ἀξιοῦσι τὰ ῥήματα. ἔφαμεν γὰρ ἐν τοῖς προκειμένοις τὰ τοιαῦτα ῥήματα μὴ συνίστασθαι χωρὶς τῶν συνδέσμων. τὸ αὐτὸ πάντως καὶ κατ' ἰδίαν ῥητόν ἐστι. οὐ γὰρ δήπου ἓν μέρος λόγου ἐν παραθέσει, τὸ ἐὰν δράμῃς ἐὰν γράφῃς· ἵνα, μὴ δῶμεν τό, μὴ πάντως ῥητὸν εἶναι τὸ συντιθέμενον κατ' ἰδίαν. ὥσπερ ἐστὶν εὑρέσθαι μυρία ῥήματα, ἐν θέσει μεταπεπτωκότα κατὰ σύνθεσιν· ὧν τὸ διαλυόμενον κατ' ἰδίαν, οὐκ ἔστι ῥητόν. παρὰ τὸ σέβομαι, ἐγένετο εὐσεβής. καὶ οὐ ῥητὸν κατ' ἰδίαν τὸ σεβής. ὁμοίως καὶ τὸ προσπαγής, παρὰ τὸ ἐπάγη. οὐ ῥητὸν τὸ παγής. γείνω ἀπηνής. τὸ δ' ὅλον ὡς ἔφαμεν ἕν ἐστι τὸ ἐὰν λάβῃς ἵνα μὴ πάντη τὸ λάβῃς καταναγκάζηται κατ' ἰδίαν λέγεσθαι. εἰ δὲ καὶ τὸ τοιοῦτον δεῖται ἀποδείξεως, βραχέα παραθησόμεθα· ὑπὲρ τοῦ μὴ ἡνῶσθαι εἰς ἓν μέρος λόγου τοὺς συνδέσμους τοῖς ῥήμασι. Πόθεν οὖν αἱ μεταξὺ ζόμεναι λέξεις παρεμπίπτουσιν· ἐὰν σήμερον ἢ αὔριον ἀκούσῃς, ἀντιλήψῃ τῶν λεγομένων. ἀλλ' ἐπεὶ ἢ ἐν συνθέτοις τὸ τοιοῦτον ἐγγίνεται· ὡς ἐν τῷ λέων κατὰ ταῦρον ἐδηδώς. νήπιοι· οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον. ἐκεῖνο ὁμόλογόν ἐστιν· ὡς τὸ ἵνα δράμῃς· ὄφρα πεποίθῃς. Τὰ τοίνυν ὅμοια, τὴν ἐν ἑκατέρῳ μέρει λόγου τάσιν ἀναδέχεται· ὅσα ἐν παραθέσεως οὔσης καὶ οὐ συνθέσεως· πρὸς οἷς

οὐ δὲ οἱ σύνδεσμοι συντίθενται καθ' ἓν μέρος λόγου· οἱ τῇ συντιθε-
μένοι μόνοι εἰσὶ συναπτικοί. ἔστιν οὖν ἡ πρώτη ἐκφορὰ τῶν ὑπο-
τακτικῶν ὁριστική· ἣν οἱ παρατιθέντες σύνδεσμοι ἐκ φωνῆς ἰδιω-
μάτων κατέστησαν· διὸ καὶ προσεγένετο ἡ ἔγκλισις· ἐπεὶ τοί γε εἰ ἐ-
φυλάσσετο τὸ, εἰ ἔλαβες ἐν τῷ ἐὰν λάβῃς, συνέμενεν ἂν καὶ ἡ αὐ-
τὴ ὀνομασία τῆς ἐγκλίσεως· καὶ εἰ μὴ ὁρισμὸν σημαίνει καθὼς καὶ
ἐν τοῖς προκειμένοις παρεστήσαμεν, ὡς ἔστι τὸ ἔγραψα ἂν οὐκ ἐμφα-
νίζον ὁρισμὸν τοῦ πράγματος καλεῖται ὁριστικόν, διὰ τὸ συνημ-
μένον σχῆμα τῆς ἐγκλίσεως. ἅμα οὖν καὶ τῷ τὴν φωνὴν ἀποστῆ-
ναι, ἐν τῷ, ἐὰν λάβῃς, ἐὰν δράμῃς, συναπέστη καὶ ἡ ὀνομασία τῆς
ἐγκλίσεως· προφανὲς γὰρ αἱ φωναὶ διέστησαν εἰς μείζονα χρόνον,
ἐν τοῖς συνοῦσι βραχέσι φωνήεσι κατὰ τὰς ὁριστικὰς ἐγκλίσεις,
τῶν ὑπολοίπων συλλαβῶν συμμενουσῶν· εἰς μαι λήγει τὸ ὁριστι-
κόν· λέγομαι· ἀλλὰ καὶ τὸ ἐὰν λέγωμαι· ἐπεὶ τρία οἰκειότης τὸ
εὐκτικὸν τὸ, λέγοιμι· ἢ τὸ ἀσύστατον προστακτικὸν ἢ ἀπαρέμ-
φατον τὸ λέγεσθαι· ὁμοφωνεῖ δὲ τῷ δευτέρῳ· ὅτι λέγῃ· ἢ ἐὰν λέγῃ
τὸ λέγεο ἢ λέγου, οὐδὲ μίαν οἰκειότητα ἐχόντων πρὸς τὴν ὑποτα-
κτικὴν φωνήν. Τὰ τρίτα δὲ πληθυντικά, λέγοιεν· ἢ λεγέτω-
σαν· τό γε μὴν ὁριστικὸν λέγουσι· καὶ πάλιν τούτῳ συμφέρε-
ται τὸ, λέγωσιν· ἐὰν λέγωσιν· ὁμοφωνεῖ δὲ ἁπάντοτε· ἐὰν βοῶ-
μαι· ἐὰν γελῶμαι, κατὰ δευτέραν συζυγίαν τῶν περισπωμέ-
νων· ἐπί τε προσώπων τῶν κατ' ἐνεστῶτα, λέγω δὲ κατ' ἐνεργητικὴν
τὴν λέξιν, ἐὰν λέγω, ὅτι λέγω, ἐπί τε δευτέρων προσώπων ἁπάντο-
τε παθητικῶν· ὅτι λέγῃ σύ· ἐὰν λέγῃ σύ· ὅτι νοῇ σύ· ἐὰν νοῇ σύ· πε-
ριττὸν ἡγοῦμαι τὸν λόγον ἐπὶ πλεῖον προάγειν· προφανὲς ἐστί· ἀλλ' ἔτι
δείξαμεν τὴν ὁριστικὴν ἔγκλισιν κατάρχουσαν τῶν ἐγκλίσεων· ὡς
ἂν ἐμφανεστάτην οὖσαν, καὶ πλείοσι τομαῖς χρόνων προσκεχρη-
μένην, καὶ ταῖς συνούσαις φωναῖς. ὅθεν εἰ τὰ εὐκτικὰ καὶ τὰ
προστακτικὰ κανόνα ἔχει τὴν ὁριστικὴν ἔγκλισιν, πε-
ριττὸν ἂν εἴη τὸ ζητεῖν, εἰ καὶ τὰ ὑποτακτι-
κὰ ἐξ αὐτῆς μετείληπται:~

: κθ'. ΔΙΑ τί πάντα τὰ ὑποτακτικὰ εἰς ω λήγει.

Ὀφειλόμενόν ἐστι καὶ τῇ συντάξει τῶν ἐπιζευκτικῶν ἐπιστῆσαι. τί δή ποτε τὰ τέλη παρὰ τὰ ἄκρα τῶν παρῳχημένων φωνῶν· οὐ γὰρ ἐφικτὴ ἡ σύνταξις τοῦ, ἐὰν ἔλεξα· ἐὰν πέποιθα· καὶ τῶν παρατατικῶν· καίτοι τῆς παραθέσεως ὡς ἔφαμεν οὐ μεταποιουσῶν τὰ τέλη τοῖς παρακειμένοις φαίνεται; ὅτι τῆς τοιαύτης καταλληλίας ἐστὶν αἴτιον, τὸ μάχεσθαι τοῖς παρῳχημένοις χρόνοις τὴν ἐκ τῶν συνδέσμων δύναμιν. δισταγμὸν γὰρ τῶν ὡς ἐσομένων πραγμάτων παριστῶσι· καὶ ἔτι τῶν ὡς τελεσθησομένων· οὓς καὶ ἀποτελεσματικοὺς συμβέβηκε καλεῖσθαι. Πόθεν οὖν τὸ χρόνος τοῦ μὲν ἐσομένου συστήσεται· ὅθεν νῦν ἀσύστατον τό, ἐὰν ἔλαβον· ἵνα ἀνέγνων. ὥς ἔσται τῶν ὁμοειδῶν συνδέσμων· συστατὸν δὲ, τὸ ἵνα ἀναγνῶ. τέλει γὰρ ἐχρήσατο τὰ ῥήματα. οὐ δυνάμενα χρόνον παρακείμενον σημῆναι κατὰ τὸ πρῶτον πρόσωπον· ὧν τὰ δεύτερα καὶ τρίτα ὀφείλοντα ἰσοχρονεῖν, τὸ αὐτὸ ω παραδέξεται· ἢ τὸ ἰσόχρονον συνγραφομένου τοῦ ι· καθὸ ἡ ἐν πρώτῳ γενομένη κατάληξις τοῦ ω, τὴν ἐν δευτέροις καὶ τρίτοις ἐκφορὰν ἔχει μετὰ φωνήεντος συνόντος τοῦ ι· τοῦ τοιούτου ἐν τελειοτέρῳ ἀποδεικνυμένου τοῦ περὶ ὀρθογραφίας. Φαίνεται οὖν ὅτι ὁ αἰτιολογικὸς σύνδεσμος τῇ πρὸς τὸν ἀποτελεσματικὸν ὁμοφωνίᾳ, συνήρπασε καὶ τὰ τῆς συντάξεως· εἴ γε τὸ ταῦτα καὶ τὰ τῆς ἐπιρρηματικῆς ὁμοφωνίας συλλαμβανομένης τῷ λόγῳ. συντασσόμενα γὰρ τὰ ὁριστικὰ μετὰ τοῦ ἵνα, ἐνδείκνυται τὸ τοπικὸν ἐπίρρημα· ἵνα τέθραφεν, ἢ διελέγοντο. ὁμολογεῖ γὰρ ὅτι οἱ αἰτιολογικοὶ παρῳχημένοις χρόνοις συντάσσονται· ὅτι ἔγραψα· ὅτι ἐνόησα. ἔχειν μέντοι τινὰ σύνταξιν ὡς αἱ γινόμεναι παραθέσεις, ὅσαι ἐνεστώτων εἰσὶ καὶ παρῳχημένων· τοιοῦτόν τι τῆς συντάξεως ἐπαγγελλομένης ἐν τῷ, ἐὰν μάθω, εἰδήσουσί μοι τὸ μαθεῖν· ἐὰν δράμω, εἰ ἀνύσαιμι τὸ δραμεῖν· ἔγγιστα τῷ ἐὰν σχῶ, ἐὰν ἐν παραστάσει γένωμαι τοῦ τρέχειν καὶ εὐθὺς ἀνύσαιμι· ἡ τοῦ μέλλοντος σύνταξις. αὐτοὶ γὰρ οἱ σύνδεσμοι, τὸ ἐσόμενον σημαίνουσιν, εἰς συντέλειαν ἢ εἰς παράτασιν. Πῶς οὖν οὐ γελοῖοι εἰσὶν οἱ ἀφορισάμενοι, ὡς Δωριεῖς πειρῶσι

τοὺς ὑποτακτικοὺς μέλλοντας. καὶ οἱ ἐπιζητήσαντες κατὰ τί οὐ περιεσπῶσιν· ὁ δὲ λόγος αὐτοῖς ἐξ ἀσυστάτου λήμματος συνίστατο. ἦν γὰρ τὸ διελέγχον τὴν τούτων ἄγνοιαν, ἡ γενομένη ὁμοφωνία ἐκ τῆς ἀπὸ λήγοντος ἀορίστου ἔχουσα τὸ τῶν. ὁ προσγινόμενος χρόνος ἐν τοῖς ὁριστικοῖς, ἅμα τῷ μεταστῆναι τὴν ὁριστικὴν ἔγκλισιν περιεγράφετο.

Παρὰ δὲ τὸ ἔλεξα, ὑποτακτικὸν μὲν γίνεται τὸ λέξαιμι· ἀπαρέμφατον δὲ τὸ λέξαι. ἃ δὴ οὖν ἐν τῇ ὑποτακτικῇ ἐγκλίσει ταυτὸ παρείπετο· μεταπεποιημένου τοῦ τέλους εἰς ω· καθότι καὶ ἐπὶ τῶν ἄλλων παρωχημένων ταυτὸ συνέβαινεν· ἔφαγον ἐὰν φάγω· ἔδραμον ἐὰν δράμω. καὶ οὕτως ἔλεξα ἐὰν λέξω· γίνεται ὅμοιον ὁριστικῷ μέλλοντι τῷ λέξω· ὅτι δὲ οὐ κατὰ σύνταξίς ἐστι τοῦ μέλλοντος, τοῦ ἀορίστου δέ, σαφὲς ἐκ τῆς προκειμένης συντάξεως· ἧς εἰ μὴ μεταλάβοιεν οἱ ἐντελέστερον τὸν λόγον παρακρούοντες, δυσπειθέστερον ἀναστρέφουσιν. ἵνα οὖν εὐσύνοπτος ἅπασιν ἡ σύνταξις γένηται, καὶ τοὺς ἀπὸ τῆς φωνῆς συντρέχοντας τῇ προειρημένῃ συντάξει παραθήσομαι. Πρῶτον μὲν παραλαβὼν ὑπὲρ οὗ ἐστι ζήτησις μετ' ὀλίγον, τὸ τοὺς Δωριεῖς καθόλου τῆς ἐγκλίσεως τὴν περισπωμένην φυλάττειν ἐν μέλλουσι· οὐ μὴν ἐν ὑποτακτικοῖς· ὅτι μηδέν ἐστιν ὑποτακτικὸν μέλλοντος. δεύτερον, καὶ τὸν ἀπὸ τῆς ἀλλοιώσεως χρηματισμόν· κατὰ μέλλοντα φασὶ λυθήσω· κομιῶ· κατὰ δὲ ἀόριστον, ἐλύθην· ἐκόμισα· τῇ ἐκφάσει ἐὰν λυθῶ· καὶ ἐὰν κομίσω. ἔτι δὲ τῷ σ συμφωνήσῃ καὶ τῆς βαρείας τοῦ ἀορίστου καὶ τῆς γραφῆς. Τρίτον ἡ τοιαύτη συζυγία κατὰ τὴν παρεληλυθότα τὰ εἰς τὸ α λήγοντος ἀορίστου· ἔστι κατὰ τὸ παρεληλυθὸς ἀντὶ τοῦ μέλλοντος, τῷ ἐναντίῳ χρόνῳ· ὁ μὲν δὲ ἀόριστος, πάντως μακρὰν αἰτεῖ· ὥστε ἀντὶ βραχείας τῆς κατὰ τὸν ἐνεστῶτα μακρὰν γίνεσθαι· ὡς τὸ αἴρω ἦρα· νέμω ἔνειμα· ὁ γὰρ μὴν μετὰ βραχεῖαν· ὡς καὶ ἐκ μακρᾶς βραχεῖαν γίνεσθαι· κείρω κερῶ· καὶ εἰ τοῦτο, τῷ ἐνεστῶτι ἀεὶ νέμω· τὸ ἐὰν νείμω· ἐὰν δείρω· ὡς δὴ μόνον ἐστὶν ἀορίστου· ἐπεὶ σὺ καὶ τὸ ἀντίθετον πρότερον τοῦ μέλλοντος παρέλαβε. λέγω δὲ τὴν μακρὰν μετὰ τὴν λέξιν δὲ τὸ ἴδιον τοῦ εἰς α λήγοντος ἀορίστου, τὸ μακρὸν παραλαμβάνεται. Τέταρτον οἱ ζητοῦντες κατὰ τί οἱ ὑπο-

K K

πρακτικοὶ μέλλοντες οὐ περαιοῦνται, τῶν κοινῶν πολὺ πρότερον τὸ τέλους ἀναδεδεγμένον· πῶς γὰρ πρὸς τὸ τέλειον οὐκ ἔστι φάναι, διὰ τί τὸ πλεῖον περιαιρεῖται· οὐ μὴν τό, ἐὰν πλέω· ἢ ὅτι διὰ τῆς περαιουμένης ἐμφαινόμενος ὁ μέλλων, τὸ δέον τοῦ λόγου καθίσταται· ὅθεν πάλιν συνεπινοεῖται τῷ ἀορίστῳ· κἂν τὰ τῆς συντάξεως ἐλάνθανεν· οἷον τὸ στήσω καὶ ἔστησα καὶ ἐὰν στήσω. Πέμπτον ὅτι τὸ δήσω καὶ τὸ θήσω, ἐὰν προσλάβῃ τινὰ τῶν ἐπιζευκτικῶν, ἀκατάλληλον λόγον ἀποτελεῖ· ὅτι γὰρ ῥήματι εἰς ω λήγοντι συντάσσονται οἱ ἐπιζευκτικοί, ὁπότε καὶ τὰ τέλη εἰς ω τρέπουσιν. ἢ ὅτι οὐκ ἦν ὁ ἔδωσα καὶ ἔθησα διὰ τοῦ σ γραφόμενα· ἵνα τὸ μὴ πάντη τὸ εἰς ω, τὸ δέον τοῦ καταλλήλου παραστήσῃ· ὀλιγωρημένοι δὲ οἱ ἀόριστοι μετὰ τῆς ὁριστικῆς ἐγκλίσεως ἐσιγήθησαν· ἄρα τῶν οὐκ ὄντων ἀορίστων· οὐδὲ τὰ τῆς ἐγκλίσεως ἐγένοντο. τῶν εἰς μι λεγόντων οὐκ εἰσὶ δεύτεροι μέλλοντες· εἰσὶ δὲ ἀόριστοι δεύτεροι· οἷον ἔδων ἀπέδων· ἔθην· ἀφοῦ ἔθημεν· καὶ ἐπεὶ ἦσαν ἀόριστοι, ἦν καὶ ὑποτακτικὴ κατὰ τὴν ἐὰν θῶ· ἐὰν δῶ. λείπεται ἄρα ὡς μελλόντων μὲν ὄντων, οὐ μὴν ἀορίστων, ἡ ὑποτακτικὴ ἔγκλισις ἀκατάλληλος· ἀορίστων δὲ ὄντων, οὐ μὴν μελλόντων, ἀκατάλληλος καὶ ἡ ὑποτακτικὴ ἔγκλισις.

λ´. Τίσι τῶν ῥημάτων οὐ παρακολουθήσεται παθητικὴ ἔγκλισις· καὶ κατὰ πόσους τρόπους.

Ἀκόλουθόν ἐστι διαλαβεῖν καὶ περὶ τῆς ἐγκλινομένης διαθέσεως καθ' ἑκάστην ἔγκλισιν· ἧς οὐδὲ τὰ ἀπαρέμφατα ἐκτὸς ἐγένετο· διὰ τὸ κατηναγκασμένον τοῦ συνέπεσθαι ἅπασι χρόνοις ἢ ἐνεργητικῶς ἢ παθητικῶς ἢ καὶ ἔτι μέσως. ἔστι μὲν οὖν ἐπιστῆσαι τὸ πρότερον· εἰ ἐν ἅπασι τοῖς ῥήμασι ἔνεστι τὸ διάφορον τῆς διαθέσεως σὺν τῆς προειρημένης μεσότητος· ὡσεὶ καὶ ἐπὶ τῆς τῶν ὀνομάτων κατὰ γένος διακρίσεως ἢ ἅπασι παρέποιτο, τὸ ἐν παραχωρισμοῖς καταγίνεσθαι θηλυκοῦ τε καὶ οὐδετέρου· ἢ οἷς μὲν παρακολουθήσει τὸ αὐτὸ μόνον ἐν ταῖς ἐγκλίσεσι καταγίνεσθαι ἐν ὁριστικῇ ἀποφάσει ἢ εὐκτικῇ· καὶ οὐκ ἔτι τῶν ὑπολοίπων· ὡς μὲν κατὰ διάθεσιν ἐνεργητικὴν ἢ παθητικὴν ἢ καὶ ἔτι· οἷς μὲν μετὰ τῆς ὁριστικῆς ἐγκλίσεως καὶ

ἔτι τῶν ὑπολοίπων διάθεσιν δηλούντων ἐνεργητικήν· ἢ μὴν καὶ διακειμένοις τὴν παθητικήν· ἔστι γὰρ τὸ λεγόμενον τοιοῦτον· ἐκεῖνο ῥῆμα ὁριστικόν, ἤτινος ἄλλης ἐγκλίσεως, τοῦτο πάντως ἐν διαθέσει καταγίνεται τῇ ἐνεργητικῇ· χρὴ δὲ νοεῖν, ὅτι ἡ ἐνέργεια, καὶ ὑποκειμένου τινὸς ἀκριβάζεται· ὡς τὸ τέμνω· τύπτω· καὶ τὰ τούτοις παραπλήσια. ἧς καὶ τὸ παθητικὸν ἐκ προϋφεστώσης ἐνεργητικῆς διαθέσεως ἀνάγεται διαιρεῖται. τὰ μὲν γὰρ δὴ τούτοις ὅμοια ἐστι· τὸ ὑπάρχω· τὸ ζῶ· τὸ εἰμί· τὸ πνέω· τὸ φρονῶ· τὰ ὅμοια· τῶν δὲ τοιούτων ἀνάλογον ἡ παθητικὴ ἔγκλισις ὑποσταλήσεται. ὅτι μὲν γὰρ διὰ τῆς ὁριστικῆς ἐγκλίσεως τὰ ἐνεργούμενα πρόσωπα παρίστησιν. εἰ πάντα διατιθέντα τὸ παθεῖν ὁμολογήσει. εἴγε οὖν τὸ φρονῶ ἐν συνθέσει γένοιτο καταφρονῶ, τὴν ἐκ τοῦ φρονεῖν διάθεσιν μεταβιβάσαν ἐπί τι ὑποκείμενον ἐν τῷ καταφρονοῦντος, οὐκ ἀκώλυτον ἐστὶ τὴν παρακειμένην παθητικὴν διάθεσιν· καταφρονοῦμαι ὑπὸ σοῦ· ὥστε οἱ τὰ τοιαῦτα ῥήματα κλίνοντες εἰς παθητικὰς ἐκφοράς, ὁμόλογοί εἰσι μὴ λήμματα φωνῆς παραλαμβάνοντες· τὴν μὲν φυσικὴν κλίσιν· τὴν δὲ σύνταξιν· ὥσπερ ἂν εἰ καὶ ἀρσενικόν τις ἀποφαίνοιτο τοῦ γελάσασα, ἢ ἔτι τοῦ ἐκβοώσασα. ἤτινος τῶν κατὰ φωνὴν μὲν δυναμένων συνεμπίπτειν, τὴν μὲν ἐν παραδοχῇ λόγου· ἔστι δὲ οὖν τὰ προειρημένα αὐτὸ μόνον ὁρισμοῦ ἐμφαίνοντα τοῦ συνεῖναι· τὸ ζῆν· τὸ φρονεῖν· τὸ σηρᾶν· καὶ ἔτι ἐπὶ τῆς συνούσης οὐσίας τὸ ὑπάρχειν. καὶ ἔτι ἐπὶ τῶν ἔξωθεν προσγινομένων κατ' οὐσίας περικτῆσιν· ὡς τὸ πλουτεῖν κερδαίνειν· ἔστιν ἃ καὶ ψυχικὴν ἢ σωματικὴν διάθεσιν σημαίνει· οἷς οὐ προσγίνεται πάλιν ἡ παθητικὴ ἔγκλισις. διὰ τὸ ἐν τῇ προσούσῃ καταλήξει τὸ πάθος ὑπαγορεύεσθαι. ἔστι μὲν γὰρ τὸ ἀνιῶ ἐν διαβάσει ἑτέρου προσώπου· ὅπερ ἀποτελέσει παθητικὸν τὸ ἀνιῶμαι· οὐ μὴν τὸ κοπιῶ· ἢ τὸ ὀφθαλμιῶ· τὰ γὰρ τοιαῦτα τῶν ῥημάτων ἐν αὐτῷ πάθει ἔχει τὸν ὁρισμόν. καὶ ἐπειδὴ τὸ διατίθεσθαι ἢ ἐπὶ τοῖς ἀκτικοῖς γίνεται, ἢ ἐπὶ τοῖς μὴ ἔχουσιν ὁμόλογον ὅτι οὐ συστήσεται παθητικὰ τοῦ πάσχω· χαίρω· ἐρυθριῶ· θνήσκω· ἐρῶ· θάλλω· ὀρεκτιῶ· ναυσιῶ· τοιοῦτον γάρ τι παρακολουθήσει ὡς εἰ καὶ ἀρσενικοῦ ὀνόματος ἀρσενικόν τις ζητήσειεν· ὅθεν —

κοῦ θηλυκόν· ὡς δὲ τὸ ἐν παθητικῷ ὄντος· παθητικόν τις ζητήσειε· τὸ γοῦν διὰ τοῦ μέσου ἐνεστῶτος ἐν τύπῳ παθητικῷ ἐνέργειαν σημαίνοντα, ἅπερ ῥᾳδίως ἔχει τὸ διὰ τοῦ ω κατάληξιν ἐνεργητικὴν ἔσται, ἐπεὶ τὸ ταύτης ἄχρηστον διὰ τοῦ προειρημένου μέσου ἐνεστῶτος καταλείπεται. Ὡς ἔχει τὸ βιάζομαί σε· μάχομαί σοι· καὶ ἄλλα πλεῖστα. σαφὲς οὖν παντὸς παθητικοῦ εἰς μαι λήγοντος ἐνεργητικὸν ἔστι παραδέξασθαι· ἐὰν μετὰ τῆς καταλήξεως συντρέχῃ καὶ τὰ τῆς συντάξεως· ἵσταμαι ὑπὸ σοῦ· ἵστημί σε· δαίρομαι ὑπὸ σοῦ· δαίρω σε· ἕλκομαι ὑπὸ σοῦ· ἕλκω σε· εἴ γε τὸ πέταμαι ὑπὸ σοῦ· διὰ τοῦτο οὐδὲ τὸ πέτημί σε. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἄγαμαι· δύναμαι· ἔραμαι. ἔστι δὲ καὶ διάθεσις σημαίνει ἐνεργητικήν· ἐν μὲν ἔχει ἀντιπαρακειμένην παθητικὴν ἐκφοράν· καθὸ τὰ διατιθέμενα, ἄψυχα καθεστῶτα, οὐκ ἠδύναντο ὁμολογῆσαι τὸ παθεῖν· εἰ μὴ τὸν αὐτόν τις λόγον διαθείη· ὡς ἔχει τὸ περιπατῶ· τούτου γὰρ οὐ συστατὸν τὸ περιπατοῦμαι· οὐδὲ τὸ περιπατεῖ· καθὸ οὐδὲ πρὸς τὰ ἄψυχα αἱ ἀποστάσεις τῶν λόγων· οὐδὲ γὰρ ἐξ ἀψύχων αἱ ἀποφάσεις γίνονται· περὶ γε μὴν αὐτῶν περιπατεῖται ἡ ὁδὸς οἰκεῖται ἡ γῆ. ὁ αὐτὸς λόγος ἐπὶ τοῦ πλέω· τρέχω· καὶ ἁπάντων τῶν τοιούτων διαθέσεων ἐνεργητικῶν. ἔστι τὸ δωρίζω· αἰολίζω· καὶ τὰ παραπλήσια· ἀλλ' οὐ συστατὸν τὸ δωρίζομαι· αἰολίζομαι· τὸ γε μὴν αἰολίζεται τὰ Ἀλκαίου ποιήματα· δωρίζεται τὰ Ἀλκμᾶνος· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἀριστῶ· δειπνῶ· προδήλου ὄντος τοῦ λόγου, περὶ ὧν ἐγχρονίζειν ἐν τοῖς ὑποδείγμασι. σαφὲς γὰρ ὅτι καὶ δειπνίζω ἢ ἀριστίζω ἐπιδεξάμενα πλαγίαν τὴν θέσιν· ἀριστίζομαι· ὡς πρὸς ἔμψυχον, ἐνελλιπὲς ἔχει τὸ δειπνίζομαι· τοιοῦτον γάρ ἐστιν· ἄριστον παρέχω τινί· καὶ δεῖπνον· ὥστε διαφέρειν τὸ ἀριστῶ τοῦ ἀριστίζω· ἢ τὸ μὲν ἀριστῶ ὑποφαίνει, ἀρίστου μεταλαμβάνω· τὸ δὲ μὴν ἀριστίζω, ἀρίστου μεταδίδωμι τινί· ᾧ καὶ τὰ τῆς συντάξεως ἐγγινόμενα ὡς ἔφαμεν, τὸ παθητικὸν ἀπετέλεσε· τὴν αὐτὴν ἔχει διαφορὰν καὶ τὸ γαμῶ πρὸς τὸ γαμίζω· ἔστι γὰρ τὸ μὲν πρότερον, γάμου μεταλαμ-

κάνω· τὸ δὲ γαμίζω· γάμου τινὶ μεταδίδωμι· τὸ γαμῶ γαμεῖ, πα-
θητικῶς κρίνεται· καθὸ καὶ τὰ τῆς διαθέσεως πρὸς σύνταξιν
ἐμψύχου προσώπου κατηγόρητο. Τούτων οὖν τῶνδε ἐχόντων, ἐ-
πιστατέον τὸ ἐρείπω ῥήματι, εἰ συνωνυμεῖ τὸ ῥίπτω· ὃ παραλαμβάνε-
ται κατὰ διάλεκτον γινομένης ὀξυτόνος μετοχῆς πεσών· καὶ εἰ τὸ
πεσὼν οὐκ ἔχει παθητικόν, συνεστὸν δέ ἐστι φάναι πεσόντι; δῆλον
ὅτι καὶ τὸ ἐρειπόντι πολυνείκει παρὰ Πινδάρῳ, ἀναλογώτερον
κατασταθήσεται διὰ τοῦ ο μικροῦ γραφόμενον. ἀλλ' εἰ μὲν ἦν ἀληθὲς
τὸ συνωνυμεῖν τὸ ἐρείπω τῷ πίπτω, οὐκ ἂν ὑπῆρχε τὸ ἐρείπεται·
ὡς οὐδὲ τὸ πίπτεται· μήποτε γὰρ μᾶλλον τῷ βάλλω συνωνυμεῖ·
καὶ ὡς βάλλουσι· οὕτως ἐρείπουσι· καὶ ὡς βέβληται, οὕτως ἐρήριπ-
ται· καὶ γὰρ τὸ ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν, οὐχ ὡς οἴονταί τινες ἀπὸ
τοῦ ῥίπτω κέκλιται· οἰκειότερον γάρ πως τὸ καταστρέφεσθαι τεῖ-
χος ἐστίν, ἢ ῥίπτεσθαι. ἔστι δὲ οὖν ἀπὸ τοῦ ἐρείπω κατὰ παθητικὴν δι-
άθεσιν τρίτου προσώπου κατὰ χρόνον τὸν ὑπερσυντέλικον· κατ'
Ἀττικὴν διάλεκτον συστολῆς γινομένης τοῦ η εἰς ε. καθὼς ἔχει καὶ
τὸ ξηρὸν ξερόν· πεθῆσαι τεθέσαι· ἀπὸ τοῦ ἐρείπω ἤριπτον· ὡς ἤριπτο·
καὶ ἔτι ἐρέριπτο. τὰ δὲ προκατειλεγμένα τῶν ῥημάτων πρὸς εὐ-
θεῖαν σύνταξιν ἀπαρτίζει διάνοιαν· περιπατεῖ, τρυφῶν· ζῇ. Πλά-
των· ἀναπνεῖ Διονύσιος· πλεῖ· τρέχει· χωρὶς εἰ μὴ ἐπὶ τῷ αὐτοπα-
θεῖν αἰτιάσεώς τις τὸ τρίβειν τὸ πάθος· φησὶ δὲ Θέων ὑπὸ τῶν λυπηρῶν
πάσχει Θέων ὑπὸ τῆς γυναικός· πυρέσσει Θέων διὰ τὸν κόπον· ἀπαρκεῖ κἂν
μὴ προσκέηται τῇ αὐτοτελείᾳ τοῦ πάθους, ἀμφιδιαστόν ἐστιν· ἐπεὶ γε
τῷ περιπατεῖ· ζῇ· ἀκριστεῖ· ἐν τοῖς ὁμοίοις αὐτοτελέσιν οὖσι, προσε-
τίθη ἔθετι τὸ ἐν γυμνασίῳ ζῇ· ἢ ἐν οἴκῳ· ἐπειμὴ ἡ παράθεσις τῶν
ἄλλων ῥημάτων τὸ ἡμιτελὲς καθίστησιν· ὡς ἔχει τὸ τρυφῶν βλάπτει·
τρυφῶν φιλεῖ· διὸ καὶ τὰ τοιαῦτα οἱ ἀπὸ τῆς στοᾶς ἐλάττονα κατη-
γορήματά φασιν· ὡς πρὸς σύγκρισιν τῶν ἐν αὐτοτελείᾳ καταγι-
νομένων ῥημάτων, καὶ πάντως ἐπιζητούντων πλαγίαν· ἃ μέντοι
μοι δοκεῖ βίαιον εἶναι τό, ἔνια τούτων τὸν αὐτὸν ἐπέχει λόγον τοῖς προ-
ειρημένοις· ὥστε μὴ πάντως πλαγίαν ἐπιζητεῖν· αὐτὸ γὰρ μόνον τὸ

μενούσης ἐθέλοντα, τὰ ἐγκείμενα πάθη φαινόμενα· ἐρῶ τούτου· φιλῶ τοῦτον· ὡς εἰ ἦν ἐπανάστασις τῶν προσώπων· ἀναγινώσκει τοῦτο· αὐτὸ μένον τὸ πρᾶγμα μένοντος. ἔστιν ἐν ἀποφάσει γὰρ ἔστι φάναι· οὐκ οἶδεν ἀναγινώσκειν οὗτος· τὸ μὲν γὰρ ... πιστικώτερον φάναι· οὗτος ὑφαιρεῖ μονώσκει τὰ Ἀλκαίου. Ὅμηρος· οὗτος φιλεῖ Διονύσιον· οὗτος φα... ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ τύπτει, καὶ τῶν δυναμένων ταυτὸ παραστῆσαι κύριόν τι γὰρ φάναι, οὗτος τύπτει· ὡσεὶ καὶ οὗτος ἠχεῖ· ἢ ψόφον ποιεῖ· ὅτι καὶ ἐν ἀπαγορεύσει φαμέν· μὴ τύπτε· μὴ βόα· οἷς πάλιν ἔστι προσθεῖναι αἰτιατικὰς πτώσεις. δῆλον ὅτι τούτων παθητικὰ γενήσεται φερομένων ἐπὶ πλαγίαν πτῶσιν· οὐ μὴν τῶν δοκούντων κατὰ τὸ τέλειον τοῦ λόγου καθεστάναι· καθὸ δυνάμει ὅμοια ἐστὶ τοῖς προκατειλεγμένοις· λέγω τὸ περιπατεῖν, πλουτεῖν. πρόκειται γὰρ ὅτι τὰ τοιαῦτα οὐκ ἔχει πλαγίαν πτῶσιν· ἔστιν οὖν καθολικώτερον φάναι, ὡς τὰ πρὸς εὐθεῖαν συναρτώμενα τῶν ῥημάτων, καὶ οὐκ ἀπαιτοῦντα πλαγίαν πτῶσιν, οὐδὲ παραδέξεται τὴν ἐκ παθητικῆς προφοράν· τὰ γε μὴν πλαγίαν ἀπαιτοῦντα πάντως καὶ εἰς παθητικὴν διάθεσιν μετασχηματισθήσεται· συμπαραλαμβανόμενα γενικῆς μετὰ τῆς ὑπὸ προθέσεως· δέρομαι ὑπὸ Τρύφωνος· τιμῶμαι ὑπὸ ἐκείνου· καὶ αὕτη μὲν μόνη ἐστὶ τῆς παθητικῆς ἡ σύνταξις· τῆς μεταφορητικῆς, ἐν γενικῇ ἡ σύνταξις ἐκτὸς τῆς ὑπὸ προθέσεως, ὡς τὸ κυριεύω σου· καὶ δοτικῇ· ὡς τὸ πολεμῶ σοι· καὶ αἰτιατικῇ· ὡς τὸ τιμῶ σε.

### Τίνα τῶν ῥημάτων γενικῇ πτώσει συντάσσεται, καὶ τίνα δοτικῇ.

Ἡ δὲ προκειμένη σύνταξις αὐταρκέστερον καταστήσεται, τῷ τοὺς προαγομένους ἀπλούστερον τὰς παραδόσεις τῶν λόγων λαμβάνειν· ἐπεὶ γὰρ μόνον μετὰ πάσης ἀκριβείας ἐπεξίασι τὰ τῆς συντάξεως λόγου, προσυνέστηκεν ἀποδεῖξαι, τίνα τῶν ῥημάτων γενικὴν ἀπαιτεῖ· καὶ τί τούτου τὸ αἴτιον· καὶ τίνα δοτικήν, συνόντος πάλιν τοῦ αἰτίου, ὡς ἂν τὸ κατὰ τῆς αἰτιατικῆς· καὶ δῆλον ὅτι διὰ τὸ πλῆθος τῶν ῥημάτων καὶ τὰ τῆς συντάξεως ἰδιώματα δυσπερίληπτα γενήσεται· ἀπάρξομαι δὲ τὸ δέον προσδιευκρινήσειν.

αἱ μὲν τὴν ἐκ τῶν εὐθειῶν γινόμεναι δράσεις, χρὴ δ' ἐπὶ αἰτιατικὴν ἅπασαι συντείνουσι· παρυφισταμένου καὶ τοῦ ἐνεργοῦντος· καὶ τοῦ τὸ πάθος ἀναδεχομένου· ὡς ἐν τῷ δαίρουσι· τύπτουσι· τῶν παθόντων καὶ τὴν παθητικὴν σύνταξιν ἀνθυπαγομένων εἰς εὐθεῖαν· τῶν δὲ δρασάντων εἰς γενικὴν μετὰ τῆς ὑπό· ἐγὼ δαίρομαι ὑπὸ σοῦ· διὰ τί δὲ μετὰ τῆς ὑπὸ προθέσεως, ἑξῆς εἰρήσεται· ἡ δὲ προκειμένη σύνταξις κἂν σωματικὰς τὰς τῶν ἐνεργειῶν σημαίνῃ· κἂν ἔτι ψυχικὰς ὡς εἴπομεν μιᾶς ἐκ τῶν καὶ τῶν συντάξεως ἔχεται· καίτοι πολλαχῶς ἐστὶ τὸ διατίθεσθαι, πλεῖστοι ἔτι τρόποι παρακολουθήσουσι τῶν ῥημάτων καὶ τὰς ἰδιότητας τῆς ἐνεργητικῆς· εἰσὶ μὲν γὰρ σωματικαὶ διαθέσεις αἱ τοιαῦται· τρίβουσι· νίπτουσι· ῥαίνουσι· ἕλκουσι· βιάζομαι· χαλῶ· γυμνάζω· νύσσω· κνήθω· σμῶ· σμήχω· τύπτω· παίω· λύω· δεσμεύω· πλήσσω· φονεύω· κτείνω· φθείρω· καίω· φλέγω· θερίζω· ζημιῶ· βλάπτω· ἔτι σωματικαὶ καὶ ψυχικαί· ὑβρίζω· καὶ γὰρ καὶ διὰ χειρῶν ἔτι ψυχικῆς διαθέσεως· καθὸ ἔχει τὸ λοιδορεῖν ἔτι τὸ κακολογῶ· αἰνιῶ· λυπῶ· καὶ ὅσα ἐπὶ ἐγκωμίων· ὑμνοῦσι· μεγαλύνουσι· ᾄδω· μέλπω· δοξάζω· κλείω· ἀφοῦ καὶ τὸ κλέος· αἰνῶ· καὶ ἐπὶ τῶν διαχρουστικῶν· παραλογίζομαί σε· κλέπτω· ἀπατῶ· ποικιλῶ· παίζω· ἀπαφῶ· ἐξαπατῶ· πλανῶ· ἔτι ὅσα ἀποσκοῦσι τῶν ὑποκειμένων· καὶ ὡς τὸν ποθοῦσι· ζητοῦσι· καὶ εὑρίσκω· ἔτι ὅσα ἐν ἐπικρατείᾳ· ἔχω· κρατῶ· φυλάσσω· τηρῶ· εἴργω· καὶ τὸ μὲν ἐρίζουσι καὶ παλαίουσι καὶ τὰ τούτοις ὅμοια, δοτικὴν παραδέχεται, διὰ λόγον ὃν ἐκθησόμεθα· τό γε μὴν νικῶ· ἐν ἐπικρατείᾳ πάλιν γινόμενον, αἰτιατικῇ συμφέρεται· ὁμοίως καὶ αἱ σεπτικώτερον παραλαμβανόμεναι συντάξεις· τιμῶ σε· σέβομαί σε· πολλὰ ἐκ τῆς φιλέουσ ἐνεργείας, ὧν παραληπτικόν ἐστι τὸ σέβομαι· ἐντρέπομαι· αἰσχύνομαι· προσκυνῶ· θωπεύω· κολακεύω· ἄζομαι· καὶ ὅσα ἐν ἐπινοίᾳ ἐστὶ ψυχικῆς διαθέσεως συντείνοντα· ἐπιτι-οἴομαί σε· ὑπολαμβάνουσι· ὑπονοῶ· ὑφορῶμαι· καὶ τὰ προαιρετικὰ τῶν ῥημάτων, τὰ τῆς διαθέσεως ἔχει συντείνοντα κατὰ αἰτιατικὴν πτῶσιν· ἐπεὶ πάντα τὰ ῥήματα ὧν ἐστι καὶ ἐλλειπῆ, εἰ γίνοιτο ἐκ πρώτου πρὸς τὸ δεύτερον ἢ τρίτον, ἢ ἐκ τρίτου πρὸς δεύ-

K K iiii

τέρον καὶ πρῶτον· ὅπερ ἐστὶν ἐπιμονώτερον φράσαι, εἰ ἐν διαβάσει εἴη τοῦ προσώπου· τὸ δὲ βούλομαι φιλολογεῖν· προαιροῦμαι ἀναγινώσκειν, οὐ δεῖται τῆς προδιαστελλούσης ἀντωνυμίας· ἐπεὶ δύναμιν ἔχει αὐτοπαθείας ἔχει τὰ τῆς συντάξεως· ἐπεί τοι πάλιν ὁ λόγος τοιοῦτος· βούλομαι ἐμαυτὸν πλουτεῖν· βούλομαι ἐμαυτὸν περιπατεῖν· τουτέστι διατίθεμαι εἰς τὸ περιπατεῖν· εἰς τὸ πλουτεῖν· ἐν τοῖς διαβιβαζομένοις προσώποις ἀνάγκη τὸ ἀντωνυμικὸν ἐπιφέρεσθαι· βούλομαί σοι γράφειν· βούλομαί σε Διονύσιον φιλεῖν· εἰ δὲ μὴ τὸ τοιοῦτο, πάλιν συνδραμεῖται τὸ ἀπαρέμφατον· τὸ βούλομαι· καὶ οὕτως αὐτοπαθὲς ἔσται· συμπαραλαμβανομένης μὲν τῆς ἐμαυτὸν ἀντωνυμίας· ἐὰν καὶ τὸ ῥῆμα ἐπὶ πλαγίαν φέρηται· οὐ συμπαραλαμβανομένης δὲ εἰ μὴ τοιοῦτον ἔχει·

Τοῦ μὲν προτέρου λόγου τὸ γυμνάσωσι· βούλομαι γυμνάζειν ἐμαυτόν· δείρωσι· βούλομαι δείρειν ἐμαυτόν· τοῦ δὲ δευτέρου λόγου, πλουτῶ· ἀδιάβιβαστον· ὅπερ οὐ πάντως ἐπιζητήσει τὸ βούλομαι πλουτεῖν ἐμαυτόν· ἀλλὰ καὶ χωρὶς τῆς ἀντωνυμίας· ταυτὸ καὶ ἐπὶ τὸ βούλομαι περιπατεῖν ἐμαυτόν· καὶ τῶν ὁμοίων· ὥστε συνάγεσθαι τὸ ἐκ μὲν τῆς προτέρας συντάξεως πάντως ἐπιζητεῖν τὴν ἐμαυτὸν ἀντωνυμίαν· ὡς ἐν τῷ βούλομαι βλάπτεσθαι· βούλομαι φιλεῖσθαι· οὐ μὴν ἐπὶ τοῦ περιπατεῖν· πλουτεῖν· καὶ τῶν ὁμοίων· ἴσως ποιήσεται τὸ βούλομαι· προαιροῦμαι· θέλω· καὶ τὰ τούτοις ὅμοια· τῷ τὴν αἰτιατικὴν πτῶσιν μὴ φέρεσθαι· τὰ δὲ μὴν συμφερόμενα ῥήματα ἔσω γέ ἐστι· βλάπτωσι· γράφωσι· ἀφοῦ ἂν γένοιτο, θέλωσι βλάπτεσθαι· θέλωσι γράφειν· ὥστε τῶν ἀπαρεμφάτων εἶναι τὴν σύνταξιν, μὴ τῶν ἐγκειμένων ὁριστικῶν·

Καὶ ἔτι δὲ ἐκείνου πιστώσεται· ὡς τὸ ἀκούειν ἐπὶ γενικὴν φερόμενον· διὸ δὴ ἕνεκα τούτου πάλιν, τὸ, θέλω ἀκούειν Διονυσίου γενικὴν σύνταξιν ἀνεδέξατο· ἕνεκα, τοῦ ἀκούειν ἐπὶ γενικὴν φέρεσθαι· ἔστι δὲ τὸ τοιοῦτον [illegible]· ὡς γὰρ προείπομεν πάντως τὰ προαιρετικὰ ἐπ᾽ αἰτιατικὴν φέρεται· προσλαβόντα ἑτέραν πτῶσιν γε· ἐὰν καὶ τὸ παρεσόμενον ἀπαρέμφατον ἐκ ῥήματος συντάσσεται τοῦ φερομένου ἐπὶ πλαγίαν πτῶσιν· εἰ γὰρ μὴ τοῦτο ἔχει, μόνην αἰτιατικὴν παραλαμβάνεται ἐκ τοῦ προαιρετικοῦ· οὐ μὲν τὴν προ-

τέρου λόγου, θέλωσι ἀκούειν Διονυσίου παρειλήφασι ἢ σὺ αἰτιατικὴν·
διὰ τὸ θέλω· οὐ γε μὴν γενικὴν λέγω τοῦ Διονυσίου, διὰ τὸ ἀκούω πά-
λιν δέον· τί σοι χαρίζομαι· καὶ πάντως γενήσεται· θέλωσι χαρίζεσθαι Διο
νυσίῳ· προσγινομένης πάλιν τῆς αἰτιατικῆς, καθ' ὃν εἴπομεν λό
γον· συνούσης δοτικῆς διὰ τὸ χαρίζεσθαι Διονυσίῳ· ἔνθεν δὲ καὶ δύο
αἰτιατικαὶ ἀνακύπτουσι· καὶ τὸ ῥῆμα ἐπαιτιατικὴν πάντως φέ
ροιτο· ὡς ἔχει τὸ βλέπωσι· θέλωσι βλέπειν Διονύσιον· θέλω Διο
νύσιον βλέπειν Ἀπολλώνιον· περὶ ὧν μετὰ τῆς ἀμφιβολίας διεξι
έμεθα· τοῦ δευτέρου ἦν τὸ πλουτῶ· ἀδιάβιβαστον· τὸ περιπατῶ·
τὸ ζῶ· ἄλλα πλεῖστα· οὐ δὴ ἐν τῷ βούλομαί σε ζῆν, λείπει ἑτέρα πτῶ
σις· διὰ τὸ ἀδιαβίβαστον τοῦ ῥήματος· οὐ μέντοι αἰτιατικὴ ἔσχηται,
ἢ προσγίνεται ἐκ τῆς προαιρετικῆς συντάξεως· καὶ οὕτως ἀπεδείχθη.
ὡς τὰ προαιρετικὰ ῥήματα φέρεται ἐπαιτιατικήν· ἢ ὅσα ἐπα
νακρίσεως λαμβάνεται· ἢ ἐπερωτήσεως· ἐξετάζωσι· ἀνακρίνωσι·
ἐγὼ Διρένιον ἀπαίσας· καὶ ἕνεκα, τοῦ τὸ πύθεσθαι καταλλήλου
ἔχεται φερόμενον ἐπὶ τὴν αἰτιατικήν· κατὰ τὴν ὁμηρικὴν χρῆσιν·
σημαῖνον τὸ ἠκούετο ἐν τῷ πευθόμεθα ἔχει ἕκαστα· καὶ πεύθετο γὰρ
Κύπρονδε· οὐ χ' ἔτι κατὰ πεύσεις παραλαμβάνεται ἐν τῷ πυν-
θάνομαί σου· πρόκειται γὰρ ἡ συζυγία τοῦ ποιεῖν ἐπαιτιατι-
κὴν φερομένη· ὁμοίως καὶ τὰ ἐπ' οἴκτου παραλαμβανόμενα· ὡς
ἐπὶ τοῦ μύρεσθαι· ὀδύρεσθαι· γοᾶν· κλαίειν· οἰκτίζειν· θρηνεῖν· αἰ
άζειν· τὸ γὰρ οἰμώζειν καὶ αὐτοπάθειαν σημαίνει· καὶ ὅσα κλῆσιν
ὑπαγορεύει· φωνῶσι· βοῶσι· καλῶ· καλῶν· προφανῆ· ἡ γι-
νομένη ἐνέργεια, ἐκ τῶν εὐθειῶν ἐπαιτιατικήν· καὶ ἕνεκα τοῦ τῆς
φωνῆς ἐπιστάσεως ἄξια, τὰ τοιαῦτα· τρέμουσι· φρίσσουσι· φρίσ-
σωσι· τὸν φοβοῦμαι· ὡς οὐδὲ μιᾶς οὔσης ἐνεργείας ἐμφαντικῆς
φέρεται ἐπαιτιατικήν· μᾶλλον γὰρ καὶ τὸ αὐτοπάθειαν σημαίνει τὸ
φρίσσειν ἢ τρέμειν διὰ φόβον· ἢ ἔτι τὸ φεύγειν· [illegible]·
συνεπιφέροντες ἢ τοῦ μὴ γίνεσθαι ἐπὶ τῶν τοιούτων συντάξεων ταῦ
τικὰς διαθέσεις· εἰ δὲ τῆς αὐτῆς συντάξεως ἔχεται τὸ ὑβρίζωσι· δαίρω
σι· τὸ φρίσσωσι· ἢ τὸ τρέμωσι· καὶ πάντως ἔχει ἀντιπαρακείμενα,

τὸ τρέμομαι· φεύγομαι· φρίσσομαι ὁμοίως τῷ ὑβρίζομαι· δακρύομαι. χρὴ δὲ νοεῖν ὡς οὐ μόνον τῇ αἰτιατικῇ αἰτίᾳ ἐν ἐλλείψει λέξεων κατατάσσεται, ἀλλὰ καὶ συνήθης λόγος ἐκλείπειν φαμέν, τῷ ὁρμήσει πεδίοιο. τὴν διὰ πρόθεσιν· τῷ καὶ οὗτοι πολὺν χρόνον· τὸ ἐντελὲς ὄντος, διέθυσε μάχης πεδίοιο· τῇ διά. ἔστι δὲ ὅμως καὶ ἡ προκειμένη σύνταξις ἐν πλήρει λόγῳ καθεστηκυῖα οὕτω· τρέμω διὰ σέ· φεύγω διὰ σέ· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ φρίσσω· φοβοῦμαι. καὶ τῶν ὁμοίων· καὶ διὰ τοῦτο εὔλογος ἡ ὑπὸ παραίτησις τῶν παθητικῶν ῥημάτων· καὶ ὅσα παρορμητικά ἐστιν· ὡς τὸ ὀξύνειν· ἐρεθίζειν· ὀρίνειν· παρορμᾶν· διεγείρειν. καὶ ὅσα ἱκετείαν σημαίνει· γουνοῦμαί σε ἄνασσα· ἐρωτῶ σε νῦν· ἐν ἴσῳ τῷ παρακαλῶ σε· λιτανεύω· τὸ ἱκόμην φαίνων· ἀντὶ τοῦ ἱκέτευσα· τοὔνεκα νῦν τὰ σὰ γοῦνατα ἱκάνω πολλὰ μογήσας. καὶ δῆλον ὅτι τὸ δέομαί σου οὐ κατὰ τὰ τῆς τοιαύτης ἐννοίας παραλαμβάνεται· τοιοῦτον γάρ τι σημαίνει· τῆς σῆς βοηθείας λείπομαι· καὶ ὡς προείρηται πολυμερεστάτη ἐστὶν ἡ κατὰ αἰτιατικὴν σύνταξις. ἔνι συμφωνοῦσα τῷ ἀναδέχεσθαι τὴν ἐξ εὐθείας ἐνεργητικὴν διάθεσιν· ἀρκίζουσι· πείθουσι· κακίζουσι· σωφρονίζουσι· διδάσκουσι· θλίβω· θερμαίνω· ψύχω. διατιθῶ· αὐτάρκης δὲ εἰς ἀφορμὴν τῶν ὑπολοίπων ῥημάτων ἡ προκειμένη σύνταξις καθέστηκεν. ἴσως δόξει μὴ ὀρθῶς μανθάνεσθαι ἐκ τῶν αἰσθήσεων ἐνέργεια. ἐπεὶ αὐτὸ τὸ αἰσθάνεσθαι ἐπὶ γενικὴν φέρεται. καὶ ἔτι τὰ μερικώτερα παραλαμβανόμενα· τὸ ἀκούειν· τὸ ὀσφραίνεσθαι· γεύεσθαι· ἅπτεσθαι· οὐ μὴν ἔτι τὸ βλέπειν· ἐπὶ γὰρ αἰτιατικὴν φέρεται. καὶ τὰ τούτοις συνωνυμοῦντα· ὁρῶμαί σε· θεῶμαί σε· ἐσόμενος πατέρα θελήσω λάβε· δέρκομαι· ὀπτάω· καὶ δοκεῖ μοι τὰ τῆς συντάξεως παραδόξως καθεστάναι· αἱ μὲν οὖν ἐκ τῶν αἰσθήσεων διαθέσεις πᾶσιν ἀναλαμβάνονται τὴν ἀπὸ τῶν ἔξωθεν. εἴγε καὶ ἀκουσίως ἐπεισιοῦσα τῇ ἀκοῇ ἡ φωνὴ προσδιατίθησι τὸ ὅλον σῶμα. οἵ τε διὰ τῶν τριόδων ἤχει καὶ αἰσθανόμενοι καὶ χὶ τὸ χρ... ἔχουσι τὴν ἀκολουθίαν φωνῆς, τῇ μέντοι παθητικῇ ἐοίκει ἡ γενικὴ σύνταξις, καθὼς εἴπομεν· οὐ μέντοι μετὰ τῆς ὑπὸ τὰ τῆς συντάξεως γενικῆς· καθὸ καὶ ἐνέργεια σύνεστι γινομένη ἐκ

τῆς διαθέσεως· ἐπεὶ καὶ τὸ ἅπτεσθαι μετ᾿ ἐνεργείας. καὶ ἀντιδιατίθεται διὰ τῆς τῶν θερμῶν ἐπαφῆς ἢ ψυχρῶν ἢ ἄλλων τῶν τοιούτων· οὕτως ἔχει τὸ ὀσφραίνεσθαι, τὸ γεύεσθαι. περιττὸν ἂν εἴη περὶ τῆς τῶν τοιούτων διαθέσεως παραλαμβάνειν· καθὸ πρόδηλόν ἐστιν. ὥσαν εἰ ἡ γινομένη τῶν πικρῶν γεῦσις ἀντιδιατίθησι τὴν γεῦσιν. ἢ τῶν δυσωδῶν τὴν ὄσφρησιν. ἥ γε μὴν ἐκ τοῦ ὁρᾶν διάθεσις ἐνεργεστάτη ἐστὶ καὶ ἐπιπλεῖον διαβιβαζομένη· ὡς κἀκεῖνο μαρτυρεῖ· ὅτι τοι ὀξύτατον κεφαλῆς ἐνδέρκετο ὄσσε. οὐδὲ γὰρ εἰς τὸ ἀντιπαθεῖν ὑπὸ τῶν ἔξωθεν εὐδιάθετος. ἐπεὶ τὸ προσδιατιθὲν εἴργεται ὑπὸ τῆς καταμύσεως τῶν ὀφθαλμῶν· τὸ ἀνώμαλον τῆς συμπήξεως καὶ τὴν πῆξιν ἡμᾶς εἰς τοιαύτην ἐκ τοῦ ὑπὲρ λόγου συγκαταβῆναι. φαίνεται δ᾿ ὅτι καὶ τὸ φιλεῖν τοῦ ἐρᾶν διοίσει· καθότι ἡ μὲν ἐκ τοῦ φιλεῖν ἐγγινομένη διάθεσις, εὐνοίας ὄνομα σημαίνει· οἱ γοῦν φιλοῦντες, παιδεύουσι πάλιν τῆς διαθέσεως κοινῆς τῆς προκειμένης ἐπ᾿ αἰτιατικὴν συντείνουσιν· οὕτως ἔχει καὶ τὸ διδάσκειν. καὶ τὸ πείθειν. τό γε μὴν ἐρᾶν, ὁμολογεῖ τὸ προσδιατίθεσθαι ὑπὸ τοῦ ἐρωμένου. διὸ καὶ δεόντως ἡ Σαπφὼ ἐπιτεταμένῳ μᾶλλον ὀνόματι ἐχρήσατο. ἐγὼ δὲ κὴν ὅτῳ τις ἐρᾶται. καὶ σαφές ἐστιν ὡς συνετοῦ μέν ἐστι καὶ ἀγαθοῦ τὸ φιλεῖν· καθάπερ καὶ πατέρες παῖδας φιλοῦσιν· οὐ μὴν συνετοῦ τὸ ἐρᾶν· ἀλλ᾿ ἤδη παρεφθορότος τὸ λογιστικόν. οὐ χρὴ ἄρα ἀπορεῖν ἕνεκα τίνος τὸ μὲν φιλῶ ἐπ᾿ αἰτιατικὴν φέρεται, τὸ δὲ ἐρῶ ἐπὶ γενικήν. καὶ τὸ κήδεσθαι δὲ καὶ προνοεῖσθαι καὶ φροντίζειν, ἐπὶ γενικὴν φερόμενα μετὰ τὴν αἰτίας τῆς τοῦ φροντίζειν, ἔχει ἐγκείμενον καὶ τὸ παρέχειν ὑπέρ τινων. καὶ εὐλογώτερον γενικῇ συμπαρείληπται. ὁμοίως ἐπὶ γενικὴν φέρεται, καὶ ὅσα ἐπικράτειάν τινων σημαίνει εἰς τὴν τῶν περιεχόντων ἢ κυριευόντων διάθεσιν κατὰ λόγον. πρόφανες γάρ ἐστιν, ὡς χωρὶς γενικῆς κτῆμα οὐκ ἔστιν ἐπινοῆσαι. διὰ τοῦτο τὰ κτητικὰ εἰς γενικὰς ἀναλύεται. καὶ ἀπὸ γενικῶν παράγεται ἔν τε ὀνόμασιν ἔν τε ἀντωνυμίαις, ἀπὸ πάντων τῶν δυναμένων κτῆσιν ἀναδέξασθαι. διὰ τοῦτο τὸ μὲν νεάπολις καὶ τὰ ὅμοια δύο ὀνόματα καθεστῶτα ἐν ἰδίοις τόνοις δὶς κλίνεται· οὐ μὴν τὸ κόρακος πέτρα ἢ ὑοσκύαμος

ὀνοῦ πάθος· ἀρχαιῶν μὲν μίαν· ὅτι ἐστὶν ἡ προκειμένη συζυγία τῶν ῥημά-
των τοιαῦτα· κτήματα τῶν βασιλέων οἱ ὑπήκοοι· διὰ τὸν βασιλέα τέ-
ταγμαι· ἡγεμονεύω· στρατηγῶ· τυραννεῖ· διὰ τὸ παράδοξον καὶ τὸ ὅτι
καὶ ἐν ταῖς μυρμιδόνεσσιν ἄνασσε· σύνταξις τὴν γενικὴν ἀπαιτήσειν·
οὕτως ἔχει τὸ κυριεύω· δεσπόζω· κρατῶ· ἄλλα πλεῖστα τῆς ἴσης ἐν-
νοίας ἐχόμενα, εἰκὸς ὅτι διασαφῆσαι, ὡς τὰ τῶν λόγων ἀντιστρέ-
πεται· ἐν γὰρ τοῖς ὀνόμασιν ὁ ἐπικρατῶν ἐν γενικῇ κεῖται πτώσει· ὁ
δὲ ἐπικρατούμενος ἐν εὐθείᾳ· ἀριστάρχου δοῦλος· βασιλέως οἰ-
κέτης· ἐν δὲ μέντοι τῇ προκειμένῃ συντάξει, ὁ μὲν ἐπικρατῶν νοεῖται ἐν
εὐθείᾳ, ὁ δὲ ἐπικρατούμενος ἐν γενικῇ· δεσπόζω γὰρ ἐγὼ τούτων· πρὸς
ὃν ἂν φήσαιμεν, τὸ πρῶτον· ὅτι τὸ αὐτὸ μέρος λόγου ὄνομα καὶ ῥῆμα·
ἀλλ' εἰ τοῦτο, οὐ πάντως καὶ τὰ τῆς συντάξεως εἰς ταὐτὸ συνελεύσεται·
ἢ ἐν μόνον αἰτήσει τὴν γενικήν· ἧς χωρὶς οὐδέποτε κτῆσις ἐπι-
νοεῖται. Δεύτερον, πάνυ ἀναγκαίως τὰ τῶν λόγων ἀντιστρέφει·
ῥημάτων γὰρ συντάξεις πεποίηνται πρὸς πλάγια· τὰ γὰρ ῥήματα πτῶ-
σιν ἔχει ὀρθὴν παρυφισταμένην· ἢ καὶ συμφέρεται· ἐκ δὲ τούτων ἤρ-
τηται ἡ διάθεσις τῆς ἐπικρατείας· ἥτις οὐκ ἂν μόνοιτο ἐκ γενικῆς
πτώσεως καθὼς προείρηται· ἀνάγκη οὖν πᾶσα τὸ παρυφιστάμενον
πρόσωπον ἐκ τῶν ῥημάτων, ἐν πτώσει ὀρθῇ καταγίνεσθαι· τὸ δὲ ἑ-
τέρου προσώπου ἀνθυπαγόμενον, μὴ ἐν ἄλλῃ πτώσει καταγίνεσθαι
ἢ τῇ γενικῇ· ἧς ἄνευ οὐ συνίσταται κτητικὴ σύνταξις καθὼς προ-
είπομεν· ἔτι γοῦν κἀκεῖνο ἐκ τρίτου προσθεῖναι· ὡς καὶ τὰ ἐξ αὐ-
τῶν παρυφιστάμενα ὀνόματα, πάλιν γενικὰς ἀπαιτεῖ· τῷ τυ-
ραννῶ, ὁ τύραννος παράκειται· καὶ μία σύνταξις ἡ ἐξ ἀμφοτέρων
ὁ αὐτὸς λόγος ἐπὶ τοῦ βασιλεὺς καὶ βασιλεύω· στρατηγὸς στρατηγῶ· δε-
σπότης δεσπόζω· κύριος κυριεύω· χωρητέον ἤδη ἐπὶ τὰ τῇ δοτικῇ
συντασσόμενα· καὶ δὴ ἅπαντα τὰ περιποίησιν δηλοῦντα, εἴτε καὶ τῷ
ἐν λόγῳ, εἴτε καὶ τῷ ἐν σώματι, ἐπὶ δοτικὴν φέρεται· ὡς ἔχει τὰ τοι-
αῦτα· λέγω σοι· ὡς σοὶ λόγους ἐμαυτοῦ δίδωμι· [illegible] σοι τὸ [illegible]
κλέπτειν, [illegible] [illegible] ἀρέσκομαί σοι [illegible]
ραι τὰ [illegible] [illegible] πάλιν τὰς [illegible] [illegible]

τῶν διαθετικῶν συνέπεσε. καθάπερ καὶ ἐπὶ σώματος· τέμνουσι· ὡσεὶ περιαιροῦσι τι μέρος τοῦ σώματος· ὅτε μὲν τέμνουσι πάλιν τὴν ἐνέργειαν ἐπιφέρον κατὰ τοῦ ὑποκειμένου συνῆλθεν ὁμοίως εἰς τὴν αὐτὴν σύνταξιν. ἐφ' ὧν δὲ συντάξεων χρὴ νοεῖν, ὡς οὐ τὸ ἐκ τῆς διαθετικῆς προσώπου νοούμενον ὁμολογήσει τὸ τέμνομαι. εἴγε αὐτὸ μὲν τὸ τῆς ἐνεργείας οὐ προσδέχεται. τῶν μέντοι ἐνεργουμένων αἰτιατικῇ, ἧς μόνης ἂν εἴη τὸ παθητικόν, λέγω τὸ τέμνομαι. ὁ αὐτὸς λόγος ἐπὶ πάντων τῶν οὕτω νοουμένων· ᾄδουσι· καὶ δῆλον ὡς ἐκ τούτου παθητικὸν τὸ ᾄδομαι. τὸ δὲ ᾄδουσι. καὶ κωμῳδοῦσι. καὶ κωμῳδοῦσι. ὑμνοῦσι. κιθαρίζουσι· τραγῳδοῦσι· ἀναγινώσκουσι· φαίνουσι· στρωννύουσι· δωροῦμαι· χαρίζομαι· αὐλοῦσι. νῦν τῆς συντάξεως περιποίησίν τινα, τοῦ αὐλεῖν σημαινούσης. ἑτέρας γὰρ ἐννοίας ἔχεται τὸ αὐλῶ τοῖς αὐλοῖς. τοῦ αὐλεῖν ἀκουομένου κατὰ μὲν τὴν προτέραν σύνταξιν ἐπὶ συναμφοτέρου. λέγω τῆς ἐνεργείας τοῦ αὐλεῖν· καὶ αὐτῶν τῶν αὐλῶν. ὅθεν ἐστὶ τὸ αὐλῶ τοῖς θεαταῖς. κατὰ δὲ ἑτέρας συντάξεως, ὅτι τὸ αὐλεῖν σημαίνει τὴν εἴδησιν τῆς αὐλήσεως. ὅθεν καὶ γίνεται τὸ τοῖς αὐλοῖς αὐλεῖν ἐντεῦθεν διὰ τῶν αὐλῶν τὰ τῆς τέχνης ἐπιδείκνυσθαι. καθάπερ ἡ διὰ τῶν ὀργάνων συναλλαγὴ γινομένη, ἀποτελεῖ τὸ συρίζειν τοῖς αὐλοῖς ἢ αὐλεῖν τῇ σύριγγι. τὸ τοιοῦτον ἐστὶν ἐπινοῆσαι καὶ ἐπ' ἄλλων ῥημάτων. εἴγε τὸ ἀκούειν ποτὲ μὲν σημαίνει αὐτὴν τὴν μετάληψιν τῆς ἀκοῆς, ὡς ἔχει ἐπὶ τῶν ἤχων. ἢ βόμβων. καὶ φωνῶν καὶ βροντῶν. καὶ πασῶν τῶν οὐκ ἐγγραμμάτων. ὅθεν καὶ φαμὲν καὶ ὀξυηκόους τινάς. ἀλλ' ἔστιν ὅπου τὸ

„ συνιέναι τῶν ἠχουμένων. τὸ γὰρ, νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πί-

„ νοντά περ ἔμπης, οὐχ ἁπλοῦν τι σημαίνει. ὡς οὐκ ἔλαθεν αὐτὸν ἡ φωνή.

αὐτὰ τοιοῦτόν τι. μεταλαβὼν τῆς φωνῆς, συνῆκε ἐπὶ τὴν ἐν τοῖς πολέμοις πρᾶξιν. φαμὲν γοῦν. οὐκ ἀκούει ὁ δεῖνα τῶν λεγομένων. τουτέστι τῆς μὲν φωνῆς μεταλαμβάνει. οὐ μὴν τῶν διανοίας λεγομένων. ἔστι καὶ ὅτε ἡνίκα νοεῖται τὸ συγκατατίθεσθαι τοῖς ὑπό τινος λεγομένοις. ἀκούει μου ὁ δεῖνα. ἐπήκοός μου ἐστὶ πάλιν οὐκ ἀκούει. ὅθεν γίνεται τὸ, ἀνήκοός ἐστιν ὁ δεῖνα τοῦ δεῖνος ἐστι, καὶ τὸ, οὐδὲ σάκους πολύτλας δῖος ὀδυσσεύς:

ἡ γὰρ κατὰ τὸν πρῶτον λόγον, οἷον τὸ, φωνῆς δ' οὐ μετέλαβε, διὰ τὸν ἐπιόντα θόρυβον, ἢ μετέλαβεν. οὐ μὴν τὸ Διομήδει ἐπείσθη ἀντιστάντι
„ πρὸς τὸν θεόν. εἰς τοῦτο γοῦν τινες ἀναφέρουσι τὸ, Τυδείδη, μήτ' ἄρ με μά-
„ λ' αἴνεε, μήτε τι νείκει. ἔφθη δ' ἀεὶ ἄρτι παραιτησάμενος τὸ ἄγαν ἐπαινεῖσθαι, συμπαραιτεῖσθαι καὶ τὸ μὴ ὀνειδίζεσθαι. ἁρμόζει δ' ἴσως τὸ ἐπιφερόμενον πρὸς ἀμφότερα. εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις. οὕτως ἔχει τὸ ἀναγινώσκειν. ἔσθ' ὅτε ἀκούεται αὐτὸ μόνον ἁπλῶς ἡ ἀνάγνωσις. ἡνίκα καὶ πᾶς φησὶν οὐκ ἀνέγνω. ἢ τὸ συναμφότερον αὐτῶν. λέγω δὲ τὸ, ἐν διανοίᾳ καταγίνεσθαι τῶν ποιημάτων. φαμὲν γὰρ, οὐκ ἀνέγνω οὐδένα, ἀλλ' Ἀλκαῖον. οὐκ ἀνέγνω Ὅμηρον. ὅ ἐστιν ἐπελθὼν τὸ τοιοῦτον ἐπιδεῖξαι. ὁ περὶ ὧν οὐκ ἐπιζητεῖ ἡ προκειμένη σύνταξις. προσθήμεθα γὰρ ἅπαξ τὰς πλαγίας συντάξαι τοῖς ῥήμασιν. οὐ μὴν τὰς ποικίλως παρευρισκομένας ἐκ τῶν ῥημάτων. κἂν οὕτως ἔχῃ τὸ αὐλῶ ταῖς νουμηνίαις, σαφὲς ὅτι πάλιν φέρεται τὰ τῆς ὠφελείας. περιποιεῖταί γε μὴν τοῖς ἀκροωμένοις. τὸν αὐτὸν δὴ τρόπον ὡς ἔφαμεν ἔχει καὶ τὰ ἐπὶ τῶν σωμάτων. φέρω σοι. ἄγω σοι. πάλιν διαφορᾶς οὔσης τοῦ φέρουσι. καὶ ἄγουσι. ὥστε ὁμολογεῖσθαι ὡς ἅπασα τοιαύτη δοτικὴ συνέχει ἐν ἑαυτῇ τὴν αἰτιατικὴν, ἣν καὶ ἔξωθεν προσλαμβάνει. ἄγω σοι τὸν παῖδα. φέρω σοι τὸν οἶνον. τέμνω σοι τὸ κρέας. ἀναγινώσκω σοι Ἀλκαῖον. κωμῳδῶ σοι τοὺς ἐπιτρέποντας. ὧν αἳ ἔφαμεν καὶ παθητικαί εἰσι συντάξεις. οὐκ ἀπιθάνως δηλοῖ Ὅμηρος. δοκεῖ δὲ ἐν τῇ τοιαύτῃ συντάξει τῶν πλαγίων προστίθεσθαι τῇ αἰτιατικῇ. καθότι καὶ ταύτης ἐστὶν ἐμπεριεκτική. ὁμοίως δὲ καὶ ἐπὶ δοτικὴν φέρει, καὶ τὸ ὑπηρετῶ. δουλεύω σοι. ἕπομαί σοι. ἀκολουθῶ σοι. ἥκω σοι. τῶν γὰρ ἐν αὐταῖς ἐγκειμένων ἐνεργειῶν εἰσὶ περιεκτικαί. τὸ γὰρ δουλεύειν, πάσης ὑπηρεσίας ἐμπεριεκτικόν. ἧς τὰ εἴδη πάλιν ἐπιμεριζόμενα τῇ ἐνεργητικῇ διαθέσει, τὴν ἐνεργητικὴν ἀπαιτεῖ. βρίθουσι. λούουσι. νίζουσι. κείρω. κομῶ. ἀμῶ. ἀναδῶ. ἀμπλέκω. λαμπρύνω. φαιδρύνω. καὶ τὸ εἴκειν δὲ πάσης ἀντιθέσεως ἐμπεριεκτικὸν, καὶ τὸ ὑποχωρεῖν πᾶσι τῷ αὐτῷ λόγῳ, εἰς δοτικὴν καταντῶσι. καὶ τὸ ὀξ[illegible]

διαθέσεως ἀνάστρεμμα· τουτέστι τὰ ἐν δυσὶ προσώποις τὴν αὐτὴν ἔχοντα διάθεσιν, τὸ καλούμενον ἐνδοτικῶν καταγίνεται· ὡς ἔχει τὸ μάχομαί σοι· παλαίω σοι· γυμνάζω σοι· γυμνάζομαί σοι· ἱππάζομαι· ἀνίσταμαι· μονομαχῶ· παγκρατιάζω· καὶ ὅτι μὲν ἔδει ταῦτα ἐπὶ πλαγίαν φέρεσθαι, παντὶ πρόδηλον· ἐζητημένης διαβιβαστικῆς διαθέσεως· ἐπὶ πρόσωπον ὑποκείμενον· ὡς κατάρχας εἴπομεν· δυνάμενον ὁμολογεῖσθαι τὴν εἰς αὐτὸ χωρήσασαν διάθεσιν· νοεῖται γοῦν ἐπὶ δυοῖν ἐμψύχων τὸ παλαίειν· τὸ παγκρατιάζειν· ἀλλ' οὖν γε ἡ μεγίστη ἐνέργεια ἀπαιτήσασα αἰτιατικήν, εἰς ἣν μάλιστα καταγίνεται, τὸ διατίθεσθαι ἐξ εὐθείας· μὴ μέντοι προσδιατιθέναι· ὡς ἔχει τὸ δαίρω σε· τύπτω σε· παίω σε· ὁ γὰρ οὕτως ὁριζόμενος, οὐχ ὁμολογεῖ τὸ ἀντιπαίεσθαι, οὐ δὴ ἦν τὰ προκείμενα ῥήματα τὸ τοιοῦτον ἐπηγγέλλετο· ἦ σαφὲς ὅτι ἕνεκα τούτου, οὐδὲ ἐπιδέξασθαι αἰτιατικήν· ἦν γὰρ ἐγκειμένη ἡ διάθεσις αὐτή, ἐκ τοῦ ἑτέρου προσώπου τὸ ἀντιπείσεσθαι τὸν παγκρατιάζοντα· τί οὖν εἰς δοτικὴν ἐχώρησεν· ὅτι καὶ ἡ γενικὴ ἐμερίζετο εἰς παθητικὴν διάθεσιν· ἀπεστήσατο ἄρα, ἀμφοτέρων τῶν πτώσεων ἡ τοιαύτη σύνταξις, καὶ οὐκ ἀνάγκη ἐπιδέξεται ἢ μόνον τὴν δοτικήν· ἑξῆς καὶ ἀνέφικτον τὸ ἀντιπεριίστασθαι τῶν διαθέσεων· ἔστι μοναδικὴ μὲν διάθεσις ἡ γυμνάζω σε· ἀντιπεριισταμένη δὲ ἐκ τοῦ ἴσου, ἡ γυμνάζομαί σοι· ἱππάζω σε· ἐξ ἧς τὸ παθητικόν, ἱππάζομαι ὑπὸ σοῦ· ἔτι πάλιν τὸ ἐξ ἴσου ἀναγόμενον, ἱππάζομαί σοι· πλεῖστα ἔτι εἰς τὸ τοιοῦτον ἔστι παραθέσθαι· ἅπερ παραπεμπτέον· οὕτως οἶμαι ἔχει ἔτι τὸ πείθομαι ὑπὸ σοῦ· ἦ οὐκ ἀνάγκη ὅτι συμμένει τὸ πείθομαί σοι, ἢ τὴν ἐξ ἀλλήλων πρὸς ἀλλήλους γινομένην πεισμονήν· ἔστι ἔτι ἐπὶ ἑτέρου προσώπου, τὸ μέλει· ἔτι μεταμέλει τοῦ φων· καὶ ἔτι μεταμέλει· ἅπερ παρὰ τὴν τῶν ἄλλων ῥημάτων σύνταξιν ἐξήλλακται· καθὸ πάντα μὲν εὐθείᾳ συντάσσονται μόνῃ· ὡς Θέων περιπατεῖ· ἢ συντείνει πλαγίᾳ· περὶ ἧς ἔτι τὴν σύνταξιν ἐπισημαινόμεθα· οὐ μὴν τοῖς προκειμένοις τὸ τοιοῦτον συνέστι· μεταμέλει Σωκράτει καὶ ἔτι μέλει· φιλορθὴς ἡ συνήθεια· διὸ καὶ παρασυμβάματα αὐτὰ ἐκάλεσαν οἱ ἀπὸ τῆς στοᾶς· τῶν ἄλλων ῥημάτων κατὰ συμβαινούσας

διαθέσεις παρὰ τοῖς συμβαμάτων προσαγορευομένων· ἢ καὶ ἔτι
κατηγορουμένων· καὶ τὸ μὲν ἀπαρτίζον τὴν διάνοιαν παρασύμβα-
μα· λέγω τὸ μέλει Σωκράτει· τὸ δὲ ἐλλεῖπον ἧττον παρασύμβαμα·
λέγω δὴ τὸ μέλει καὶ μεταμέλει, ὅπερ ἐπιποθεῖ καὶ αὐτὸ ἀναδέχεσθαι το-
ουμένην εὐθεῖαν τὴν κατὰ τοῦ παρυφισταμένου πράγματος ἐν τῷ μέ-
λει. Παρὸν δὲ τὸν λόγον οὕτω πιστώσασθαι, δίδοται ἔτι τὸ μέλει
ῥήματι τριπροσώπου εἶναι· καὶ σαφὲς ὅτι ἐκ πρώτου καὶ δευτέρου
σχηματιζόμενον λέγω τοῦ μέλω, μέλεις· οὐ δίδοται τὰ περὶ συντάξεως τοῦ
πρώτου καὶ δευτέρου, μετεῖναι καὶ ἐπὶ τὸ τρίτον· λέγω κατὰ διαθέσεις
καὶ τοὺς ἀριθμούς· ὡς ἐπὶ τοῦ ἐγὼ φροντίζω, σὺ φροντίζεις, ἐκεῖνος
φροντίζει· δίδοται καὶ ἐπὶ τοῦ μέλω· ἔστι γοῦν τὸ ἐγὼ μέλω σοι, ἀντὶ
θεία καὶ δοτική· καὶ ἔτι σὺ μέλεις μοι ὅπερ ἀπαιτήσει κατὰ τὴν σύν-
ταξιν ἐν τρίτῳ, ἐν τῷ μέλει Σωκράτει κατ᾽ αὐτό τι, ἢ τὸ παρυφιστάμενον
πρᾶγμα ἐν εὐθείᾳ φέρομεν· μέλει τὸ φιλοσοφεῖν Πλάτωνι· φροντίδα Πλά-
τωνι ἐμποιεῖ ἡ φιλοσοφία· μέλει Δίωνι τὸ πλουτεῖν· ὁ πλοῦτος φρον-
τίδα ἐμποιεῖ Δίωνι τοῦ πλουτεῖν· χρὴ οὖν νοεῖν, ὅτι τὸ μέλει Σω-
κράτει ἐν τῷ ὑπακουομένῳ πράγματι τὴν εὐθεῖαν ἔχει. ἔστι γοῦν
τὸ αἴτιον τοῦ, τὸ μόνον τὸ μέλει παραλαμβάνεσθαι, τὸ δεικτικὸν καὶ τὸ εἶ-
ναι παντὸς τοῦ ἐπισυμβαίνοντος πράγματος· διὸ τὸ μέλει Δίωνι, ἴδε
καὶ ἐν αὐτοτελείᾳ καθίστασθαι· παντὸς τοῦ παρυφισταμένου πράγμα-
τος κοινῶς ὑπακουομένου, περὶ παντὸς ἔτι συμβαίνοντος· ὡς ἔ-
φαμεν τὸ μέλει ῥῆμα παραλαμβάνεται. καὶ τοσαῦτα ἔχομεν
φάναι περὶ ἧς προὐθέμεθα ἐκθέσθαι συντάξεως τῶν ῥημάτων πρὸς
τὰς πλαγίας ἐκεῖνο πρόδηλον καθεστῶτος, ὡς οἱ διάφοροι χρό-
νοι ἐν τῇ κλίσει, καὶ ἔτι τὰ διάφορα πρόσωπα καὶ αἱ ὑπόλοιποι
ἐγκλίσεις τῆς αὐτῆς συντάξεως ἔχονται. Τὸ γὰρ τίμνοιμι εὐ-
κτικὸν ὄν, πάλιν ἐπὶ αἰτιατικὴν φέρεται· κἂν προστακτικὸν ᾖ·
κἂν ἀπαρέμφατον· κἂν ὑποτακτικόν· κἂν παρῳχημένου χρόνου·
κἂν μέλλοντος· λέγω κατὰ τὰς ἐνεργητικὰς διαθέσεις· ἔστι καὶ
εἰς τοῦτο πάμπολλα παραθέσθαι. Ἀλλ᾽ οὐδὲ αἱ μετοχαὶ τὸ τοι-
οῦτον ἀποκλίνουσι, κἂν ἀποβάλλωσι τὸν τῶν προσώπων μερισ-

μόνως. ὥσπερ ἐστὶ παρεπομένας ψυχικὰς διαθέσεις τοῖς ῥήμασιν. ἃς γὰρ προείπομεν ἐπὶ τὰς αὐτὰς πτώσεις φέρονται. καί που τῶν ἄλλων πτωτικῶν. λέγω δὲ τῶν ἀπὸ ῥήματος γινομένων. οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. ὥστε μὲν γὰρ τὸ κόπτω ἐστὶν ῥῆμα, τὸ μὲν τὸ κοπτικὸς τοῦτον. κοπτικὸς δὲ τούτου. δι᾽ οὗ δείκνυται ὅτι πάντα μὲν ἐπὶ γενικὴν φέρεται τὰ πτωτικά. ὅμως τὰ ἐν μετοχῇ γινόμενα, συντάξεως τῆς αὐτῆς ἔχεται τοῖς ῥήμασι. καὶ διὰ τοῦτο συνέχεται, ὅτι ῥήματος μετέχει ἰδιότητος. γυμνάζουσι γὰρ

τοῦτον καὶ αὐλεῖ τοῦτον, τὸν τοιοῦτον

λόγον ἀκριβέστερον ὀρθῇ μέθοδῳ

ἐν τοῖς περὶ μετοχῆς ὄντα

γενόμενοι

:~νφ:~

# ἈΠΟΛΛΩΝΙΟΥ ΠΕΡῚ ΣΥΝΤΑΞΕΩΣ ΤΩ͂Ν ΠΡΟΘΕΣΕΩΝ ΒΙΒΛΊΟΝ ΔΕΎΤΕΡΟΝ.

## ΤΆΔΕ ἘΝΕΣΤΙΝ ἘΝ ΤΩ͂Ι ΔΕΥΤΈΡΩΙ ΒΙΒΛΊΩΙ:~

α. Ὅτι παρὰ τὰ ἄλλα μέρη παρὰ τάξιν τιθέασιν αἱ προθέσεις. δι᾽ ὃ ὁμοίως μετατιθέασι τὸν τόνον:~

β. Ὅτι αὗταί εἰσιν αἱ μετατιθέμεναι, καὶ τὰ συνεργούμενα πρὸς αὐτάς:~

γ. Ἔνεκεν τίνος ἐν ταῖς εὐθείαις καὶ κλητικαῖς, οὐ κατὰ παράθεσιν. κατὰ δὲ θέσιν:~

δ. Εἰ τὸ πάρα τί ἐνέστι. παρόλισθαν. τὸ τούτοις ὅμοια:~

ε. Εἰ τὸ διότι. καθότι ἐν παραθέσει ἔχει τὰς προθέσεις. πότερον ἓν μέρος λόγου, ἢ δύο. ἢ τρία:~

ς. Τίνι λόγῳ χρηστέον εἰς ἀπόδειξιν τοῦ παραλείπεσθαι τὰς προθέσεις τοῖς ῥήμασιν.

L L

ζʹ. Τίς ἡ αἰτία τῶν ἐκκλινομένων κατὰ τὰς προθέσεις· ἢ τῶν ἐγ-
κεκλιμένων.

ηʹ. Ὅτι οὐ μᾶλλον σύνθετοί εἰσιν αἱ μετοχαὶ τῶν ἐγκειμένων ῥήμασιν, ἢ παρασύνθετοι.

θʹ. Περὶ τοῦ ἄξον καὶ πάρος.

## ΟΤΙ ΠΑΡΑ ΤΑ ΑΛΛΑ ΜΕΡΗ, ΠΑΡΑ ΤΑΞΙΝ ΤΕΘΕΙΣΑΙ ΑΙ ΠΡΟΘΕΣΕΙΣ, ΔΕΟΝΤΩΣ ΜΕΤΑΤΙΘΕΑΣΙ ΤΟΝ ΤΟΝΟΝ.

ΜΕΤΑ τὰς τῶν ῥημάτων συντάξεις, ἃς ἐν τῷ πρὸ τούτου ἀνεπληρώσαμεν ὄντι τρίτῳ τῆς ὅλης πραγματείας, μέτιμεν ἐπὶ τὰς τῶν προθέσεων συντάξεις· δοκούσας ἀπὸ τῆς ἰδίας τάξεως ἀνθυφίστασθαι. καθὸ δοκεῖ τὰ μόρια ταῦτα, τοῖς μὲν μέρεσι τοῦ λόγου διακόσμησιν παρέχειν συνθέσεως, ἐξ ἧς δὴ παραθέσεως· ἰδόντι οὐ κοινωνεῖ μόρια τοῖς ὀνόμασι· καθάπερ τὰ πλεῖστα τῶν μερῶν τοῦ λόγου, διὰ τῆς ἑνώσεως τοῦ τόνου τὸ μοναδικὸν τῆς λέξεως ὑπαγορεύοντα, τό γε ἓν μέρος λόγου εἶναι· ἢ διὰ τοῦ μονήρους τόνου καθέλκεσθαι μᾶλλον, τὸ διττὸν ἐμφαίνει τῆς λέξεως· τὸ Διὸς κοῦρος, προπαροξυνόμενον μὲν, τὴν γενικὴν ἐδήλωσεν ἐχόμενον ὁμοίου τοῦ Διὸς υἱός· προπαροξυνόμενον δὲ, ὁμοίως τῷ Διόγνητος, Διόδοτος· τό τε ἡμερινόν, δύο ἔχον περισπωμένας, ὁμολογεῖ τὴν ἐξ ἀπηρτισμένων ὀνομάτων παράθεσιν, καὶ τὸ Ἑλλήσποντος κατὰ τὴν ἀρχὴν ἔχει τὴν ὀξεῖαν· καὶ τὸ ἐμοῦ αὐτοῦ· διὸ ἔχει τὴν περισπωμένην. Ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια ἀπαιτεῖ γραφόμενα, συντεθέντα μὲν κατὰ τὸν λόγον τῆς συνθέσεως, ἔχει καὶ τὸν τόνον

συνηρτημένοις· οὐ χεῖρον δὲ ἔχοντα καὶ τὰ τοῦ τόνου ἔχει ἀσυνέλευστα. Καθάπερ δὲ ὁ τόνος μὲν ἐν τῇ καθέκαστον μορίον μονῇ τοῦ τόνου, τὸ κατὰ παράθεσιν ὁμολογεῖ. Τὸ δὲ καταγράφω εἴτε δύο μέρη λόγου εἰσὶν, εἴτε ἕν, οὐκ ἐνδείκνυται διὰ τῆς τάσεως· καὶ τὰ τούτοις ὅμοια· τὸ αἴτιον καταφέροντος. ἅπερ τὰ τοιαῦτα τῆς αὐτῆς ἔχεται ἀμφιβολίας· ἀποψέ· ἀπόδιος· ἔτι ἐπὶ τῶν συνδέσμων· καθότι· διότι· δεδείξεται γὰρ ὅτι ἐγκεῖνται αἱ προθέσεις ἅμα πλεῖστα· ὑπὲρ ὧν τῆς ἀκριβείας πειρασόμεθα ἐκθέσθαι· ἀλλ' ἤδη γε ἐπὶ πάντων μορίων· οὐκ ἔνεστιν ὑπὲρ τῶν τοιούτων μορίων ἐπιστῆσαι τῶν προθέσεων, μήτε κατὰ παράθεσιν προθετικῶν οὐσῶν, μήτε κατὰ σύνθεσιν· ὡς ἐπεὶ τούτων μὲν τῶν τῆς εὐθείας ἀπτωσῶν· ὧν καὶ τὸ αἴτιον τῆς ἀσυνταξίας παραθησόμεθα κατὰ τὸν προσήκοντα λόγον· πρὸ μέντοι τῆς κατὰ μέρος αὐτῶν συντάξεως οὐκ ἄκαιρον ὑπολαμβάνω ἐκθέσθαι, περὶ τῶν ἠπορημένων ἐν τοῖς μορίοις· οὐ γάρ φασι δεόντως τὰ τοῦ τόνου ἀμείβεται εἰς ὀξεῖαν τάσιν, ἐπὶ τῇ τῆς συντάξεως ἐναλλαγῇ· τουτέστιν ἐπὰν αἱ προθέσεις οὖσαι μὴ ἀναλέξωνται τὸ προκεῖσθαι καὶ τὰ τῆς συντάξεως· εἰ γὰρ δὴ τὰ ἄλλα μέρη τοῦ λόγου ἀμείψαντα τὴν τάξιν οὐκ ἀμείβει καὶ τὴν τάσιν, πρὸς τὸ μὴ δὴ ἕξω μαλίσθαι τὰ τῆς ἀναστροφῆς· εἴ γε ἐχρῆν πάσαι μετατεθειμέναι· εἴπερ τὰ μόρια πρὸς αὐτὰς ἤρτηντο. Τὸ γὰρ ἔπλυσε πολὺ κάτω, ἀπαιτεῖ τὸ κατέπλυσεν ἐν καταλληλότητι· καὶ οὐ μᾶλλον ἡ πρόθεσις κατατίθεται, ἤπερ τὸ ῥῆμα· ἰδὲ καὶ ἐν εἰς κοινωνοῦσι· τὰ τούτοις ὅμοια, ἢ πρὸ μὲν τὸ τοιοῦτον ἁπλῆ ἡ ἀπάντησις· ὡς ἤδη ὁμόλογόν ἐστι· καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἀπεδείξαμεν· ὡς τὰ προκείμενα μόρια διὰ τῆς ἐξαιρέτου συντάξεως λέγω τῆς προθετικῆς τὴν ὀνομασίαν ἀπηνέγκατο· ἔνθεν γὰρ καὶ οἱ ἀπὸ τῆς στοᾶς προθετικοὺς ἐκάλουν συνδέσμους τὰς προθέσεις· ἄμεινον ἡγησάμενοι ἀπὸ τῆς ἐξαιρέτου συντάξεως τὴν ὀνομασίαν θέσθαι, ἤπερ ἀπὸ τῆς δυνάμεως· καθάπερ οἵ τε συναπτικοί· καὶ συμπλεκτικοὶ καὶ οἱ ὑπόλοιποι· οὐ δὴ οὖν τὰ ἄλλα μέρη τοῦ λόγου ἐξαιρέτου συντάξεως ἔτυχεν· ἱ-

L L ii

να πρὸς τὸ κατατιθέμενον καταγορεῖ(?) ἐκ τῆς μεταθέσεως· τὰ συνθέσει ἔλαχε τὰ μοναδικήν, τὸ δὲ μετατίθεται τῆς τάξεως· ἵνα καὶ τῆς ἀμφιβολίας ἐπικοινωνήσῃ· ὡς ἐπὶ συνδέσμων μὲν ὁ ἤτοι προτακτικός· καὶ οὔποτε ὑποτακτικός· ἐπὶ δὲ ῥημάτων τὰ καλούμενα ὑποτακτικὰ ῥήματα, οὔποτε χωρὶς ὑποταγῆς ἐστι, τῆς τάξεως τῶν ἐπιζευκτικῶν συνδέσμων. ἀλλ' οὐδὲ αἱ καλούμεναι ἐγκλιτικαὶ ἀντωνυμίαι δίχα μορίων λέγονται τῶν πρὸς ἃ ἐγκλινόμεναί εἰσι· τί μοι σοί μοι· δός μοι· τὸ δὲ γὰρ παραδεκτέος ὁ ἐκεῖνος λόγος εἰρημένος ἐν τῷ περὶ ἄρθρων Τρύφωνος· ὡς τὰ ὑποτακτικὰ τῶν ἄρθρων προτακτικὰ γίνονται· ὡς ἐν τῷ, ὃς ἂν ἔλθῃ μενέτω μοι· τίνος γὰρ πτωτικοῦ προτάσσεται· πῶς δέ τι ὑποτακτικὸν τὸ τοιοῦτον ἄρθρον, οὐκ ἂν ἀπολείπει τὸ προκείμενον ὄνομα· τοὐναντίον δὲ ἀοριστούμενον κατάρχων τῶν λόγων· οὐ μὴν μόνον, ἀλλ' οὐδὲ ἐν πτωτικῷ τὸ, ὅστις· ἐχρῆν γὰρ καὶ τῶν ἄλλων πτωτικῶν καὶ μὴ ἀοριστουμένων ἐν οἷς ἐστιν αὐτὸ συναοριστοῦται πλέον τοῦ τίς· ὅπερ ἐναντιώτερόν ἐστι τῶν ἄρθρων· τὰ γὰρ ἀοριστωδῶς ποτε νοούμενα, ἡ τοῦ ἄρθρου παράθεσις ὑπὸ ὁρισμὸν τοῦ προσώπου ἄγει· ὁ ἄνθρωπος παρεγένετο· τὸν πρὶν τὴν ἐθαύμασα· ἂν δ' οὖν προθέσεις οὐ κατάρξασαι τῶν λέξεων, ὁμόλογον ἔχουσι τὴν μετάθεσιν τὰ δευτερεύοντα, ἢ μετατιθέμενα τὴν ἀρχήν· πάλιν γὰρ αὗται δεύτεραι γινόμεναι καὶ τῆς δευτέρας τάξεως στερούμεναι, ὁμολογοῦσι μετατεθεῖσθαι:~

## β΄. ΟΤΙ ΑΥΤΑΙ ΕΙΣΙΝ ΑΙ Μετατιθέμεναι καὶ οὐ τὰ συνηρτημένα πρὸς αὐτάς.

Γελοῖον δέ μοι δοκεῖ τὸ ζητεῖν, πότερον αὗταί εἰσιν αἱ μετατιθέμεναι, ἢ τὰ ταύτῃ δευτερεύοντα μόρια· ἔστι δὲ καὶ ὑπὲρ τῆς ἀμφιβολουμένης τάσεως κατὰ ταύτας φάναι, ὡς τὸ πρῶτον καὶ δεύτερον ἐν ἄλλοις μέρεσι τοῦ λόγου ἐξαίρετά τινα παρέπεται· ἃ οὐ πάντως συμφερόμενα τοῖς ἄλλοις ἄπορα καταστήσεται· ὥστε ἔστιν ἐπινοῆσαι ἐπὶ τῶν ἐγκλιτικῶν μορίων· καὶ ἔτι ἐπὶ τῶν θεματικῶν τὴν βαρεῖαν τάσιν· ἐκ τῶν ἀορίστων κατοξεῖαν· οὐδὲν οὖν ἄπιστον τὴν πρόθεσιν διαιρεῖν· ὅπερ ἐπικοινωνεῖ καὶ ἀντωνυμίαις ἐγκλινομέ-

ναις καὶ ὀρθοτονουμέναις. τὸ γὰρ ἐν ἀρχῇ τιθέμενον καὶ ἐν μέσῃ λέξει κατὸ συνεμπίπτει παραπληρωματικοῖς. τὸ γὰρ συνεμπίπτον μόριον μὲν κατὰ ἀρχὴν τοῦ λόγου, ἤμελλε κατὰ τὰς ὑποτακτικὰς συντάξεις. ὡς ἐν τῷ τὴν δὲ σὺν ὄσφιν ἀπὸ μήλων. ὁ τὴν κατάλυστος. ἢ κατὰ ξανθὰ νῷν. ἔστι καὶ ἄλλα ἐπινοῆσαι μόρια. μήποτε δὲ καὶ δεόντως τὸ διασσὸν τοῦ τόνου παρέπεται. τὰ μὲν γὰρ ἄλλα μέρη τοῦ λόγου, μίαν ἔχει σύνταξιν. ἐφ' ἣν καὶ φέρεται ὡς τὰ ἐπιρρήματα ἕπεσι τοῖς ῥήμασι κἂν μεταξὺ μέρη λόγου πλείονα πίπτῃ. τὰ δὲ ἄρθρα ὡς τὰ πτωτικά. τά τε ὀνόματα ἐπὶ τὰ συνόντα τῶν ῥημάτων, καὶ αὐτῶν τῶν ῥημάτων ὑποστροφὴν ποιουμένων, ὡς πρὸς τὰ ὀνόματα ἢ πρὸς τὰ ἀντωνυμικά. ἅπερ πάλιν ἀντὶ ὀνομάτων παραλαμβάνονται. Αἱ μέντοι προθέσεις δύο συντάξεις ἀναδεξάμεναι, τήν τε πρὸς τὰ ὀνόματα καὶ ἔτι πρὸς τὰ ῥήματα δεόντως παραδέξονται. ἐν τὸ ἐναγκαζόμενον τοῦ τόνου. ὅπερ ὑποστρεφόμενον διὰ τῆς τάσεως, συσσημαίνει καὶ τὸ ἀναβιβαζόμενον τῆς προθέσεως ἐπὶ τοῦ δέοντος σύνταξιν τῆς προθέσεως. τὸ γὰρ ἰθάκην κάτα κοιρανέουσι, διὰ τοῦ ἀρκτικοῦ τόνου λέγω τῆς ἀναστροφῆς συσσημαίνει καὶ τὸ ἀναβιβαζόμενον τῆς προθέσεως ἔχοντα τὴν σύνταξιν τὴν ἐπὶ ῥῆμα παραδέχεται. καὶ ἕνεκα τούτου ἦν παράδεκτος καὶ ἡ διπλῆ τάσις τῶν προθέσεων. ὁ αὐτὸς λόγος κατὰ τὸ πάτροκλον περικείμενον. ὃν ἐφίλει υἱόν. καὶ γὰρ ὅτι πρώτιστον ἐμοῖς ἐπὶ δάκρυ ἔθηκε γούνασι. καὶ ἔτι ἐν ὀνόμασι. μάχῃ ἔνι κυδιανείρῃ. ποταμῷ ἔπι δινήεντι. ποταμοῦ ἄπο σελλήεντος. ὑπὲρ ὧν καὶ τὰς διαφορὰς κατὰ τὸ δέον ἐκθησόμεθα. ἐν ᾧ καὶ παραστήσομεν τοὺς τρόπους τῶν ἀναστρεφομένων καὶ τῶν μὴ οὕτως ἐχουσῶν. τὸ γὰρ νῦν προκείμενον ἡμῖν ἐστι παραστῆσαι, ὡς ἀναγκαίως οἱ στοιχειωταὶ ἐπενόησαν τὴν ἐπὶ ταύταις γινομένην δισσὴν τάσιν. ὁμολόγως καὶ τῶν φωνῶν προευθετισμένων, εἰς τὸν προκείμενον λόγον. εἴ γε ἁπάσαις παρεπόμενόν ἐστι τὸ ὀξύνεσθαι. τῶν ἄλλων μερῶν τοῦ λόγου ποικιλωτέρων ὄντων. οὐ γὰρ τὸ μεταπίπτον τῆς τάσεως εἰς τὸν αὐτὸν εὐθετισμὸν ὑπάρχει ὥς γε καὶ παρηκολούθει ταῖς προθέσεσι. διὰ τοῦτο καὶ ἐπικτείνο-

L L iii

μεναι συνελκύουσι κατὰ τὸ τέλος τὴν ὀξεῖαν· ὡς ἔχει ἡ ἐνὶ καὶ ἡ προτί· διὰ τοῦτο οὐδὲ περὶ τὸν Ἀριστοφάνην ἠξίωσαν βαρύνεσθαι τὰ μόρια κατὰ τὴν αἰολίδα διάλεκτον· ἵνα μὴ τὸ ἴδιον τῆς προθέσεως ἀποστήσωσι· λέγω τὴν ἀναστροφήν. εἰ γὰρ ἐβαρύνθησαν, ἀφελκόμεναι ὑπὸ τῆς τοῦ ῥήματος συντάξεως ἢ τοῦ ὀνόματος, ἐξέτεινον τὸ ἀμεῖψαι τὸν τόνον, καθ' ἃς εἴπομεν αἰτίας· διὰ τοῦτο καὶ κατ' ἀρχὴν καὶ κατὰ τέλος βραχεῖαι. ὁ γὰρ βραχὺς χρόνος εὐμετάθετος κατὰ τάξιν· ὅπου γε ἔτι ἡ αἰολὶς μετατιθεῖσα τοὺς τόνους τοὺς κατὰ τὸ τέλος, εἰς βραχείας συλλαβὰς μετατίθησι κατὰ τὸ πλεῖστον. πλεονάσασαι σὺν χρόνῳ, ἐλλείπουσι καὶ τῇ ἀναστροφῇ· ὡς ἡ καταί· ὑπαί· καὶ αἱ τοιαῦται. ἀλλ' οὐ πᾶσαι ἀναστρέφονται· οὐδὲ γὰρ πᾶσα ἀντωνυμία καὶ ἐγκλίνεται καὶ ὀρθοτονεῖται· ἀλλ' ἐπεὶ τὸ πλεῖστον ταύτῃ παρέπεται· οὐδὲ πάντα τὰ ῥήματα βαρεῖαν ἐπιτάσσεται· ἀλλ' οὐδ' ἅμα πλεῖστα ὀξωμάλισται. προστίθεμαι δὲ τῷ λόγῳ τῶν μερῶν, ἢ κατὰ σύνθεσίν εἰσιν, ἢ κατὰ παράθεσιν:~

ϛ. Ἕνεκεν τίνος ἐν ταῖς εὐθείαις καὶ κλητικαῖς οὐ κατὰ παράθεσιν, ἀλλὰ κατὰ θέσιν:~

ἘΝ ΜῈΝ ΟΥ̂Ν ταῖς εὐθείαις τῶν πτωτικῶν, καὶ ἔτι ταῖς συνυπαρχούσαις κλητικαῖς, οὐκ ἔστι τὴν παράθεσιν ἐπινοῆσαι. πρόδηλον γάρ ἐστιν ὅτι τὸ σύνοικος· ἐπίκουρος· σύνδουλος· ὑπέρδουλος· πάροικος· μέτοικος· ἔκδηλος· ἀνάδρομος· περίοπτος· περιφόρητος, σύνθεσιν τὴν τῶν ὅλων ἐδέξατο· οὐ μὴν διὰ τὸν ἀναδραμόντα τόνον κατὰ σύνθεσιν· ἐπεὶ καὶ τινὰ συνεφύλαξε τὴν αὐτὴν τάσιν· καὶ οὐ μόνον τῇ τοῦ τόνου τάξει ἀπολύεται τὰ τῆς συνθέσεως, ὡς ἔχει τὸ περικλυτός· ἀναδρομή· συνοχή· καταμονή· ἅμα πλεῖστα· ἀλλὰ κἀκ τοῦ συνυπάρχειν κατὰ πάντα σχηματισμὸν τὴν πρόθεσιν· ὅπερ οὐ παρεπόμενόν ἐστι ταῖς ἐκ παραθέσεως· τὸ κατὰ Κτησιφῶντος· ὑπὲρ Ἀριστάρχου· οὐ συμφερόμενα κατὰ πᾶσαν πτῶσιν, διὰ τῆς αὐτῆς συντάξεως. τά γε μὴν προεγκείμενα κατὰ τὴν εὐθεῖαν, κατὰ πᾶσαν πτῶσιν σύνεστιν. ἀλλὰ μὴν ἔτι κἀκ τῆς τοῦ ἄρθρου παραθέσεως· πρωτεύοντος τῇ προθέσει κα-

τὰ παράθεσιν, παραχωρεῖ τῆς προθέσεως. μετὸν ἐφ' ὃ συνήρτηται. οὐ μὴν ἡ σύνθεσις. εἰ ἔστι μέρος ὀνόματος γενομένη, ἐξῆς προκείμενον τὸ καλούμενον προτακτικὸν ἄρθρον τῶν ὀνομάτων. καὶ τοῦ μὲν προτέρου παραδείγματα κατὰ κτησιφῶντος. κατὰ τοῦ κτησιφῶντος. περὶ στεφάνου. περὶ τοῦ στεφάνου. τοῦ δὲ δευτέρου, ὁ περίκλυτος ὁ σύνδουλος. ὁ μέτοικος. ἕνεκα τοῦ τοιούτου καὶ τὰ ὑπαμφιβολίαν πίπτοντα ἐκλύεται τοῦ ἀμφιβόλου, προσλαβόντα τὰ ἄρθρα. διοίσει γὰρ τὸ παρὰ τοῦ νόμου παρὰ τοῦ φέροντος. τοῦ τοιούτου τοῦ παραφέροντος οὗ παρανόμου. ὑπὲρ ὧν καὶ ἀλλαχόθεν ἡμῖν ἠκρίβωται. ὅθεν γὰρ μέρος λόγου ποιήσει τὸ προκυλινδούμενος ὑπὸ πεπτηῶτος. μέρος τῆς λέξεως εἴη ἡ κατά. ἐν τῷ λέων κατὰ ταῦρον ἐδηδώς. εἴπερ λόγον.

εἴγε τὰ μέρη τοῦ λόγου ἐκ παραθέσεως νοεῖται οὐκ ἐκ συνθέσεως διεστάμενα. καθὼς καὶ ἐν ἄλλοις δεδείξεται τὸ τοιοῦτον. ἀλλ' οὐδὲ τὸ γέλασσε δὲ πᾶσα περὶ χθών. παράκειται ἡ περὶ τῇ εὐθείᾳ κατὰ τὸν λόγον τὸν τῆς προθέσεως. ἐπιρρήματος δὲ τοῦ πέριξ. ἢ καθ' ὑπερβατόν ἐστι πρὸς τὴν τοῦ ῥήματος σύνοδον. ἡ ἵν' ᾖ περιεγέλασσε. περιωσῶς ἐλαμπρύνθη. τὴν γὰρ σύνθετον χρῆσιν ἀπείργει καὶ ἡ τάσις. ὅτι οὐκ ἀνεβίβασε τὸν τόνον. ὡς τὸ αὐτόχθων. καὶ ἡ τοῦ σημαινομένου ἔννοια. μάλιστα γάρ ἐστι τὸ θηλυκὸν ὄνομα τῆς συνθέσεως μεταβατικὸν ἐχούσης τὸν λόγον. οὐ γὰρ δήσει ἐν τῷ αὐτόχθων. καὶ ἐνοσίχθων ἡ γῆ νοεῖται. ὁ δὲ ἐκ τῆς γῆς γενόμενος. ἢ τῆς γῆς ἐπικρατῶν. ἡ μὲν τοιαύτη παράθεσις ἁπλῆς ἔχεται τηρήσεως. τό γε μὴν ὀρθογραστικὸν τοῦ λόγου φυσικωτέραν ἐνδείκνυται τήρησιν. αἱ εὐθεῖαι καὶ αἱ κλητικαὶ ἐν προσώπου δηλώσει μετὰ τῶν συνόντων ῥημάτων. τρύφων ἀναγινώσκει. τρύφων ἀναγίνωσκε. τρύφων παραλαμβάνει. τρύφων παραλάμβανε. τῶν ἄλλων πτώσεων ἐν δυσὶ προσώποις νοουμένων. τρύφωνα λέγει. τρύφωνα φιλεῖ. τρύφωνος ἄκουε. ὁμολόγως εὐθειῶν ἔξωθεν προσγινομένων. τούτων δὴ δεδειγμένων κατὰ τὴν σύνταξιν τὴν προσήκουσαν, οὐκ ἂν δυναθείη ἐν παραθέσει ἡ πρόθεσις τῆς εὐθείας ποτὲ εἶναι. πρόδηλον ὅτι τὸ ἐκ τῶν προθέσεων δηλούμενον ἐπιδέχεται τὴν ἐκ τοῦ ῥήματος σύν-

Φυσικωτέραν ἔχουσιν· ἔστω γάρ τι Πλάτων· ἔστω δέ τι καὶ βαίνει· καὶ πρό-
θεσις ἡ ἐν· ἢ σύν· ἢ ἀνά· ἢ ἄλλη τις τῶν τοιούτων· ἢ οὐκ ἐπαλλοιώ-
σει μέρος λόγου, ἢ τὸ δυνάμενον τὴν ἐξ αὐτῶν χρῆσιν ἀναδέξα-
σθαι· ἐν δὴ ἐμπλάτων μὲν οὐ γενήσεται· τὸ δὲ ἐμβαίνει· οὐδὲ τὸ συμπλά-
των· τὸ δὲ συμβαίνει· διαβαίνει· περιβαίνει· ἕνεκά γε τοῦ τρίτου ἑνὸς
ὄντος προσώπου τοῦ ὅλου· λέγω τοῦ Πλάτων βαίνει· τὸ προσγινό-
μενον ἔξωθεν προσθετικόν, ἐπὶ τὸ ῥῆμα νεύσει· καὶ ὥσπερεὶ προ-
τακτικὸν στοιχεῖον πρὸ ὑποτακτικοῦ κείμενον· ἔφαμεν γὰρ καὶ
κατὰ τὰς ἀρχὰς τῆς ἐκδόσεως, ὡς τὰ στοιχεῖα τοῦ λόγου, τὸν αὐ-
τὸν τρόπον ἐπέχει τοῖς στοιχείοις τῆς λέξεως, καὶ ὡς ἔστι προτακτικὰ
στοιχεῖα στοιχείων, καὶ οὐ πάντα ἁπάντων, οὕτω καὶ λέξεις προτακτικαὶ
εἰσι, οὐχὶ πάντων προτετάξονται, τῶν γε μὴ δυναμένων τὴν ἐξ αὐτῶν
σύνταξιν ἀναδέξασθαι· φέρε γάρ που συλλαβὴν εἶναι τοιαύτην τὴν
στα· τὴν κλα· καὶ ἐπεὶ τὸ σ οὐ προσχωρεῖ πρὸ τοῦ ρ ἢ πρὸ τοῦ λ, οὐ γὰρ
δὴ τούτων προτακτικὸν τὸ σ, τοῦ γε μὴν κ καὶ τ· καὶ οὕτω τὸ σκλᾶ
στᾶ συντετάξεται· φέρε δὴ καὶ εἶναι τὶρυ· καὶ τούτῳ προστίθε-
ται τὸ ν· λέγω κατὰ τὸ τέλος· οὐδὲ προσκείσεται μετὰ τοῦ σ· καὶ
τοιστιχικὸν ὂν πλείονων λέξεων· ἀνάπαλιν μέντοι· ὥστε παρὰ ἀρ-
χαίοις πάμπολλος ἐστὶν ἡ τοιαύτη σύνταξις, οὐδὲ ὂν προσγινομέ-
νης προθέσεως ἐν τῷ αὐτῷ προσώπῳ· λέγω δὴ τοῦ Πλάτων δια-
λείπεται· μεθ᾽ ἧς ἡ ῥηματικὴ σύνταξις τὸ προτακτικὸν αὐτοῦ στοι-
χεῖον κατὰ σύνθεσιν, λέγω τὸ προσδιαλείπεται· ἤγουν καὶ ἡ ὀνομα-
τικὴ θέσις ἔχουσιν δύναιτο ἐπιδέξασθαι τὴν ἐκ τῆς προθέσεως· ὅτε τι
νικαῦτά ἐστιν ἐπινοῆσαι συνενουμένην τῷ ὀνόματι τὴν πρό-
θεσιν· ὁ γὰρ πείραργος, οὐ πόρρωθεν ἐστὶ τοῦ περιαργάζεσθαι· οὐδὲ
ὁ μέτοικος τοῦ μετοικεῖν· οὐδὲ ὁ περίοπτος τοῦ περιόπτεσθαι·
οὐδὲ ὁ ἐπίκουρος τοῦ ἐπικουρεῖν· οὐ γὰρ ἀντίκειται κἂν συμ-
βολικῶς κεῖνται· ἡ γὰρ τῆς συνθέσεως πρώτη σύνοδός ἐστι
κατὰ τὴν ἐπιθετικὴν προφοράν· συμβολικώτερον πως μετα-
τιθεμένη· ἀμέλει τὸ ἀντίθεος· ἀντίπαξος· καὶ τὰ τούτοις ὅμοια,
δύναμιν τὴν ἐκτενικὴν παράθεσιν ὁμολογεῖ· ἀντὶ θεοῦ ἢ παξὸς παρα

λαμβάνεται. σαφὲς ὅτι καὶ τὰ σύνθετα συνέχει πάλιν τὸ ἰδίωμα τῶν δηλούντων ῥημάτων κατὰ τὸν προειρημένον λόγον συντιθεμένων μετὰ τῶν προθέσεων· οὐ μὴν παρατιθεμένων ὡς δεδείξεται. ἀνάγκη πᾶσα ἄρα τὰς ὀνοματικὰς πτώσεις ἐννοίαν ῥηματικὴν ὁμολογούσας, τὸ αὐτὸ τοῖς ῥήμασιν ἀναδέχεσθαι· αἱ γοῦν πλάγιαι πτώσεις ἀποστᾶσαι τῆς συνόδου τῶν ῥημάτων, τουτέστι τὸ αὐτὸ πρόσωπον οὐ δηλοῦσαι, καὶ τοῦ ῥήματος ἀπηλλοτριώθησαν· τὸ δὲ ἐναντίον ἀναδέχονται παραθέσει ἀντὶ συνθέσεως. καὶ πρὸς τὸ ἐνούμενον μὲν πρόσωπον ὡς προείπομεν, καὶ τὰ τῆς συνθέσεως ὁμοίως συνήνωται· πρὸς δὲ τὸ ἀφιστάμενον τῆς πλαγίας, μερικωτέρας λοιπὸν παραθέσεως γινομένης· ἧς περιηκούσης καθ' ἕνα σχηματισμὸν, περὶ Ἀπολλωνίου, ἐν Ἀπολλωνίῳ, καὶ τὰ τούτοις ὅμοια, εἰκός τινα φῆσαι καὶ ἐν πλαγίαις συνθέσεσιν ἐπινοεῖν· βόλου· περιβόλου· δρόμου· καταδρόμου· καὶ ἐν τοῖς ὁμοίοις· ὁ λύσεται ὡς οὐκ ἔστιν αὐτόθεν σύνθεσις· εὐθείας γὰρ συντεθείσης κλίσις μεταπεποιημένη· ὡς ἐν τοῖς ἑξῆς δεδείξεται· εἰκός ἐστι κἀκεῖνο ὑπονοῆσαι· ὡς κατὰ τὰς πλαγίας αἱ προθέσεις παρατίθενται· ἐν δὲ ὑπερβιβασμῷ, πρὸς τὰ ῥήματα ἀνατεινόμενα φαίνονται· κατ' Ἀπολλωνίου ἐλάλησα· κατελάλησα Ἀπολλωνίου· σὺν Ἀπολλωνίῳ ἤμην· συνήμην Ἀπολλωνίῳ· περὶ τὸν καμπτῆρα ἔδραμον· περιέδραμον τὸν καμπτῆρα· πρὸς Τρύφωνα εἶπον· προσεῖπον Τρύφωνα· ἀπὸ Ἀλεξανδρείας ἔδραμον· ἀπέδραμον Ἀλεξανδρείας. κἂν διαφέρῃ κατὰ τὸ δηλούμενον τὰ τῆς συντάξεως, καθ' ὑπερβιβασμὸς ἐγένετο πως ἡ διαφορά· οἷον ἀνθρώπων ὁ ἄριστος· τὸ τοῦ Πτολεμαίου· ὁ τοῦ Πτολεμαῖος· ἐμὸς ὁ δοῦλος· ὁ ἐμὸς δοῦλος· ἔστι γὰρ καὶ πρὸς τὸ τοιοῦτον φάναι ὡς τὰ τοιαῦτα μὲν, τῷ ὑπερβιβασμῷ, τὴν αὐτὴν ἔχει καταλληλότητα· κἂν ὁπωσοῦν ἔχῃ διαφορὰν τοῦ σημαινομένου· τὰ δὲ τῆς προθέσεως καὶ ἐν ὑπερβιβασμῷ διάφορον πτῶσιν ἔχει· καὶ χωρὶς τούτων τὰ ἐλλείποντα οὐχ ὑπερβιβάζεται. πρὸς Ἀπολλώνιον ἔρχομαι· προσέρχομαι δὲ Ἀπολλωνίῳ· ἢ προσλαλῶ Τρύφωνι· πρὸς Τρύφωνα λαλῶ καὶ ἔτι μέντοι καταφέρω οἶνον· οὐ μὴν κατοίνου φέρω. καὶ περὶ τοῦ ἄλλου λέγω· οὐ μὴν περιλέγω τοῦ ἄλλου.

πλεῖστον ἐστὶν εἰς τὸ τοιοῦτον παράθεσιν ποιήσασθαι. διὸ οὐ προδηλότατα λέλυνται, ὡς οἴονται αἱ προθέσεις σύνταξιν τὴν πρὸς τὰς πλαγίας· οὐ δυνάμεναι ἐπ' ἄλλο τι συνενεχθῆναι, εἰ μὴ πρότερον συμπεριλάβοιεν τὴν πλαγίαν πτῶσιν. ὑπὲρ ὧν τῆς διαφορᾶς κατὰ τὸ ἑξῆς ἐροῦμεν:~

δ΄. Εἰ τὸ παρά τι, ἐν ἴσῳ ἐστὶ τῷ παρ' ὀλίγον· καὶ τὰ τούτοις ὅμοια, ἔτι τῆς παρακειμένης συντάξεως οἰήσεταί τις τὰ τοιαῦτα ἀντικεῖσθαι. παρ' ὀλίγον ξύφοσιν ὤλισθε μετ' ὀλίγον δίων παρέστη παρά τι ἡμῖν τεθνεῶν· τὸ γὰρ τινὰ τὸ ὀλίγον, καὶ ἔτι τὰ προκείμενα δόξει ἐν εὐθείᾳ συντάξει παραθέσει τῶν προθέσεων ἀναδέχεσθαι. κἂν ἔτι κατὰ πλαγίαν πτῶσιν ἡ τῆς τάξεως γίνηται. παρ' ὀλίγον τρύφωνα συνέβη τι μαθῆναι· κατά τι θέωνα ὑβρίζεσθαι. ἅπερ ἐστὶν οὕτως ἀπολύεσθαι ὡς ἐν ὑπακουομέναις αἰτιατικαῖς τοῦ λόγου καθίστη. τὸ γὰρ παρά τι ξύφον ἥμαρτεν, ἐν ἴσῳ ἐστὶ τῷ ἔξωθεν ὑπακουομένῳ κατὰ τὴν αἰτιατικὴν πτῶσιν. ὥσπερ καὶ ὅτε τις λέγει· παρὰ ποίαν αἰτίαν ἥμαρτε τρύφων. οὕτως ἔχει τὸ μετὰ μικρὸν ἢ μετ' ὀλίγον ἐλεύσεται τρύφων. ὑπακούεται γὰρ μετὰ μικρὸν διάστημα τοῦ χρόνου. ὁ αὐτὸς λόγος ἐπὶ ἁπάντων τῶν τοιούτων. ὥστε πάλιν κατὰ παράθεσιν αἰτιατικῆς πτώσεως νοεῖν τὰς προθέσεις. τὸ γὰρ παρά τι λείπει ὁ λόγος, ἐν ἴσῳ ἐστὶ τῷ παρά τινα λέξιν λείπει ὁ λόγος παρά τινα φράσιν. καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἐν εὐθείᾳ συντάξει φάναι τὸ παρά τι. καλῶ δὲ αἰτιατικὴν τὸ παρά τινα. οὕτω χρὴ νοεῖν ὡς καὶ τὸ τί καθεστώς. τῆς μὲν εὐθείας οὐ παραδέξεται τὴν πρόθεσιν· αἰτιατικῆς γε μήν. ὅτι φαμὲν παρά τι. ἀλλ' ἐκεῖνο πάλιν ἀντικεῖσθαι ἔφαμεν ἐν τοῖς προειρημένοις ταῖς τῶν ἄρθρων συντάξεσιν· ἐν μὲν παραθέσει τῆς προθέσεως μεταβάλλει τίθεσθαι. ἐν δὲ συνθέσει, πρὸ αὐτῶν τίθεσθαι. φαμὲν δή γε τῷ παρά τι τοῦ τοιούτου οὐ προεγγινομένου, εἰ μὴ πολὺ πρότερον ἡ πρόθεσις ἤνωτο. πρὸς ὅ ἐστι πάλιν ἀπαντῆσαι. τὸ πρῶτον, οὐδαμῶς τὸ τί δύναται παραδέξασθαι ἄρθρον. ἀπροσδεεῖς γὰρ τῶν ἄρθρων αἱ πεύσεις· καθὼς ἀπεδείχθη. τὸ δεύτερον, ἡ προκειμένη σύνταξις, οὐχ εἰς ἐγ—

κειμένου τοῦ ὀνόματος καὶ τῆς συντάξεως τοῦ ἄρθρου ἐπιποιοῦσα τὸ. λέγω ἐμπροσθ παρά τι. ἀπαιτεῖ ὅλης τῆς συντάξεως καὶ τοῦ νοουμένου ἔξωθεν πράγματος ἄρθρον· ὥστε οὐκ ἐπινοῆσαι καὶ ἐπὶ τῆς τῶν ἀπαρεμφάτων συντάξεως. ἀντιφαμένου τὸ γράφειν· τὸ περιπατεῖν οὐ γὰρ τῶν διαθέσεων τὸ ἄρθρον ἐστὶν ἢ τῶν χρόνων· τοῦ δὲ παρυφισταμένου πράγματος. παρὸν γὰρ λόγον πιστώσασθαι, ἡ διὰ τῆς τοῦ λόγου συντάξεως. ἔστω γάρ τι τοιοῦτον τὸ μὴ παρὰ τοῦτο τρικώμεθα. ὡς δὴ οὖν τὸ παρά τι ἐν συνθέσει τὰ τῆς προθέσεως ἀνεδέξατο. διὰ τὸ προσεγγιζόμενον ἔξωθεν ἄρθρον:~

ι. ΕΙ Τὸ διότι καθότι ἐν παραθέσει ἔχει τὰς προθέσεις, πότερον ἓν μέρος λόγου, ἢ δύο, ἢ τρία.

Τῆς αὐτῆς ἐπιστάσεως ἔχεται καὶ τὸ διότι καὶ καθότι. πότερον ἐν παραθέσει τὰ τῆς συντάξεως καθέστηκεν, ἢ συνθέσει. καὶ πότερον ἐπὶ ἄπτωτον τὸ, ὅτι, λόγῳ τοῦ συνδεσμικοῦ, ἢ ἐπὶ πτωτικόν. ὧν δὴ παράκειται οὐδέτερον ὄν. τὸ ὅτι ἓν μέρος λόγου καθέστηκεν. ὁμοίως τῷ ὁποῖον. ὁπόσον. καὶ τὸ ἐν δυσὶ μέρεσι λόγου νοούμενον. ὃ δὴ ἀπὸ ἐρωτηματικῆς πέπτωκε συντάξεως κατὰ παραλληλότητα λέγω τῷ ὅστις. ὧν καὶ θηλυκὸν παράκειται ἐν δυσὶ μέρεσι λόγου. τὸ, ὅτι οὐκ ἀγνοοῦσι τὸ ἐμοῦ, ὅτι καὶ ἐν συνδέσμῳ τῷ ὅτι, ἔστιν ἐγκειμένη ἑτέρα σημασία ἡ νοουμένη διαβεβαιωτικῶς, ὅτι οὕτω φαμὲν. ὅτι νικῶσι. ὅτι πλειονάκις ἀναγινώσκω. συνετώτερός σου καθέστηκα. ὑπὲρ ἧς διαφορᾶς ἠκριβώσαμεν ἐν τῷ περὶ συνδέσμων. ἀλλὰ τοίνυν γε τῆς τῶν προθέσεων συντάξεως τὸ τοιοῦτον ἀπαιτούσης αὐτὸ μόνον, τὸ κατὰ τὰς προθέσεις ἀπορούμενον παραστήσομεν. ὡς μὲν οὖν καὶ κατὰ τὰς ἄλλας παραθέσεις, αἱ προθέσεις συνδεσμικῆς συντάξεως γίνονται παρεμφατικαὶ, λέλεκται ἡμῖν. ἐξ ὧν καὶ ἀφορμὴ εἴρηται παρὰ τοῖς στωικοῖς τοῦ καλεῖσθαι αὐτὰς προθετικοὺς συνδέσμους. τὸ γὰρ ἕνεκα τίνος λυπῇ, καὶ διά τι λυπῇ, ἐν ἴσῳ ἐστί. καὶ τὸ ἐκ τῆς ῥαθυμίας ἐν ἴσῳ τῷ, τῷ ἕνεκα τῆς ῥαθυμίας. οὐ δὴ οὖν ἀπεμφαίνει, εἰ καὶ τὰ προκείμενα μόρια λέγω τὸ διότι καθότι, προσεδεξάμενα τὰς προ-

Θέσεις σωζόμεναι κἂν ἐπὶ τέλει σύνταξιν· πρόδηλον δὲ κἀκ τῆς συνούσης
δασείας, ὥστε γὰρ ἁπλοῦν ἐστι τὸ διότι· καθ' ὃ οὐ παρεμπίπτει ἡ ἐν-
τὸς φωνήεσι δασεῖα ἐν μέσαις ταῖς λέξεσιν· ἕνεκα τοῦ τοιούτου
σεσημειωμένων ὡς ἀλόγων ὄντων· ἢ ἀπὸ λακωνικῆς διαλέκτου
παραδεδυκὸς εἰς τὰς ἄλλας διαλέκτους· ὑπὲρ ὧν ἐν τῷ περὶ πνευ-
μάτων ἠκριβώσαμεν· ἀλλ' οὖν τοῦτό φημι αὐτάρκεις διότι συνε-
στῆναι ἐκ διαφόρων μερῶν τοῦ λόγου· πρῶτον αὗται αἱ φωναὶ ἥτε
διὰ καὶ ὅτι· καὶ τὴν διὰ μηδέποτε ἐν συνθέσει αἰτιολογικοῦ πα-
ραλαμβάνεσθαι· ὡς ἐν τῷ διάδρομος· ἢ διαξέω· ἐν δὲ παραθέσει
πτώσεως αἰτιατικῆς· διὰ ξύφωνα· διὰ τὴν ἡμέραν· ἐνθένδε ὁ-
μολογεῖται, ὡς οὐδὲ τὸ ὅτι σύνδεσμός ἐστιν· ἀλλὰ πτωτικὸν μό-
ριον τῆς αἰτιατικῆς πτώσεως· εἴγε ἐδείχθη ὅτι οὐδὲ ἐν παραθέσει
ἐστὶν ἡ εὐθεῖα τῶν προθέσεων· καὶ ὡς ἐν εὐθείᾳ ἡ διὰ συνδεσμικὴν οὐκ
ἔχει σύνταξιν. Λειπόμενον οὖν ἐστὶν ἐκεῖνο παραστῆσαι, ἢ ἑνὸς
ὄντος τοῦ ὅτι κατ' αἰτιατικὴν πτῶσιν ἡ διὰ πρόκειται, ἢ δύο ὄν-
τοιν κατὰ παράθεσιν τοῦ ὃ καὶ τί· ὃ δὴ ἐκ συντάξεως ἀρσενι-
κῆς ἐστὶν ὅστις μετείληπται εἰς οὐδετέραν· ᾧ καὶ μᾶλλον τὰ τοῦ λό-
γου ὑπάγεται. ἰδοὺ γὰρ καὶ ἐπὶ τῶν ἑτέρων γενῶν, λέγω τοῦ
τε ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ· ἃ δὴ εἰ μὴ κατ' αἰτιατικὴν συ-
νεμπίπτει, οὐδέποτε τὰ τῆς διαστολῆς ἔκδηλα ἐγίνετο· ἧς γὰρ
πτώσεως ἔτυχε τὸ δι' ὅντινα λόγον καὶ δι' ἥντινα αἰτίαν. καὶ ἔτι
ἐπὶ πληθυντικοῦ ἀριθμοῦ, δι' οὕστινας καὶ δι' ἅστινας, καὶ τὸ διό-
τι προφανὲς γενήσεται. ὡς εἴη ἐν τρισὶ μέρεσι λόγου, προθέσε-
ως τῆς διὰ κατὰ συνδεσμικὴν σύνταξιν φερομένης ἐπ' αἰτιατι-
κήν. καὶ ἐπὶ τῶν ἄλλων δύο πτωτικῶν, τοῦ ὃ, καὶ τοῦ τί, πτώσεως
ὄντων οὐκ ἄλλως ἢ αἰτιατικῶς, ἡ αὐτὴ ἀπόδειξις σύνεστι καὶ ἐπὶ
τοῦ καθότι, ὁμολόγως δείκνυσι καὶ ἐν τῇ τοιαύτῃ συντάξει διὰ τὸ ἡμέ-
ραν εἶναι· διὰ τὸ φῶς εἶναι· διὰ τὸ μὴ ἔχεσθαι ἄλλης πτώσεως ἢ τῆς
προειρημένης αἰτιατικῆς· ἔστι καὶ ἐκ τῶν ἀνθυπαγομένων λόγων
προσαποδεῖξαι τὸν λόγον· ἐὰν γὰρ προσαπαιτῶμεν· τὸ δι' ὅντινα λόγον
ταῦτα εἴρηται· διὰ τίνα ταῦτα συμβέβηκε· καὶ ἔτι δι' ἥντινα αἰτίαν τὸ διά,

τὴν παρακολούθησιν καὶ ἀπὸ τοῦ οὐδετέρου· διότι ἡμέρα ἐστὶ, διὰ τοῦτο φῶς ἐστί· πάλιν τοῦ ἔρωτος προκειμένου κατὰ τὴν ἀπαίτησιν:~

## ϛ. ΤΙΝΙ ΛΟΓΩι ΧΡΗΣΤΕΟΝ ΕΙΣ ΑΠΟΔΕΙΞΙΝ ΤΟΥ ΠΑΡΑΚΕΙΣΘΑΙ ΤΑΣ ΠΡΟΘΕΣΕΙΣ ΤΟΙΣ ῬΗΜΑΣΙ.

Καὶ τοσαῦτα μὲν περὶ προτιθεμένων προθέσεων κατὰ τὰς ὀνοματικὰς συντάξεις, ἤτοι ἀσυνθέτων ἢ συντιθεμένων. τοῖς δὲ μὲν ῥήμασι συντάξεις πάντοτε ἔχει τὴν σύνθεσιν· ἐν γὰρ τῷ καταγράφω, καὶ τῷ ὀξύνω, ἐν τῷ παρακατατίθεμαι καὶ ἔτι τινὰ ἄλλα τοιαῦτά ἐστι. καὶ ἴσως τὸ τοιοῦτον δόξει οὐκ ἀληθεύειν, διόπερ λόγου τοῦ ἀποδεικνύντος τὴν ἐν αὐτοῖς θέσιν. φαίνεται γὰρ φαίνεται ὡς μᾶλλον παράκειται τοῖς ῥήμασιν ἤπερ σύγκειται. συνηγορίας οὔσης τοιαύτης, τὰ ὁπωσδήποτε συντιθέντα τῶν μορίων τοῦ λόγου καθ' ὃ μέρος ἥνωται, ἀμετάθετά ἐστι. τά γε μὴν παρακείμενα ἀδιάφορον ἔχει τὴν παράθεσιν ποιεῖσθαι. καὶ πρόδηλα μὲν τὰ ἀπὸ λειπούσης φωνῆς συντιθέμενα· ὡς ἔχει τὸ λεοντόφονος· μηνόδωρος· κυνόδηκτος· χειρογράφω· παιδαγωγῶ· οὐ γὰρ δήπου ἐπὶ τούτων κατὰ τὰς διαλύσεις διαφόροις κλίσεσι τῆς συναφείας τῶν λέξεων ποτὲ μετατίθεται. ἀλλὰ καὶ ἔτι τὰ ἐκ τῶν τελείων φωνῶν συντιθέμενα, μετὰ τῆς συνεστώσης τάσεως ἐπὶ μὴν μεταπιπτούσης λέξεως, πρόδηλον ἔχει τὴν θέσιν· ὡς ἔχει τὸ κερασφόρος· ἑωσφόρος· ἀστυάναξ· τερατοσκόπος· διόσκορος. τά γε μὴν ἐν παραθέσει ὄντα ἔχει τὸ καὶ μετατίθεσθαι. ὡς τὸ, νέα πόλις· νέας πόλεως· ἀγαθοῦ δαίμονος· ἀρείου πάγου. συνεπισχύοντος καὶ τοῦ διὰ παραλαμβανομένου τόνου. ἀλλ' ἔτι καὶ ἐπ' αὐτῶν τῶν προθέσεων ἡνίκα ἐδιδάχθημεν τὸ παραινοῦμαι· τὸ περίκλυτον· [illegible] ἄρθρου προσόδῳ. παράθεσιν μὲν ὁμολογεῖ ἀφισταμένης τῆς προθέσεως. οὕτως ἔχει τὰ τῆς συντάξεως τοῦ παραινοῦμεν τοῦ περικλυτοῦ [illegible] καὶ δὴ ἐν τῷ καταγράφω εἰ μὴ συνῆπται τὰ τῆς προθέσεως, πάντως ἀμετάβλητα

κατὰ τὸν προειρημένον λόγον. εἰ δὲ μὴ οὕτως ἔχει, κλίσιν δὲ τὴν δύ-
ναμιν ἀναδέχεται. οὐκ οὖν καὶ τὰ πλεῖστα καθεστήκει, σαφὲς ὅτι καὶ πα-
ράκειται μᾶλλον ἡ πρόθεσις ἤπερ σύγκειται. καὶ ὥς τις παραδε-
ξαμένη τὸ ἄρθρον ἐν τοῖς δοτικοῖς ἐνέδειξε τὴν παράθεσιν, οὕ-
τω παραδεξαμένη τὴν γινομένην κλίσιν ἔσωθεν, ταύτῃ ἐπιδέξε-
ται. ὅπου γε καὶ τοῖς πλεονασμοῖς ἐπιδέχεται. καταγράφω.
κατέγραφον. καταβαλῶ κατέβαλλον :~

## ΤΙΣ Η ΑΙΤΙΑ ΤΩΝ ΚΕΚΛΙΜΕΝΩΝ ΚΑΤΑ ΤΑΣ ΠΡΟΘΕΣΕΙΣ, ΗΝΕΡΟΝ, ΕΚΑΜΜΥΟΝ.

ζ.

Οὐδὲ ἐκεῖνο πιθανὸν καθὸ φησὶν ὁ Τρύφων, ἐν τῷ περὶ προθέσεων ὡς ἡνωμέναι μένουσιν αἱ προθέσεις μετὰ τῶν ῥημάτων. οὐ μὴν τὴν προγινομένην κλίσιν ἔξωθεν ἐπιδέχονται. καθὸ προθέσεις οὖσαι οὐκ ὀφείλουσι πρὸ ἑαυτῶν τι ἔχειν. πρῶτον μὲν ὅτι ἄπορον, τὸ ὁποιονδήποτε συντιθέντα ἔτι μετακινεῖσθαι, ὅπερ καὶ ἀπεδείχθη. τί γὰρ μᾶλλον ὡς ἔφαμεν παρακειμέναις αὐταῖς τὸ τοιοῦτον παρακολουθεῖ. ἤπερ συντιθεμέναις δεύτερον. εἴπερ καθὸ προθέσεις εἰσί, διὰ τοῦτο οὐδὲ ἔξωθέν τι προσίενται αὐταῖς. τί δή ποτε ἐπ' ἐνίων προσεγίνετο. ἠνέσχετο. παρηνωχλῆσθαι. ἠναντιωμένην. ἵνα μὴ λέγω καὶ κατὰ τὴν συνήθειαν κεκάμμυκα. μεμάθηκα. ἀλλ' εἰ καὶ τὰ τοιαῦτα πως παρέμφαινοιτο ὡς οὐδὲ οὕτως κεκλιμένα ἃ δὴ καὶ μάλιστα φυσικῶς ἔχεται ἀκολουθίας. ὡς ἐν ἑτέροις ἐδείξαμεν. ἐκεῖνό γε μὴν ἔτι ἀνακείμενον, ὡς γέ τοι ἡ πρόθεσις τῆς διὰ τῆς συντάξεως τυγχάνει. ἡνίκα καὶ τὸ ὄνομα σύνεστιν αὐτῇ τὸ καλεῖσθαι πρόθεσις. ὁπηνίκα μέντοι συντεθεῖσα μετά τινος μέρους λόγου, οὐκ ἔτι οὐδὲ πρόθεσις καλεῖται, μέρος γινομένη τοῦ ὅλου ὀνόματος. δῆλον ἀποστῶσα ἐκ τοῦ προκατειλεγμένου. ὅταν γὰρ ἐν τῷ ἀνοίκτης μέρος ὀνόματος ἐγένετο. ἔχει ἐπὶ δευτερεύουσαν τὴν σύνθεσιν ἐν τῷ δυσανοίκτης. καίτοι καταπροχεῖς ἀεὶ συντιθεμένη ὅτι συνετέθη ἐν τῷ κατάδρομος εἰς ὄνομα χωρήσασα ἔξωθεν, προκείμενον δὲ ἔχει τὸ ἄρθρον. οὐκ ἔτι δὲ τοῦ λόγου τῆς προθέσεως ἀρκτικὴ γινο-

μένει. δευτέρα δ' ἐστὶ τοῦ ἄρθρου· ἐνδείκνυται γοῦν ἐν παραθέσει μὴ παραχωροῦσα τῷ τόπῳ τοῦ ἄρθρου· ἐν τῷ κατὰ Κτησιφῶντος· καὶ ἔτι κατὰ τοῦ Κτησιφῶντος· ἐκ Λέσβου καὶ ἐκ τῆς Λέσβου· ἀπὸ τοῦ ἐνίου ἤκουον· καὶ ἐν τῷ κατέγραφον ἀδιάφορον ἔχει τὸ ἔξωθεν προσκληθῆναι· ὡς γὰρ ἔφαμεν, οὐκέτι πρόθεσις, μέρος δὲ ῥήματος· εἰ δὲ οὐ προσδέδωσι τῇ κλίσει τὸ ἔξωθεν ἐπιγενέσθαι, ὁμολογοῦμεν ὅτι καὶ τὸ ἰδίωμα οὐκ ἄλλο τι σημαίνει ἢ τὴν πρόθεσιν ἀλλὰ τοῦ τόπου· ἀποφαίνονται εἰσιν· ἰδοὺ γὰρ ἔχει τὸ ἰδίωμα τῆς παραθέσεως· τὸ συντηρεῖν τοῖς τόνοις. κατεῖχον· καθῆκαν· προῆλθον· καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος· τούτοις ἐν τοῖς λόγοις προσέχειν δοκεῖ μετὰ πάσης ἀκριβείας ἐπιστοῦσθαι, ὡς μᾶλλον ἐν παραθέσει εἰσὶν αἱ προθέσεις, ἤπερ ἐν συνθέσει· καὶ ἔστι πρὸς ἕκαστον τῶν εἰρημένων ἀπαντῆσαι οὕτως· οὐκ οἰκεῖον κεκλῖσθαι τὰ ἀπὸ προθέσεως ἀρχόμενα κατὰ τοῖς παρῳχημένοις χρόνοις συντίθεσθαι, μὴ κατὰ τὴν ἑκάστου διαφοράν. ᾧ γὰρ λόγῳ παρὰ τὸ γράφω ἐγίνετο κατέγραφον, τούτῳ παρὰ τὸ ἔγραψα, τὸ κατέγραψα· ὁ αὐτὸς γὰρ τῶν προειρημένων χρόνων ἐπαγγελόμενος κατὰ τὴν τοῦ πράγματος διάθεσιν, τὴν αὐτὴν ἐκ τῶν προθέσεων θέσιν, παραδέχεται ἐν τοῖς ἰδίοις μετασχηματισμοῖς· ὅτι καὶ τὸ αὐτὸ πρᾶγμα ἐνέκειτο· τούτου δὲ ἀπόδειξις ἱκανωτάτη γένοιτο τὸ καὶ τοῖς παρῳχημένοις ἰδίᾳ, ποτὲ συντίθεσθαι, μὴ ὄντων ἐνεστώτων· καὶ ἔτι μέλλοντας καὶ ἐνεστῶτας οὐκ ὄντων παρῳχημένων· ὅπερ εἰ παρείπετο δὴ ἐνεστῶτος ἄρχεσθαι τὰς συνθέσεις καὶ μετιέναι ἐπὶ τοῖς παρῳχημένοις, παρείπετο ἂν τὸ μὴ ἰδίᾳ συντίθεσθαι παρῳχημένον, χωρὶς τῆς κατὰ τὸν ἐνεστῶτα συνθέσεως· κατέφαγον· ἔφασαν· οὐδεμιᾶς οὔσης ὑπομνήσεως τοῦ ἐνεστῶτος· καὶ ἔτι κατοίσω οὐκ οὔσης χρήσεως τῆς κατὰ τὸν ἐνεστῶτα· οὐδὲ μὴν τῆς κατὰ τὸν παρῳχημένον· ἀλλ' ἔτι καὶ τὸν ἐνεστῶτα ἀπεσημειωσάμεθα· τῶν ὄντων προδήλων τῶν παρῳχημένων· ἰδίᾳ ἄρα ἐστὶ τὸ ἕκαστον χρόνον τὴν σύνθεσιν ἀναδέχεσθαι· καθὸ ἕκαστος ἐστὶν ἀντὶ ... διαφόρῳ χρόνῳ ...

ἰδίαν ἀποτείνουσι τὴν ἐγκειμένην τῆς ἐξ ἐνεστῶτος γινομένην σύνθεσιν· ἔστι καὶ εἰς τὸ τοιοῦτον τὰ μπολλα, παραθετέα· Ἐκείνοις μέντοι συγκατατιθέμενοι τοῖς ῥήμασι· λέγω τοῖς κατὰ τὰς προθέσεις κλιθεῖσι· τὴν γὰρ ἐκ τοῦ ἐνεστῶτος γινομένην διαφορὰν καὶ τοῖς παρῳχημένοις παρεδέξαντο αἱ προθέσεις· ὡς ἔχει ἐπὶ τὸ ὑφέστακεν· ὅμοιον γάρ ἐστι τῷ ἤλαυνον καμμύειν· Ἐκάμμυον· ὅμοιον τῷ ἔκαμπτον· χρὴ νοεῖν ὅτι παρὰ τὸ ἐνοχλῶ ἐγένετο ἠνώχλουν· καὶ κατὰ τὴν κλίσιν, ἐπέχει σύνθεσις ἡ τοῦ παρηνώχλουν· Ἐκφαίνεται ὅτι μὲν τὸ πολλῷ πρότερον αὐτὴ παραθετέον ἐστὶ τὸ ἐκλελειμμένον ἐν τῇ ἐπικρατείᾳ καθεστῶτος χρόνου συντεθειμένων προθέσεων, τὰ τοιαῦτα ἐδόκει ἄλογα καθεστάναι· πρὸς οὓς ἔστιν ἀντιφέρειν· ὡς εἴγε αὐτὸ ἀνάγκη τὸν λόγον ταῖς οὕτω συντεθειμέναις προθέσεσιν ὅτι οὐχὶ παρῳχημένοι τὴν ἔξωθεν κλίσιν ἐγγινομένην ἀποδιδοῦσιν, ὥσπερ φαίνεται καθεζομένη καθῆστο λέγω μετὰ μακροῦ τοῦ ι· ὅπου γε ἡ μεταξὺ πεσοῦσα τοῦ συνδέσμου ἐσύγκρο· καὶ ἐκαθίζετο ἐν διαλέξει μιᾷ ὁμολέξεως ἀνακινομένη ἔξωθεν τῆς κλίσεως, τὸ ἐγένετο ἔξωθεν· ἀδύνατον γὰρ ἐκστῆναι τὸν παρῳχημένον χρόνον τῆς ἔξωθεν προσγενομένης κλίσεως· οἷς ὅταν προσίῃ τὰ μέντοι ἐκ τοῦ ἐνεστῶτος σύνθεσιν ἀναδεξάμενα, μετὰ καὶ ἐπὶ τοῖς παρῳχημένοις οὐχ ἰδία συντιθεμένοις· μεταληφθέντα δὲ ἐξ ἐνεστῶτος· ἐγὼ δὲ ὑπολαμβάνω ὅτι ἐν ταῖς πολλαῖς αἱ συνθέσεις οὖσαι κατὰ πλεῖον, καὶ ὡς συλλαβαὶ προκείμεναι τοῖς ῥήμασι τὴν τούτου ἀποτείνουσι κλίσιν· οὐ γὰρ ὡς τὸ γράφω καὶ τὸ καταγράφω διάφορα ἔσται· ἢ τὸ ἵζω καὶ τὸ καθίζω, εὕδω καὶ καθεύδω· ἕπω ἐνέπω· ὅπως γε εἰ ἐν ἁπλοῦ παραλαμβάνεται· τὸ δ' ὑπὲρ τῶν τοιούτων, αὐτάρκως ἐν ἑτέροις ἡμῖν εἴρηται.

ι. ΟΤΙ ΟΥ ΜΑΛΛΟΝ ΣΥΝΘΕΤΟΙ ΕΙΣΙΝ ΑΙ ΜΕΤΟΧΑΙ ΠΑΡΑΚΕΙΜΕΝΑΙ ΤΟΙΣ ΡΗΜΑΣΙΝ, ΗΠΕΡ ΠΑΡΑΣΥΝΘΕΤΟΙ.

Ἔστι δ' ἐπεὶ αἱ τῶν μετοχῶν ἀλόγως πάνυ ἀκριβεῖς εἰσίν· εἰ δὲ ὅτι καθὰ γράφεται ἐν ὅσῃ καθ' ὑπόθεσιν· καθὸ ἡ παράθεσις τοῦ ἄρθρου

πρὸ τῆς προθέσεως δέδεικται. ὅτι ἐστὶ τὸ καταγράφω ἐν ὄντι. ἐν γὰρ τῷ αὐτῷ σχήματι καταγίνεται μετοχὴ καὶ ῥῆμα. διὰ τοῦτο τὸ ἀναπλάσας μετοχὴ, συνυπάρχοντος τοῦ ἀνέπλασα μὲν πολύπλασε. ἰδίαν γὰρ θέσιν ἀναδεξαμένη ἡ μετοχὴ ἐστὶ μετέχουσα τῆς τοῦ ῥήματος θέσεως, ἀπέλυσε τοῦ καὶ εἶναι μετοχή. τὸν τοιοῦτον λόγον ἐντελέστερον ἐξεθέμεθα ἐν τῷ περὶ τῶν μετοχῶν. ἔστι καὶ τοῦτο προσθεῖναι. εἴπερ αἱ θέσεις συμπεριφερόμεναι τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον οὐ παραδέχονται καὶ προθέσεως παράθεσιν. σύνθεσιν γὰρ διὰ τὴν τοῦ ῥήματος σύνοδον. πῶς οὐ βίαιον τὸ αἴτιον τοῦ συνεῖναι τὰς παραθέσεις τῶν προθέσεων. τὸ αὐτὸ μὴ ἐπιδέξασθαι τὴν παράθεσιν, πάλιν γὰρ οὐδ' ἡ κλητικὴ παράθεσις ἐπιδέχεται κατὰ τὴν τοῦ ῥήματος σύνοδον. ἐδείξαμεν γὰρ ἐν τοῖς προκειμένοις ὡς ἐν διαφόροις προσώποις τὰ ῥήματα νοεῖται. ἡνίκα φαμὲν κατὰ ἀριστάρχου λέγω. ἔστι καὶ ὁ ἀπὸ τόνου λόγος συνάγων τὴν ἐγκειμένην σύνθεσιν. τὸ μὲν γὰρ τὰς αὐτὰς τάσεις φυλάττεσθαι, ἴδιον ἐστὶ καὶ παραθέσεως καὶ οὐ συνθέσεως. παρὰ τοῦ σοφοῦ ἦλθε. παρὰ τὸν σοφὸν ἐγένετο. ἀλλὰ μὴν καὶ ἐν συνθέσει μόνη τοῦ ἑνὸς τόνου γίνεται. περίκλυτος. παναχαιός. ἀντιπεραστής. τὸ μὲν μὴν ἀναβιβάζειν τὸν τόνον, ἴδιον ἐστὶ συνθέσεως. οὐχ ὅτι ἐν τῷ καθῆψαι. ἐν τῷ προεῖχον μᾶλλον σύνθεσιν. ἡ παρασύνθεσις ἐστὶ γὰρ ἀμφότερα δύνασθαι εἰπεῖν. ἐν τοῖς μέντοι ἀναβιβαζομένοις τὸ ἐξαίρετον τῆς συνθέσεώς ἐστιν. ἀνεβιβάσθη. τὸ κάθημαι. τὸ ἀνάκειται. τὸ σύνειμι. τὸ σύμφημι. καὶ τὸ σύνοιδα. καὶ ἑτέρων καὶ ἄλλα πλεῖστα, ὑπὲρ ὧν τὰς αἰτίας ἐκθησόμεθα ὥσπερ καὶ ἐπὶ τῶν ὀνομάτων φαμέν τινα συντιθέμενα ἀναβιβάζει τὸν τόνον. καί τινα τὴν ταυτότητα τοῦ λόγου συντηρεῖ. τὸ δὲ μεῖζον, ὅτι ὅλη ἡ προστακτικὴ ἔγκλισις κατὰ τῶν ἐνεργητικῶν ῥημάτων προφορὰν ἔσθ' ὅτε δισύλλαβον ἀναβιβάζει τὸν τόνον. κάτελθε κατάλαβε. περίγραφε. ἐστὶ δὲ κατ' ὀλίγον δεῖξαι ὅτι περὶ τῆς συνθέσεως. καὶ εἰ ὁμολογῶς τὰ τοιαῦτα σύνθετα, πῶς οὐκ ἂν διθείη καὶ τὰ τῆς ὁριστικῆς ἐγκλίσεως σύνθετα. μία γὰρ ἔγκλισις. ἐστὶ μία συνδρομὴ τῆς προθέσεως καὶ μία θέσις ἡ κατὰ τοῦ ῥήματος. ἰδοὺ δὴ καὶ ἡ ὑποτακτικὴ ἔγκλισις ἐπιδ-

M M

δέχεται τοὺς ἐπιζευκτικοὺς συνδέσμους περὶ τῶν προθέσεων, ἐὰν καταλάβω· ἐὰν καταγράφω· ὅπερ οὐκ ἂν παρείπετο, τῶν προθέσεων ἀεὶ τὸν ἀρκτικὸν τόπον ἐπεχουσῶν, σαφὲς κἀκ τῶν λοιπῶν ἐγκλίσεων αἳ πρὸ τῶν προθέσεων τὰ προσγινόμενα αὐταῖς ἐπιρρήματα, ἔξωθεν προσλαμβάνουσιν· εἴθε καταλάβοιμι· ἄγε κατέλαβε· καὶ τοσαῦτα μὲν ἂν εἴη περὶ τοῦ ἡνῶσθαι τὰς προθέσεις τοῖς ῥήμασι· πρόδηλον ὡς συνοῦσαι μετοχαῖς μεταλαμβανόμεναι ἀπὸ τῶν ῥημάτων, τὴν σύνταξιν τὴν αὐτὴν ἀναδέχονται· ὡς ἔχει ἡ παραστὰς πρὸς τὸ παρέστη, οὕτω γε καὶ τὸ παραφέροντος πάλιν συνυπάρχοντος τοῦ παραφέρω, καταστήσεται εἰς ἓν μέρος λόγου· εἰ μέντοι εἴη παρὰ τὸ φέρω· ὥστε καθὼς προείπομεν· δύο μέρη λόγου γενήσεται τὸ παραφέροντος τοῦ ἄρθρου τιθεμένου μεταξὺ τῆς προθέσεως, καὶ ἔστιν ἀληθὲς μᾶλλον καλεῖν τὰ τοιαῦτα ῥήματα παρασύνθετα ἢ σύνθετα· καθὸ πᾶν μέρος λόγου συντεθέν, καὶ εἰς ἕτερον ῥῆμα μεταπεσόν, ἔχει τὸ μεταπτωτικὸν οὐκ ἔτι σύνθετον· παρασύνθετον δέ· ἔνθεν οὖν αἱ τάσεις τῶν τε ἁπλῶν καὶ δοκούντων συνθέτων εἶναι, τὸν αὐτὸν ἐπέχουσι τόνον· ἐπεὶ τὰ ἁπλᾶ καὶ παρασύνθετα, μιᾶς ἔχεται ἀναλογίας, ὡς δείκνυται ἐν τῷ περὶ ῥημάτων· σύνθετον γοῦν φαμὲν τὸ διὰ ὀξυτόνου εἰς βαρεῖαν τάσιν μετεληλυθός, ἐπὶ τῶν εἰς ος· πάνσοφος· παρασύνθετον δὲ τὸ μὴ ἀναβιβάσαν τὸν τόνον· καθὸ οὐδὲ συνετέθη· τῷ συνθέτῳ γὰρ ῥήματι παρέκειτο, ὡς ἐπακούω, τὸ ἀγορῆς ἐπακουὸν ἰόντα·

## θ. Περὶ τοῦ δέον, καὶ παρόν.

Ὁμόλογον δ' ὅτι καὶ τὸ δέον καὶ τὸ παρὸν τὴν σύνταξιν τῶν προειρημένων μετοχῶν ἀναδέδεκται· ἢ παρακείμενα ἔξεστι καὶ πάρεστιν, ἅπερ ἐστὶν ἐν τῇ δευτέρᾳ καταλήξει δεόντως· ἐπεὶ καὶ ἡ δὲ αὐτῶν σύνταξις ἐπὶ τὰ ἀπαρέμφατα φέρεται ἐκ συντάξεως ῥηματικῆς τῆς πρὸς τὰ ἀπαρέμφατα· πάρεστι τὸ φιλολογεῖν· παρὸν τὸ φιλολογεῖν· ταῖς ἀντωνυμίαις οὐδέποτε αἱ προθέσεις ἐν συνθέσει σύνεισι· κατὰ μέντοι τάσιν τὴν ἐν ὀρθῇ, ἐν ταῖς πλαγίαις πτώσεσι, κατὰ σοῦ· περὶ σοῦ· διὰ σὲ δὲ μετὰ ὀρθῆς τάσεως ἐν τοῖς προεκδοθεῖσιν εἴρηται· ὁμολογῶ

δῆλον οὖν ταῖς κατὰ τὴν εὐθεῖαν οὐδ' ὅλως συντετάξεται ἡ πρόθεσις· ἔτι καὶ παραθέσιν διὰ τὸ ἀνέφικτον τῆς συνθέσεως. ἤδη μέντοι ἐν ἀντωνυμίᾳ συνετάξατο τὸ λείπεται τὸ ἐπέκεινα· καὶ ἔτι ἐν τοῖς ῥηματικοῖς τὸ ἔπειτα καὶ χρονικὴν ἔννοιαν· ἐφ' οὗ ἐστι τὰ τῆς μεταλήψεως εἰς τὸ μεταλαμβανόμενον τῆς ἀντωνυμίας μεταφράζεται. μετὰ ταῦτα τοῖς σὺν ἄρθροις οὐ ῥυθμίζουσι κατ' ἰδίαν· ἀλλ' οὐδὲ συντιθεμένοις. ἀεὶ δὲ ἐν παραθέσει εἰσὶ τῶν πτωτικῶν, καὶ τὴν αὐτὴν σύνταξιν, τούτων αἱ προθέσεις παράκεινται. τοῦ τοιούτου χωρὶς προειρημένοις ἀκριβουμένου· ἐν αὐταῖς γε μὴν αἱ προθέσεις καὶ συντίθενται καὶ συμπαρατίθενται. δεδομένου γὰρ τοῦ ὡς ἐν εὐθείᾳ συντίθενται αἱ προθέσεις· δοθήσεται ἐστὶν εἶναι τὸ παρακαταθήκη· καὶ δεδομένου ὅτι ἐν συνθέσει πάντοτε μετὰ τῶν ῥημάτων αἱ προθέσεις· δοθείη ὅτι ἐστὶν ἐν συνθέσει λόγου· τὸ ἐξυπανίστη· ἐστὶ εἰ ἓν τὸ ἀναγινώσκω, ἐστὶ τὸ ἀναγινώσκοντα· ἐστὶ δῆλον ὅτι εἰ προσγένοιτο ἑτέρα πρόθεσις ὡς τοιούτῳ ῥήματι ἢ συνέσει τῆς συντάξεως καὶ τὰ ῥήματα ἢ μετὰ προσγενήματα, ἐν παραθέσει εἰρήσεται· ἡ οὖν συνοῦσα ῥήματι ἐν συνθέσει, ἀναγινώσκω, ἀναγινώσκοντα καὶ ἔτι μετὰ τοῦ ἄρθρου παρὰ τὸν ἀναγινώσκοντα. εἰ δὲ οὕτω τις φαίη παραγινώσκοντα πῶς ἔξωθεν τὸ ἄρθρον προσγενήσεται· τὸ παραγινώσκοντα.

*
* * * * *
*
*
* * * *
*

ΤΕΛΟΣ ἈΠΟΛΛΩΝΙΟΥ ΠΕΡῚ ΣΥΝΤΆΞΕΩΣ.

ΜΜ ii

ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΤΩΝ ΑΡΙΘΜΩΝ.

Ὅτι τῶν σημείων ἄν τις φαίνηται ταῦτα, ὅσα ἀριθμοῦ σημεῖά ἐστι· καὶ γὰρ ταῦτα ἔν τε ταῖς γραφαῖς τῶν βιβλίων ἐπὶ τοῖς πέρασιν ὁρώμενα γραφόμενα· ἀλλὰ καὶ παρὰ Σόλωνι τῷ τοὺς νόμους Ἀθηναίοις γράψαντι, τὰ ἐπαργυρεῖν προστιμήματα, τούτοις ὁρῶ τοῖς γράμμασι σεσημασμένα· καὶ στήλας δὲ τὰς παλαιὰς καὶ ψηφίσματα καὶ νόμους πολλούς, οὕτως ἔστιν εὑρεῖν τὰ τῶν ἀριθμῶν σημεῖα ἔχοντας. Φέρε οὖν καὶ ταῦτα γράψωμεν ἵνα μηδὲν ἡμῖν παραλελεῖφθαι δόξῃ· τὸν μὲν ἕνα ἀριθμὸν, τὸ ι ἰῶτα σημαίνει· τὸν δὲ δύο, δύο ι ι· καὶ οὕτω μέχρι τῶν τεσσάρων· τὸν γὰρ πέντε, τὸ π̄ γράμμα σημαίνει· ὁμοίως τὸν ἓξ τὸ αὐτὸ π̄ καὶ μετὰ τοῦ ἑνὸς ῑ· ὥστε τοῖς πέντε ἑνὸς προστιθεμένου ι μέχρι τῶν ἐννέα· ὁ γὰρ δέκα, τῷ δ̄ σημαίνεται· τὰ δὲ εἴκοσι τὰ δύο, δ̄ δ̄· καὶ μέχρι τῶν τεσσαράκοντα ὁμοίως· τὰ γὰρ πεντήκοντα, τὸ π̄ γράμμα σημαίνει δ̄ ἔχον ἐν αὐτῷ μέσον· [Δ] τὰ δὲ ἑξήκοντα, ταυτὸ τοῦτο τὸ σημεῖον ἀκολούθως αὐτοῖς παρατιθέμενοι καὶ οὕτω μέχρι τῶν ἐνενήκοντα· τὰ γὰρ ἑκατὸν, τῷ η̄ σημαίνεται· τὰ διακόσια τὰ δύο η̄ η̄ καὶ οὕτω μέχρι τῶν τετρακοσίων· τὰ γὰρ πεντακόσια, τὸ π̄ γράμμα σημαίνει, ἔχον ἐν ἑαυτῷ μέσον τὸ η̄ [Η] τὰ δὲ ἑξακόσια ὁμοίως τοῦ αὐτοῦ τούτου σημείου παρατιθεμένου τοῦ η̄· καὶ μέχρι τῶν ἐνακοσίων ὁμοίως· τὰ γὰρ χίλια τὸ χ̄ γράμμα σημαίνει· καὶ τὰ δισχίλια, τὰ δύο χ̄ χ· καὶ μέχρι τῶν τετρακισχιλίων· ὁμοίως πάλιν τὰ πεντακισχίλια, τὸ π̄ ἔχον μέσον τὸ χ̄, σημαίνει [Χ]. τὰ δὲ ἑξακισχίλια, παραπλησίως τοῖς προειρημένοις, τὸ αὐτὸ τοῦτο σημαίνει· παρατιθεμένου αὐτῷ τοῦ χ̄· καὶ μέχρι τῶν ἐνακισχιλίων ὁμοίως· τὰ δὲ μύρια, τὸ Μ γράμμα σημαίνει· αἱ δὲ παραθέσεις

τούτων ἡνίκα μὲν αὔξειν τοὺς ἀριθμοὺς δέῃ, ἐπὶ τὸ δεξιὸν μέρος γίνονται· ἡνίκα δὲ μειοῦν, ἐπὶ τὸ ἕτερον· ἡ γὰρ παράθεσις ἐκεῖθεν, σημαίνει ὅτι χρὴ τοῦτον τὸν ἐλάττω ἀριθμὸν, ὑπὸ ἐκείνου τοῦ πλείονος ἀφαιρεῖν· ὑπέγραψα δὲ αὐτὰ τὰ σχήματα τῶν ἀριθμῶν κατὰ τὸ ἑξῆς, ἀπὸ τῆς μονάδος ἀρξάμενος παραθεὶς αὐτοῖς ἕκαστα, τὰ τοῦ κοινοῦ ἀριθμοῦ σημεῖα· ἵν' οὕτω μᾶλλον εὔδηλα ᾖ τὰ προειρημένα. Τούτων χρὴ ὡς προείρηται ποιεῖσθαι τὰ παρακείμενα γράμματα· τὸ ἕκαστον ἀριθμοῦ πλῆθος σημαίνει· ἔγραψα δὲ μονάδας· δεκάδας· ἑκατοντάδας· χιλιάδας· τὰς γὰρ ἐφ' ἑκάστῳ τούτων παραῦτῶν παραυξήσεις δῆλον ὅτι καὶ τῶν παραδεδομένων ἐστί· παραθετέον δὲ ἀεὶ τὸν μείζω, τῷ ἐλάττονι κατὰ τὸ ἀκόλουθον παρατιθέντας, τοσαῦτα τῶν ἀριθμῶν:~

I α' ἕν. II β' δύο. III γ' τρία. IIII δ' τέσσαρα.
Π ε' πέντε. ΠI ς' ἕξ. ΠII ζ' ἑπτά. ΠIII η' ὀ-
κτώ. ΠIIII θ' ἐννέα. Δ ι' δέκα. ΔI ια' ἕνδεκα.
ΔII ιβ' δώδεκα. ΔIII ιγ' τρισκαίδεκα. ΔIIII ιδ' τεσ-
σαρεσκαίδεκα. ΔΠ ιε' πεντεκαίδεκα. ΔΠI ις' ἑκ-
καίδεκα. ΔΠII ιζ' ἑπτακαίδεκα. ΔΠIII ιη' ὀκτωκαί-
δεκα. ΔΠIIII ιθ' ἐννεακαίδεκα. ΔΔ κ' εἴκοσι. ΔΔI
κα' εἰκοσιέν. ΔΔII κβ' εἰκοσιδύο. ΔΔIII κγ' εἰκοσι-
τρία. ΔΔIIII κδ' εἰκοσιτέσσαρα. ΔΔΠ κε' εἰκοσι-
πέντε. ΔΔΠI κς' εἰκοσιέξ. ΔΔΠII κζ' εἰκοσιεπτά.
ΔΔΠIII κη' εἰκοσιοκτώ. ΔΔΠIIII κθ' εἰκοσιεννέα.
ΔΔΔ λ' τριάκοντα. ΔΔΔI λα'. ΔΔΔII λβ'. ΔΔΔ
III λγ'. ΔΔΔIIII λδ'. ΔΔΔΠ λε'. ΔΔΔΠI λς'.
ΔΔΔΠII λζ'. ΔΔΔΠIII λη'. ΔΔΔΠIIII λθ'. ΔΔΔΔ
μ'. ΔΔΔΔI μα'. ΔΔΔΔII μβ'. ΔΔΔΔIII μγ'. ΔΔ
ΔΔIIII μδ'. ΔΔΔΔΠ. με'. ΔΔΔΔΠI μς'. ΔΔΔΔΠII
μζ'. ΔΔΔΔΠIII μη'. ΔΔΔΔΠIIII μθ'. 𐅄 ν'. πεν-
τήκοντα. 𐅄I να'. 𐅄II νβ'. 𐅄III νγ'. 𐅄IIII νδ'.

| | | |
|---|---|---|
| 𐅄Γ νε'. | 𐅄ΓΙ νϛ'. | 𐅄ΓΙΙ νζ'. |
| 𐅄ΠΙΙΙ νη'. | 𐅄ΓΙΙΙΙ νθ'. | 𐅄Δ ξ'. ἑξήκοντα. |
| 𐅄ΔΙ ξα'. | 𐅄ΔΙΙ ξβ'. | 𐅄ΔΙΙΙ ξγ'. |
| 𐅄ΔΙΙΙΙ ξδ'. | 𐅄ΔΠ ξε'. | 𐅄ΔΠΙ ξϛ'. |
| 𐅄ΔΠΙΙ ξζ'. | 𐅄ΔΓΙΙΙ ξη'. | 𐅄ΔΠΙΙΙΙ ξθ'. |
| 𐅄ΔΔ ο'. ἑβδομήκοντα. | 𐅄ΔΔΙ οα'. | 𐅄ΔΔΙΙ οβ'. |
| 𐅄ΔΔΙΙΙ ογ'. | 𐅄ΔΔΙΙΙΙ οδ'. | 𐅄ΔΔΠ οε'. |
| 𐅄ΔΔΓΙ οϛ'. | 𐅄ΔΔΠΙΙ οζ'. | 𐅄ΔΔΠΙΙΙ οη'. |
| 𐅄ΔΔΓΙΙΙΙ οθ'. | 𐅄ΔΔΔ π'. | ὀγδοήκοντα. |
| 𐅄ΔΔΔΙ πα'. | 𐅄ΔΔΔΙΙ πβ'. | 𐅄ΔΔΔΙΙΙ πγ'. |
| 𐅄ΔΔΔΙΙΙΙ πδ'. | 𐅄ΔΔΔΠ πε'. | 𐅄ΔΔΔΠΙ πϛ'. |
| 𐅄ΔΔΔΠΙΙ πζ'. | 𐅄ΔΔΔΠΙΙΙ πη'. | 𐅄ΔΔΔΓΙΙΙΙ πθ'. |
| 𐅄ΔΔΔΔ ϙ'. | ἐνενήκοντα. | 𐅄ΔΔΔΔΙ ϙα'. |
| 𐅄ΔΔΔΔΙΙ ϙβ'. | 𐅄ΔΔΔΔΙΙΙ ϙγ'. | 𐅄ΔΔΔΔΙΙΙΙ ϙδ'. |
| 𐅄ΔΔΔΔΠ ϙε'. | 𐅄ΔΔΔΔΠΙ ϙϛ'. | 𐅄ΔΔΔΔΠΙΙ ϙζ'. |
| 𐅄ΔΔΔΔΠΙΙΙ ϙη'. | 𐅄ΔΔΔΔΠΙΙΙΙ ϙθ'. | Η. ρ'. ἑκατόν. |
| ΗΗ σ' διακόσια | ΗΗΗ τ'. τριακόσια | ΗΗΗΗ υ'. |
| τετρακόσια. | 𐅅 φ'. πεντακόσια. | 𐅅Η χ'. ἑξακόσια. |
| 𐅅ΗΗ ψ'. | ἑπτακόσια | 𐅅ΗΗΗ ω' |
| ὀκτακόσια. | 𐅅ΗΗΗΗ ϡ | ἐνακόσια. |
| Χ. ,α χίλια. | ΧΧ ,β δισχίλια | ΧΧΧ ,γ τρισχίλια. |
| ΧΧΧΧ ,δ | τετρακισχίλια. 𐅆 | ,ε πεντακισχίλια. |
| 𐅆Χ ,ϛ | ἑξακισχίλια. | 𐅆ΧΧ ,ζ ἑπτα- |
| κισχίλια. | 𐅆ΧΧΧ ,η | ὀκτακισχίλια. |
| 𐅆ΧΧΧΧ ,θ | ἐννακισχίλια. | Μ ,ι. μύρια. |

A
βίος·
κ·ότι·
β·ότι
ον·

B·
νοσ·
τῆν
λοῦσι
διαῦ

Γ
σούτων
ἀύτα,
ἠνίκα
τόιου

Δ·
αἰάν
τοιαὐ
κὴ ἐπεὶ
νοτη

E
οὐκ ἐ
θεν
των
κάμε

Z·
πάσιν
ὅτι ὁ
ἠνίκα
τοις

H·
μετι
ὑπρος
τῆ πο
των

Θ·
νυμι
φόρφ
ἀπὸ
πους

I·
ὑπο
προς
μενον
κρατου

K
πρὸς ὑ
ἐπι
κάνω
αἱ μὲν

ΛL
μόν·
σιων
ναις
τὰ

M·
πρὸ
δὲ ὅσω

Impressum Venetiis in ædibus Aldi Romani octauo Calendas Ianuarias M.CCCCLXXXXV. Concessum est eidem Aldo ab illustrissimo Senatu Veneto ne cui hunc librum liceat imprimere sub pœna ut in gratia.